Ἰωάννης Τζανῆς, Μιτυληναῖος, ἐπιστήμων, μέγας πριμμικύριος, καὶ ὕπατος τῶν φιλοσόφων· προνόμιον, τίτλος, ὁ ὁποῖος παρὰ τοῦ πατριάρχου δίδεται εἰς τὸν πλέον προκομμένον, ἀρχῆθεν ἀπὸ τὸν καιρὸν τῶν βασιλέων μας παραδεδομένος, καθὼς ἐδόθη καὶ εἰς τὸν Κριτίαν, καὶ εἰς τὸν Γιακοῦμῆ, καὶ ἄλλους πρὸ αὐτοῦ. Καὶ τοῦτος συνέγραψε διάφορα λογύδρια, καὶ στίχους ἑλληνικούς· ἔτι δὲ καὶ πρὸς τὴν Παναγίαν τὴν Ζωοδόχον Πηγὴν εὐχαριστηρίους, ὅταν τὸν ἰάτρευσεν ἀπὸ διάρροιαν κοιλίας αἱματώδη, ἀπὸ τὴν ὁποίαν ἦλθεν εἰς θάνατον, ἀπελπισθεὶς ἀπὸ τοὺς ἰατρούς, ὧν ἡ ἐπιγραφή· « Στίχοι ἰαμβικοὶ πρὸς τὴν ἀκένωτον Ζωοδόχον Πηγήν (1). »

Σεβαστὸς Τραπεζούντιος, φιλόσοφος, διδάσκαλος τῆς ἐν Βουκουρεστίῳ αὐθεντικῆς σχολῆς ἐπὶ τῆς αὐθεντείας τοῦ μεγάλου Μπραγκοβάνου, ὅστις τὸν ἀγαποῦσε δυνατὰ διὰ τὴν πολλὴν αὐτοῦ μάθησιν, καὶ τὸν ἐπροκάθιζε πρὸ πάντων τῶν ἀρχόντων, τιμὴν ὁποῦ ἄλλος αὐθέντης εἰς ἄλλον διδάσκαλον δὲν τὴν ἔδωκεν, οὔτε τὴν δίδει. Αὐτὸς ἐσύνθεσε, καὶ ἐτύπωσεν εἰς Βουκουρέστι δύο βιβλία, τὸ Ἑορτολόγιον, καὶ τὴν Δογματικὴν διδασκαλίαν· αὐτὸς ἐξήγησεν εἰς τὸ ἁπλοῦν τὸν τοῦ Συνεσίου λόγον πρὸς τὸν βασιλέα Ἀρκάδιον, καὶ τὰ τοῦ Ἀγαπίου κεφάλαια πρὸς τὸν βασιλέα Ἰουστινιανόν, καὶ τοὺς τοῦ Ἰσοκράτους πρὸς Δημόνικον καὶ Νικοκλέα βασιλεῖς Κύπρου λογους, καὶ τοὺς ἐπροσφώνησε καὶ τοὺς ἐπρόσφερε τῷ Μπραγκοβάνῳ, συγγράμματα ἀξιολογώτατα, καὶ ἀξιοτύπωτα, ὡς τὰ τοῦ προγραφέντος Δρύστρας Ἱεροθέου, τὰ ὁποῖα τὰ ἔχω καὶ

(1) Παραλείπονται.

αὐτά, ἀλλά τίς νὰ τὰ τυπώσῃ; καὶ μακάριος ὅστις τὰ τυπώσει! χρυσὴ δουλειὰ θέλει κάμει ἐπ' ἀληθείας, ὡς χρυσᾶ τῷ ὄντι βιβλία, καὶ τοῦ χρυσοῦ τιμιώτερα καὶ χρησιμώτερα, μάλιστα εἰς αὐθέντας. Αὐτὸς ἔκαμε καὶ εἰς τὴν γέννησιν τοῦ Χριστοῦ λόγον ἐξαίρετον, (τὸν ἔχω καὶ αὐτὸν) καὶ ἄλλα αὐτὸς ἄξια λόγου τοιαῦτα ἐσύνθεσεν. Αὐτὸς εἶναι ὁ τοῦ ἐξ ἀπορρήτων μαθητής, ὁποῦ ἔγραψα· ὁ θεὸς νὰ τὸν ἀναπαύσῃ.

Μάρκος Κύπριος, διάδοχος τῆς αὐτῆς σχολῆς, ἀπέθανε δὲ ἀπὸ φάγουσαν (ὁ Θεὸς νὰ τὸν ἐλεήσῃ), καὶ ἡ αἰτία αὐτή· ὁ διαληφθεὶς Γεράσιμος Ἀλεξανδρείας ὑπῆγεν εἰς Βουκουρέστι εἰς τὸν αὐθέντην Μπραγκοβάνον, καὶ τὸν ἐπαρακάλεσε νὰ τυπώσῃ τρεῖς τόμους μεγάλους, ὡς τοῦ Χρυσοστόμου, συγγράμματά του, λόγους πανηγυρικούς, διδαχάς, καὶ ἄλλα, ὁποῦ ἐπὶ τούτου εἶχε φέρει, τοὺς ὁποίους καὶ ἐγὼ τοὺς εἶδα καὶ τοὺς ἐδιάβασα, ἔχωντάς τους ὁ διαληφθεὶς Ματθαῖος Ἀλεξανδρείας εἰς τὴν Πόλιν· ὁ αὐθέντης τοὺς ἔδωκεν εἰς τὸν Μάρκον ὡς διδάσκαλον νὰ τοὺς θεωρήσῃ, ὁ Σεβαστὸς ὄντας ἀποθαμένος, ὡς φαίνεται· ὁ δὲ Μάρκος θεωρήσας τούτους καὶ ἀναγνούς, εἶπε τῷ ἡγεμόνι νὰ μὴ τυπωθοῦν, ὡς ἐσφαλμένοι εἰς μέρη τινά, καὶ ἐγγίζοντες τὸ δόγμα τῆς ἐκκλησίας μας· μαθὼν δὲ τοῦτο ὁ πατριάρχης, εὔγαλε, λέγουν, τὸ καμηλαῦκί του, καὶ εἶπε — Κύριε, εἰ μὲν καὶ εἶπεν ὁ Μάρκος ἀλήθειαν, συγχωρημένος εἴη· εἰδὲ μή, φάγουσα νὰ φάγῃ τὸ στόμα του!

Γεώργιος Χρυσόγονος, Τραπεζούντιος ἀνεψιὸς Σεβαστοῦ, διάδοχος Μάρκου, καὶ διδάσκαλός μου εἰς τὰ φιλοσοφικά. Αὐτὸς ἐσύνθεσε διάφορα λογύδρια πανηγυρικὰ εἰς τοῦ Χριστοῦ τὴν γέννησιν καὶ ἀνάστασιν, τὰ ὁποῖα ἐκεῖ εἰς τὸν αὐθέντην συνειθίζουν κατ' ἔτος καὶ τὰ λέγουν οἱ μαθηταί. Ἐσύνθεσε κανόνας καὶ τροπάρια εἴς τινας τῶν ἁγίων, καὶ ἀκολουθίας τελείας εἰς τὸν ἅγιον Χαράλαμπον, διὰ τὴν ἁγίαν κάραν, τὴν ὁποίαν οἱ αὐθένται στέλλουσι, καὶ τὴν φέρουσιν εἰς τὴν πα-

νούκλαν· ἐτυπώθη δὲ καὶ εἰς τὰ μηναῖα, ὁποῦ Γεώργιος ὁ τυπογράφος ἐτύπωσεν· οὐ μόνον δὲ αὐτή, ἀλλὰ καὶ ἡ εἰς τὸν ἅγιον Ἀχίλλειον, ἀλλουνοῦ ποίημα· ἐπὶ τῆς πατριαρχείας τοῦ ῥηθέντος Ἰωαννικίου Καρατζᾶ, ἄνευ εἰδήσεως καὶ ἀδείας αὐτοῦ, μὲ τὸ νὰ μὴν ἦναι εἰς τὰ παλαιὰ μηναῖα· ὅθεν ὡς νεοφανῆ ἐμποδίσθηκαν νὰ μὴ πουληθοῦν, καὶ διαδοθοῦν εἰς τὰς ἐκκλησίας, καὶ μόλις μὲ δόσιν ἄσπρων ἔλαβεν ὁ νεωτεριστὴς τυπογράφος ἄδειαν, καὶ τὰ ἐπούλησε. Καὶ οὕτως ἐπολιτεύθηκαν ἡ δύο αὐταῖς πανηγυρικαὶς ἀκολουθίαις, μὴν ὄντας πρότερον. Αὐτὸς ἐσύνθεσε καὶ τὸν παρόντα ἰαμβικὸν Κανόνα εἰς τὸν αὐθέντην Νικόλαον, οὗ τινος ἡ ἀκροστιχὶς διὰ στίχων ἡρωελεγείων (1).

Ἔχει καὶ ἄλλους εἰς αὐτοὺς τοὺς δύο ἡγεμόνας στίχους, καὶ τοὺς ἄφηκα διὰ βραχυλογίαν· ἔχει καὶ παραινετικὰ τετράστιχα, τ' ἄφηκα καὶ αὐτά, δὲν τὰ ἔγραψα, καὶ γράφω τὰς ἐπιστολὰς, ὁποῦ ὁ μακαρίτης ζῶντας 'ς ἐμένα ἔγραψε, καθὸ γραφῆς ἀξίας διὰ τὴν σύνταξιν καὶ τὰς ὑποθέσεις.

Α. » Γεώργιος κυρίῳ Κωνσταντίνῳ τῷ δευτέρῳ γραμματικῷ, ἀνδρῶν λογίῳ, ἐρασμιωτάτῳ, εὖ πράττειν.

Ἔμελλεν ἄρα καὶ φοιτητὴς οὐχ ἁπλῶς, οὐδὲ τῶν τυχόντων, ἀλλὰ τῶν προὐχόντων, καὶ μάλιστα ξυνήθων, ἐπελαθέσθαι καθηγητοῦ φιλοῦντος οὐ μόνον, ἀλλὰ καὶ ὑπερφιλοῦντος, ὡς ἔγνωσται ἡλίου φανώτερον, καὶ οὐδὲ ψιλοῦ ὀνόματος ἀξιῶσαι, καὶ ταῦτα δυστυχήμασι προσπαλαίσαντος, καὶ νόσῳ λοιμώδει καταχρασθέντος, καὶ ὑπερορείου γεγονότος, καὶ διαιτωμένου ἐν ὄρεσιν· ἡνίκα οὐ μόνον τὸν προσφοιτήσαντα, καὶ τὰ εἰκότα φιληθέντα, ἀλλὰ καὶ τὸν ἁπλῶς ἐγνωκότα, καὶ θέας μόνης καὶ

(1) Παραλείπονται οἵ τε παρεμβαλλόμενοι δύο κανόνες, ὡς καὶ τὰ παρεπόμενα ἐγκώμια διὰ στίχων καρκινικῶν, δμηροκεντρικῶν, λεοντείων καὶ πολιτικῶν, πρὸς τὸν αὐτὸν ἡγεμόνα, καὶ τὸν Κωνσταντῖνον υἱὸν τοῦ Νικολάου βόδα, καὶ τὰ πρὸς τὸν ἄρχοντα καμαράσην Ἰωάννην Σκαρλάτον ποιημάτια, ὡς λίαν μακρὰ καὶ οὐδὲν τὸ ἐνδιαφέρον παρέχοντα.

ὁμιλίας κεκοινωνηκότα, κατοικτεῖραι προσῆκε, καὶ συνάχθεσθαι καὶ μεμνῆσθαι συνεχῶς, ἐπιστεῖλαί τε καὶ παραμυθήσασθαι; Ἀλλὰ τούτων ἁπάντων τὸ ἀνώμαλον τῆς τύχης, ὡς οἶμαι, παραίτιον· αὕτη γὰρ ὑμᾶς μὲν ἐν ἀρχείοις τὰς διατριβὰς ποιεῖσθαι ὁσημέραι, καὶ ἡγεμόσι λαμπροτάτοις συνεῖναι, ἀνδράσιν εὐγενέσιν, ἄρχουσι μεγαλοπρεπέσι, λαῷ πολυμιγεῖ τε καὶ πολυγλώσσῳ, φρουράρχαις τε καὶ φρουραῖς περιστοιχεῖσθαι, καὶ ὡς ἔν τινι πολυάνδρῳ τὸ λυποῦν ὑποκλέπτειν θεάτρῳ παρεσκεύασεν. Ἡμᾶς δὲ ἅπαν τοὐναντίον, ἐν ὄρεσι καὶ ὕλαις περιπολεῖν, μετὰ χωρικῶν ἀγραυλεῖν, κολιοῖς τε καὶ κορώναις συγκρώζειν, ἵπποις τε καὶ βουσὶ περιστοιχίζεσθαι, καὶ ἐν πολιχνίῳ περιορεῖσθαι. Ἐν τοιαύτῃ τοίνυν ἀθυμίᾳ, μόνην ἐσχήκαμεν ἂν παραμυθίαν, τὰς παρὰ τῶν εὔνων ἐπιστολάς, ὧν γε καὶ ἐν στερήσει τυγχάνομεν, σὺ αὐτὸς μάρτυς ὁ μᾶλλον πάντων ὀφείλων ἐπιστεῖλαι, καὶ μὴ ἐπιστείλας τὸ σύνολον. Οὕτω παραμυθοῦνται φίλοι τοὺς φίλους; οὕτω μέμνηνται τῶν ἀποδήμων οἱ ἐπίδημοι; τῶν ἀνιωμένων οἱ ἐν εὐθυμίαις; Τὸ σαυτοῦ ἐξελληνιζόμενον ὄνομα, στερέμνιον ἄνδρα δηλοῖ καὶ σταθερόν· μὴ τοίνυν, ὦ 'γαθέ, τὰς πράξεις ἀσυμφώνους τῷ σῷ ἀποδείξεις ὀνόματι, ἀλλά γε τοῖς ἀδόλως φιλοῦσιν, ἀδόλως σύνεσο, εὐσταθὴς ἐς φίλους καὶ φιλίαν καὶ ὢν καὶ δεικνύμενος, καὶ χαῖρε φιλοτιμῶν θεῖόν τι χρῆμα, καὶ σχὸν ἐν ἰσοζυγίᾳ τὸ εἶναι. Ἔρρωσο, καὶ φίλει τοὺς σὲ φιλοῦντας, καὶ μέμνησο τῶν σοῦ μεμνημένων. ᾳψλή. ὀκτωβρίου β'. ».

Β. » Τὰ ἔναγχός σοι ἐπισταλέντα μοι γράμματα, τὰ φιλίας ὑπερβαλλούσης, καὶ ἀγάπης ἀνυποκρίτου γέμοντα, ἐδεξάμην ἀσμένως, καὶ ἀναλεξάμενος διεχύθην τὴν ψυχήν, ὅτι ὑγιαίνοντά σε κατήγγελλον· πρὸς δέ, ὡς ἐν ἐσόπτρῳ τούτοις διαυγεστάτῳ, ἐνορῶν τὸ σὸν πρός με ὑπερέχον τοῦ ἔρωτος, ἐμαυτὸν εὐδαιμονίσας, ὡς τοιοῦτον σχόντα φοιτητήν τε καὶ φίλον, τοῦτο μὲν διπλόης ἄνευ, καὶ εἰλικρινῶς ἀγαπῶντα, τοῦτο δὲ αὐτοβουλή-

τως ὑπείκοντά μοι καὶ ὑπενδόντα, ὡς καθηγητῇ φιλοστόργῳ· ἃ δὲ προεγεγράφειν, χαριεντισμοῦ τε καὶ ἀστειότητος ἦν, ἀλλ' οὐκ ἐξεπίτηδες· καὶ γὰρ ἀνέκαθεν ἔρως ὑμῶν σφοδρὸς ἐνέστακταί τε καὶ ἐνεσκίρρωταί μου τῇ ψυχῇ, καὶ οἷον τεῖχος ἀδιάρρηκτον ὑπ' αὐτοῦ ἐν αὐτῇ ᾠκοδόμηται, ὥστε οὐδὲ ταῖς μεγίσταις ἑλεπόλεσι καὶ κριοῖς στερροτάτῳ ἐστομωμένοις σιδήρῳ, κατασεισθήσεσθαι, ἐφ' ὃ ἄγαλμα σὸν πάνυ καλὸν ὑπερίδρυται, ὅλους ἀπαστράπτον ἔρωτάς τε καὶ χάριτας. Ἴσθι οὖν, ὦ λῷστε, τὸν σὸν Γεώργιον, καὶ φιλήσαντά σε καὶ φιλοῦντα, καὶ φιλήσοντα· καὶ ἣν παιδευτὴν ἐσόμενον διδῷ Θεὸς ἐλευθερίων μαθημάτων, ὡς πρότερον (τοῦτο γὰρ ἐμοὶ τῶν εὐκτῶν καὶ ἐφετωτάτων), ἵν' ἴδοιμί σε τὸν κύκλον τῶν ἐγκυκλίων μαθημάτων ἀπαρτίσαντα, καὶ μή γε τόξον κύκλου, ἤ γε ἡμικύκλιον ἡμιτέλεστον γεγραφότα τῶν παιδευμάτων, ἀλλ' ὅλον κύκλον ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ σημεῖον καταλήξαντα, τῶν ἐπιπέδων σχημάτων τὸ κάλλιστόν τε καὶ πολυχωρότατον. Ἔρρωσο καὶ εὐτύχει, καὶ φίλει, καὶ ἐπίστελλε, ἵνα τῶν ἴσων ἀξιωθείης ».

Γ. » Τὴν παμφιλτάτην αὐτῆς λογιότητα, καὶ κωνσταντινικὴν γραμματικότητα προσαγορεύω, καὶ ἀσπάζομαι ἐν Χριστῷ.

Ἐπεὶ τὰ τῶν φίλων κοινά, φίλοι δ' ἡμεῖς, κοινὰ ἄρα τὰ καθ' ἡμᾶς· ἀνθ' ὧν ἐξυφάναι σε δεῖν ἔγνων τὰ κατ' ἐμέ, ἵνα εἴης χαίρων ὡς ἀλλοτριοφρονῶν (ὅπερ οὐδ' εἰς νοῦν ποτ' ἀνέλαβον), ἢ ἀχθόμενος, ὡς σαυτοῦ τἀμὰ λογιζόμενος· οἶσθα τοῦ ἡμετέρου σκήνους τὸ ἀδρανές, καὶ πρὸς τὰς νόσους εὐκατάφορον, καὶ περὶ τὰς ἰάσεις δυσανάκλητον, καὶ ὥς γε καταποτίοις καὶ ἑτέροις ἰατρῶν φαρμάκοις ὑπερείδετό τε καὶ ἀνελαμβάνετο· νῦν δὲ τὸ μὲν σαρκίον ταὐτὸ περιφέρομεν, διὰ δὲ τὸ ὀρεσιτροφεῖσθαι, καὶ πόρρω πῃ ἀποπλανᾶσθαι πόλεως φαρμακοπωλείου καὶ ἀλεστόρων, τῶν ἀλεξινούσων ἐστερήμεθα φαρμάκων. Ἐπειδὴ τοίνυν, τῷ μὲν σκήνει νοσάζεσθαι, ἀσχάλλειν

δὲ τῇ ψυχῇ, καὶ τῶν ἀνιόντων ἀπαλλαγῆναι οὐχ' οἷόν τε, ἄκος ἕν μοι διὸ ὑπολέλειπται, ἐὰν τὰς ἐν ὄρει διατριβὰς καὶ πρὸς τὴν σώζουσαν πόλιν κατιέναι, θείᾳ δέ τε συνάρσει, καὶ ἰατρῶν ἐπικουρίᾳ τὴν ὑγείαν ἀνακαλέσασθαι. Ἔμπαλιν δέ με κατορρωδεῖν, καὶ ὑποτρέσαι, καὶ τὴν ὁρμὴν ἀναστέλλειν παρασκευάζει τὸ τῆς ἐπαπειλούσης νόσου λοιμῶδες, τὸ δίκην ἐφαπλωθὲν τοῦ τληπαθοῦς Βουκουρεστίου νέφους ἰώδους, καὶ πᾶσαν ἡλικίαν καταφαρμάξαν καὶ ἐκθερίσαν· ἀνθ' ὅτου δεῖν ἔγνωκα περὶ τῆς ἡμῶν πρὸς ὑμᾶς ἐπανελεύσεως πυνθάνεσθαι, εἴγε τὸ θεῖον κράτος τὸ τῆς νόσου ἤμβλυνε κέντρον, καὶ εἴ με δυνατὸν ἀνοιμωκτεὶ ἐπανιέναι. Ἔρρωσο ».

Δ'. » Προφητικαί τε καὶ εὐαγγελικαὶ διακελεύονται φωναί, τοῖς δεομένοις ἀμελητὶ τὴν κατὰ δύναμιν ἐπικουρίαν προσάγειν· πάντων δὲ μάλιστα τοῖς ἐξ ἑτέρας θρησκείας εἰς τὴν ἡμετέραν μετασκευαζομένοις, καὶ ἐκ τῆς ἀγριελαίου εἰς τὴν καλλιέλαιον μετεγκεντριζομένοις. Γνοὺς τοίνυν σαυτὸν προθυμότατον ἐκπληρωτὴν τῶν τοιούτων θείων φωνῶν, πέπομφά σοι τήνδε τὴν ἀναφορὰν, ἐγχειρίζειν τῷ ἡγεμόνι, καὶ ἐκτελεῖν τὸ ζητούμενον. Ἔξεστι δέ σοι ῥαδίως τοῦτο κατεργάσασθαι, κοινολογουμένῳ μετὰ τοῦ ὅλως πνέοντος ἔλεος καὶ εὐποιΐαν ἡγεμόνος· ὅπερ διαπραξάμενος, χαριέστατος ἔσῃ Θεῷ τε τῷ ἐλεήμονι, κἀμοὶ τῷ ἀξιοῦντι, καὶ Ἰακώβῳ τῷ λίαν χρῄζοντι τῆς σῆς βοηθείας. Ἔρρωσο ».

Ε. « Τῷ παμφιλτάτῳ μοι τῶν φοιτητῶν καὶ φίλων, κυρίῳ Κωνσταντίνῳ ὑγείαν τε καὶ σωτηρίαν, καὶ τὴν τῶν ποθουμένων ἐπίτευξιν. Ὀστρέων ἐφίεμαι τῶν ἀπὸ τῆς βασιλευούσης, ὧν τυχεῖν ἐμοὶ δυσχερές, διὰ τὸ ἄποθεν οἰκεῖν τῶν ἀρχείων, ἐν οἷς ταῦτα συγκομίζονται· ὅθεν αὐτός, ὡς ἐν ἀρχείοις οἰκῶν, καὶ φίλος ὤν, καὶ φίλους πλουτῶν, μάλιστα τοὺς ταῦτα κομίσαντας πέμψεις, οἶδα λαβών, παρ' ὧν οἶδας· ἔρρωσο φίλτατε. »

ΣΤ'. « Ὁ μὲν πατριάρχης Ἰσαάκ, ὦ φίλων ἄριστε, πρῶτον

εἱστιάθη, ἔπειτα τὴν εὐλογίαν τῷ ἑστιάσαντι παρέσχετο· ἐγὼ δὲ καὶ πλεῖον τοῦ Ἰσαὰκ ποιήσω, ὡς τῆς νέας χάριτος τελῶν, ἐκεῖνος δὲ τῆς ἀρχαίας. Καὶ πρὶν φαγεῖν, καὶ πρὸ τοῦ τῶν ὀστρέων ἀπογεύσασθαι, παρέχω σοι τὴν εὐλογίαν δαψιλεστάτην· οὐ γὰρ δρόσον οὐράνιον, καὶ ποιότητα γήϊνον κατεγγυῶμαί σοι· ἀλλὰ δεύμαι Ὀλυμπίου ἄνακτος, ἵνα σχοίης ἀμετάπτωτον τὴν ὑγείαν, προβιβασμὸν ἐπὶ τὰ τελεώτερα τῆς τε μαθήσεως, τῆς τε ἀξίας, καὶ τῆς ἐν θεῷ προκοπῆς καὶ αὐξήσεως, εὔθυμός τε διατελοίης, καὶ εὐεργετικός, καὶ περιφανής, καὶ καταθυμίοις ἐν ἅπασιν ἐπιτυχής. Ἔρρωσο, φίλτατε, καὶ αὖθις καιροῦ δραξάμενος τοιούτου, μέμνησο τοῦ σοῦ Γεωργίου.»

Ζ. «Ἀπὸ τὸ μεγάλωμα τοῦ χάρτου ἐκατάλαβα τὸ πῶς γραμματικὸς αὐθεντικὸς ἐστὶν ὁ πέμψας τὰ δῶρα ἀπίδια, διὰ τὰ ὁποῖα εὐχαριστῶ πολλά, ὅτι καὶ τ' ἀπίδια πολλά. Διπλοῦν τὸ δῶρον, τὸ μὲν ἥδιστον, τὸ δὲ ξηρὸν καὶ στερέμνιον· ὧν τὸ μὲν ἡδύ, τῆς ἀδόλου φιλίας καὶ ἀκραιφνοῦς διαθέσεως καὶ εἰλικρινεστάτης ἀγάπης ἐστὶ τεκμήριον, τὸ δὲ στερεόν, τὸ τῆς φιλίας στερέμνιον καὶ μόνιμον καὶ εὐπαγὲς ὑποδηλοῖ, καὶ οἷον ἀκράδαντον καὶ ἀπερίτρεπτον· τὸ δὲ πόρρωθεν, καὶ ἀπὸ Στεφανουπόλεως (1) τελεῖν τὰ δῶρα, σημεῖον ὑπάρχει σοι τῆς πρὸ πολλῶν ἐτῶν ἡμῶν φιλίας, καὶ διαρκεσούσης ἐπὶ μήκιστον. Ζῆθι ἐς μακραίωνας, τριπόθητε· τὸν σοὶ ὁμωνυμοῦντα, ἐμοὶ δὲ ἄκρᾳ φιλίᾳ οἰκειωμένον ἄρχοντα ἄγαν κύριον Κωνσταντῖνον (2) προσκυνῶ.»

Η. «Τὴν (σὴν) λογιότητα, ἄρχον γραμματικὲ κύριε Κωνσταντῖνε Δαπόντε, ὁλοψύχως ἀσπάζομαι, καὶ πατρικῶς περιπτύσσομαι. Χθὲς λαβὼν παρὰ τοῦ παιδὸς τὸ ραβάσιόν της, εἰ καὶ ἐτρώθην τὴν καρδίαν, ἀλλ' ἐνασχολούμενος μετὰ τοῦ ἄρχοντος

(1) Στεφανούπολις τὸ νῦν Μπρασοβό.
(2) Τὸν προγραφέντα Ξυπόλυτον Ζαγοριανὸν λέγει

ἰατροῦ σινιὸρ Δεπάστε, δὲν εἶχα εὐκαιρίαν νὰ ἀποκριθῶ, κα ἂς ἔχω συγγνώμην· νῦν δὲ συλλυπούμενος αὐτῇ πατρικῶς διὰ τὴν ἀνίαρον ἀγγελίαν τῆς εἰς Κωνσταντινούπολιν ἀποδημίας τοῦ μακαρίτου αὐταδέλφου της καὶ ἱεροδιακόνου Φιλοθέου εἰς Κωνσταντινούπολιν γενομένης, τοῦτο συντόμως λέγω, ὅτι κἀγὼ συναλγῶ καὶ οἰκτείρω τὸ πάθος, καὶ ταλανίζω ἀδελφὸν τοιοῦτον φίλτατον ἀδελφὸν ἀποβεβληκότα, καὶ μηκέτι τοῦτον ὀψόμενον. Ἀλλὰ τί τούτων ὄφελος; τί δὲ καὶ τὸν ἀπελθόντα τοῖς θρήνοις ὀνήσαιμεν; τοιγαροῦν ὡς νουνεχὴς καὶ πεπαιδευμένος, ἀνάλαβε σεαυτόν, καὶ ἐπὶ τῷ τοιούτῳ φιλοσόφησον πάθει· θνητοὶ γὰρ πάντες ἐσμὲν, καὶ ἐπίκηροι, καὶ ὁδὸν τὴν αὐτὴν πορευσόμεθα ξύμπαντες, εἰ καὶ ὁ μὲν τάχιον, ὁ δὲ βράδιον. Ἐκεῖνος οὐκέτι ἀναστρέψει εἰς ἡμᾶς, ἀλλ' ἡμεῖς πρὸς αὐτὸν ἀπελευσόμεθα· ὁμολόγει τοίνυν τῷ κρείττονι χάριτας, ὅτι τὸν σαυτοῦ ἀδελφὸν ἐκ τῶν τοῦ βίου τούτου ἀνωμαλιῶν καὶ κλυδώνων ἀνήρπασε, καὶ ἐν τῇ οὐρανίῳ μακαριότητι προσελάβετο. Ἔρρωσο τοίνυν τὸ ἀπὸ τοῦδε ἀλύπως, καὶ φιλοσόφῳ φρενὶ σαυτὸν παραμύθησον.»

Ἰδοὺ δὲ καὶ τὸ ἐμὸν πρὸς αὐτὸν εὐτελὲς καὶ ἀτελὲς πονημάτιον, ἀφοῦ ἔξω ἀπὸ τὴν Τζάραν, ὁποῦ ἦτο φευγάτος διὰ τὴν πανούκλαν, ἦλθεν εἰς Βουκουρέστιον, καὶ μετ' ὀλίγον ἀπὸ φιάγγον ἀπέθανεν· ὁ θεὸς νὰ τὸν ἀναπαύσῃ.

«Ἔμελλεν ἆρα, πανιερώτατε καὶ θεοπρόβλητε μητροπολῖτα, εὐγενέστατοι ἄρχοντες, χρήσιμοι πραγματευταί, περίλυποι συμμαθηταί, καὶ ἅπας ὁ τοῦ κυρίου λαὸς περιούσιος, ἔμελλε λέγω ἡμῖν, καὶ τοῦτο τῆς τληπαθοῦς Βλαχίας τὸ ἀπολειφθὲν κάλλος ἰδεῖν ἀμαυρούμενον, τῆς ἐκτακείσης ἀρούρας τὸν πολύχουν στάχυν ἐκθεριζόμενον, τὸ ἀγλαόκαρπον δένδρον τοῦ κατανεμηθέντος λειμῶνος ἀπορριζούμενον, ἐκρυῆσαν τὸ ἄνθος, καὶ τῆς κυψέλης τὴν σοφὴν ἀποπτύσασαν μέλισσαν, καὶ τῷ ἐπουρανίῳ προσφοιτήσασαν μελισσῶνι, μελισσουργήσασαν ἐπὶ

γῆς τῶν μελισταγῶν ἐπιστημῶν τὴν ὑπὲρ μέλι καὶ κηρίον διδασκαλίαν καὶ ἔκδοσιν. Βαβαὶ τοῦ κακοῦ, φεῦ τῆς συμφορᾶς, οἴμοι τῶν δεινῶν! ὑπέστημεν γάρ, ὦ ἱερὸν πέδον, ὀρθόδοξος γῆ, ὀνομαστὴ Βλαχία, ὑπέστης δεινὰ, καὶ πέρα δεινῶν κακοῖς προσωμίλησας! Κατανικαὶ ἔφοδοι τοῦ σοῦ προσώπου τὸ κάλλος ἀνήλωσαν, τῶν ἐκ τῆς Ἄγαρ τὰ ὅπλα τὸ στῆθος κατέρραξαν, τοὺς μαστοὺς ἡ Ταταρικὴ λύσσα ἀπέθλιψε, τὴν νηδὺν ὁ πικρὸς λοιμὸς συγκατέστειλεν, ἡ πανώλης τὰς χεῖρας ἀπέταμεν, ἡ φλογίνη ρομφαία (πυρκαϊὰ) τὴν κόμην ἐκείρατο. Ἀλγεινὰ ταῦτα πάντως, καὶ δύσποιστα, καὶ ἱκανὰ ἐκπλῆξαι ἀκοήν τε καὶ ὅρασιν! ἀλλ' οὔπω τὴν καρδίαν ἐτέτρωσο, καὶ οὔπω τὰς ὄψεις πεπήρωσαι . . . .

Τοῦτον τὸν ἄνθρωπον, ὡς καλὸν ἄνθρωπον καὶ διδάσκαλον, καὶ ἀστεῖον, τὸν ἀγαποῦσαν πάντες οἱ ἄρχοντες, πρὸ πάντων δὲ ὁ πάντων ἐξαίρετος Δουδέσκουλος, περὶ οὗ ἔπρεπε νὰ γράψω εἰς τὴν σειρὰν τῶν ἀρχόντων, καὶ ἀλησμόνησα· ἰδοὺ δὲ τὸν γράφω ἐδῶ.

Κωνσταντῖνος Δουδέσκουλος· οὗτος εἰς τοὺς κατὰ καιρὸν αὐθέντας τῆς Βλαχίας ἐστάθη καὶ σπαθάρης, καὶ λογοθέτης, καὶ βόρνικος, καὶ μπάνος, ἐτιμήθη μὲ ταῖς μεγαλείτεραις ἀρχοντίαις, ὡς ἄξιος καὶ ξεχωριστὸς ἀπὸ ὅλους· ἦτον γὰρ ἄνθρωπος μεγαλοπρεπής, ὡς ἦτο καὶ μεγαλόσωμος. Μὲ ἔδωκεν, ὅταν ἤμουν εἰς Βουκουρέστι μὲ τὸ τίμιον ξύλον, ὡς πεντακόσια γρόσια· ὑπεσχέθη, ἔβαλε καὶ μετάνοιαν εἰς τὸ τίμιον ξύλον, νὰ ἔλθῃ μαζί μου εἰς τὸ ἅγιον Ὄρος, τὸν ἐμπόδισε δὲ ἕνας ἱερομόναχος, καὶ ἔμεινεν· ἔγινε δὲ καλόγηρος, καὶ μετωνομάσθη Κλήμης, καὶ ἀπέθανεν· ὁ θεὸς νὰ τὸν ἀναπαύσῃ· τοιοῦτος ἄρχωντας Βλάχος καὶ Μπόγδανος δὲν ξαναγεννᾶται!

Ἀλέξανδρος Λαρσινός, διδάσκαλος, διάδοχος Γεωργίου, μαθητὴς δὲ καὶ αὐτὸς τοῦ ρηθέντος Μακαρίου τοῦ Πατμίου.

Δημήτριος Μωραΐτης Νοταρᾶς, ἀνεψιὸς Χρυσάνθου τοῦ

πατριάρχου, ἰατροφιλόσοφος, ἀμφοτεροδέξιος, ἤγουν ἐπιστήμων εἰς τὰ ἑλληνικὰ καὶ λατινικά, ἀπέθανεν εἰς τὸ Βουκουρέστι· ὁ θεὸς νὰ τὸν ἀναπαύσῃ. Τοῦτος κοντὰ εἰς τὰ ἄλλα, μετέφρασεν ἀπὸ τὸ λατινικὸν εἰς τὴν γλῶσσάν μας, καὶ Γεωγραφίαν (τὴν ἔχω), ἧς ἐπιγραφή· «Σύντομος μερισμὸς τῆς ὑδρογείου σφαίρας.» ἔχει δὲ εἰς τὴν ἀρχὴν τοὺς στίχους τούτους.

Γεωγραφία σύντομος φωνῆς ἐκ λατινίδος
εἰς τὴν Ἑλλάδα τὴν ἁπλῆν καλῶς μεταφρασθεῖσα
παρὰ σοφοῦ ἀκέστορος, τοὔνομα Δημητρίου,
τὸ γένος ὄντος Νοταρᾶ τοῦ Πελοποννησίου,
ἧς ἡ ἐπιδιόρθωσις καὶ κρίσις ἡ τελεία
ἐγένετο νοΐ λεπτῷ τοῦ μακαριωτάτου
ἁγιωτάτου τε πατρός, ὁμοῦ καὶ σοφωτάτου
ἱεράρχου προσκυνητοῦ τῶν Ἱεροσολύμων,
δεσπότου, καὶ ποιμάντορος κυρίου κὺρ Χρυσάνθου,
τοῦ ἐπωνύμου πάντως γε ἄνθους χρυσαυγεστάτου,
παρ' οὗ καὶ ἀφιέρωται κυρίῳ Γρηγοράσκῳ (1)
Γκίκᾳ τῷ πάνυ, καὶ κλεινῷ, καὶ πανευγενεστάτῳ
τῆς κραταιᾶς τῷ ἑρμηνεῖ μεγάλῳ βασιλείας·
ὃν ὁ τῶν πάντων κύριος θεὸς διατηροίη
ἔνδοξον καὶ περίβλεπτον, λίαν τετιμημένον
εἰς ἔτη μαθουσάλια, πανευτυχῆ τε ἅμα,
μετ' ἀγαθῶν τε τῶν λοιπῶν καὶ τῶν καταθυμίων,
μετὰ τῶν οὐρανίων τε ὁμοῦ καὶ ἐπιγείων.

Αὐτὴ ἡ Γεωγραφία εἶναι ὡς τέσσαρες κόλλαις, ἀξιόλογος δὲ καὶ ἀξιοτύπωτος. Ἔχει καὶ μίαν πλαστὴν ἐπιστολήν, τὴν ὁποίαν δὲν ἠμπορῶ παρὰ νὰ τὴν γράψω καὶ αὐτήν, ὡς ἀξίαν γραφῆς καὶ εἶναι αὐτή. «Ἐπιστολὴ πρὸς φιλόσοφον, ἐν ᾗ περιγράφεται οἰκία ἐρημική (2).»

(1) Τὸν ἀδελφὸν τοῦ ἀποκεφαλισθέντος Ἀλεξάνδρου λέγει.

(2) Παραλείπεται ὡς ἀτελὴς καὶ πάντῃ ἀσήμαντος. (Σ. Ε.)

Γ.

ΣΕΡΓΙΟΥ ΜΑΚΡΑΙΟΥ
ΥΠΟΜΝΗΜΑΤΑ
ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
(1750 — 1800.)

ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

Ἔτος μὲν τὸ σωτήριον διηνύετο χιλιοστὸν ἑπτακοσιοστὸν πεντηκοστόν, τὰ δὲ τῆς ἐκκλησίας ἤρξατο καταβαρύνεσθαι παντοδαπαῖς εἰσφοραῖς χρημάτων καὶ ἀναλώμασιν (Α) οὐ μὴν ἀλλὰ διηνοχλεῖτο καὶ ταῖς τῶν αἱρετικῶν μηχαναῖς, καὶ κρυφίως διεπολεμεῖτο, καὶ δολίως διεταράττετο. Τοῦ δὲ ἀπὸ Νικομηδείας κυρίου Κυρίλλου τοῦ Ε΄ τὸν οἰκουμενικὸν θρόνον διϊθύνοντος, καί τινων λατίνων τῇ ὀρθοδόξῳ τοῦ Χριστοῦ ἐκκλησίᾳ προσελθεῖν αἰτησαμένων, τέως μὲν τοῖς ἐν τῷ Γαλατᾷ ἱερεῦσιν ἀπορίας ἐδόκει καὶ συζητήσεως ἄξιον, εἰ ἄρα μύρῳ χρίεσθαι τοὺς λατίνους προσιόντας τῇ ἀμωμήτῳ τοῦ Χριστοῦ ἐκκλησίᾳ, ἢ βαπτίζειν αὐτούς, ὡς ὅλως τὸ βάπτισμα τοῦ Κυρίου ἀθετήσαντας καὶ τὰ παρὰ τῶν ἰδίων ἱερέων ἐφευρήματα προελομένους.

Ταύτης γοῦν τῆς συζητήσεως καὶ ἀπορίας ἐνηνεγμένης τῷ παναγιωτάτῳ οἰκουμενικῷ πατριάρχῃ κυρίῳ Κυρίλλῳ, προσεπεξετασθέντος τοῦ ἔθους τῶν νῦν δυτικῶν, καὶ τῆς παραχρήσεως καὶ διαφθορᾶς τοῦ διὰ τῶν Ἀποστόλων καὶ τῶν θείων Πατέρων παραδοθέντος ὑπὸ τοῦ Κυρίου βαπτίσματος φωραθείσης, ἐπετράπη τοῖς ἱερεῦσι βαπτίζειν τοὺς προσιόντας τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ λατίνους, ὡς ἀβαπτίστους· τοῦτο δὴ καὶ διαλαλεῖν τοῖς τὸν λόγον τοῦ Κυρίου λαλεῖν προελομένοις ἐφεῖτο.

Ἐντεῦθεν οὖν καὶ συζητήσεις τῶν λογίων διεθερμαίνοντο, καὶ διηκριβοῦτο τὸ πρότερον ἔθος τῆς δυτικῆς ἐκκλησίας, καὶ τὸ καινοτομηθὲν ὕστερον καὶ παραποιηθὲν καὶ παραρρεῦσαν εἰς ραντίσματα κατεξηραίνετο καὶ εἰς τὸ μὴ εἶναι ὅλως βάπτισμα διηλέγχετο· καί τινες δὲ καὶ σημειώσεις ἐλέγχων διετυποῦντο καὶ εἰς κοινὴν ἀνάγνωσιν ὑπεστρώννυντο, καὶ πανταχῇ διελα-

λεῖτο καὶ διεκηρύττετο ὡς οἱ νῦν λατῖνοι καὶ δυτικοὶ εἰσὶν ἀβάπτιστοι.

Τοῦτο γοῦν οὕτω τρανῶς πρῶτον διακηρυχθὲν (Β) διεθρόησε καὶ ἄκρως ἐλύπησε τούς τε ἐν τοῖς ὁρίοις τῆς μεγάλης ταύτης πόλεως εὑρισκομένους λατίνους καὶ τοὺς ἐν ταῖς νήσοις καὶ ἁπανταχοῦ τοῦ ὀθωμανικοῦ κράτους διεσπαρμένους. Καὶ δὴ ἤσχαλον διατειχισθέντες τῆς σπουδαζομένης σφίσι κοινωνίας, δι' ἧς τοὺς ἀφελεστέρους ὑπαγόμενοι καὶ ἐξαπατῶντες δολίως ἐπὶ τὸν βόθρον τῆς κακοδοξίας αὐτῶν κατεβίβαζον, μικρὰ ἄττα διαφέρειν τοὺς ἀνατολικοὺς τῶν δυτικῶν ὑποκρινόμενοι, ἔθιμα ταῦτα καὶ οὐ δόγματα καλοῦντες, καὶ ταῦτα τοῖς μεταποιεῖν βουλομένοις πρόχειρα, καὶ τοῖς διατηροῦσιν ἥκιστα ἐπιβλαβῆ, ἀδιάφορα ὄντα ταῖς ἐκκλησίαις καὶ ἀνεπίμομφα. Διὸ καὶ κοινωνίας γαμικὰς καὶ ἐναλλὰξ διαμείβοντες, καὶ τὰς τελετὰς τῶν μυστηρίων τῆς ἀνατολικῆς τοῦ Χριστοῦ ἀμωμήτου ἐκκλησίας παρεῶντες τὴν ἀρχὴν ἀπαραποιήτους, τὴν ὑποταγὴν μόνην τῷ πάπᾳ Ῥώμης ᾐτοῦντο, καὶ ὁμολογίαν παρὰ τῶν δελεασθέντων ἐλάμβανον, ὡς οὔτε εὐλογία, οὔτε σωτηρία ἐπὶ γῆς εἰ μὴ ἐν χειρὶ τοῦ πάπα Ῥώμης, ὅτι αὐτὸς μόνος ἔχει τὴν ἀποστολικὴν ἐξουσίαν τὸ δεσμεῖν καὶ λύειν, ὅτῳ καὶ ὡς βούλεται. Διὰ τοιούτων οὖν καὶ τηλικούτων ῥᾳδιουργημάτων καταγοητεύσαντες πολλοὺς μὲν ἐν νήσοις, πλείστους δὲ κατ' Αἴγυπτον καὶ Συρίαν ἐπὶ τὸν ἴδιον αὐτῶν λάκκον, μάλιστα ἀπ' ἀρχῆς τῆς νῦν ληγούσης ιη'. ἑκατονταετηρίδος μέχρι μεσούσης, κατήνεγκον (Γ).

Κατὰ ταύτης δὲ τῆς κακομηχάνου εἰσβολῆς τῶν ἀκεραίων ὀρθοδόξων χριστιανῶν ζῆλον ἔνθεον ἐνδειξάμενοι ὅ,τε μακαριώτατος καὶ ἁγιώτατος πάπας καὶ πατριάρχης Ἀλεξανδρείας κύριος Ματθαῖος καὶ ὁ μακαριώτατος καὶ ἁγιώτατος πατριάρχης Ἀντιοχείας κύριος Σίλβεστρος, πολλὰ μὲν διειργάσαντο ἀποσοβοῦντες τῆς ἰδίας αὐτῶν ποίμνης τοὺς λυμεῶνας, οὐ μικρὰ

δ' ἔπαθον τῇ ἐκείνων ἀντιστάντες κακομηχανίᾳ· τέλος ἀλλ' οὖν ἀμφότεροι διέλυσαν τὴν κακῶς γενομένην κοινωνίαν, ἀποτεμόντες τὸ σεσηπὸς τοῦ ὑγιαίνοντος, εἰ καὶ πολὺ κατεῖδον τὸ διεφθορὸς καὶ βραχύ τι περιέστη τὸ σωζόμενον.

Ἀλλὰ τὰ μὲν τῶν ἁγιωτάτων πατριαρχῶν τοῦ τε κυρίου Ματθαίου καὶ κυρίου Σιλβέστρου λεγόμενα καὶ πραττόμενα ἐλύπει μὲν ἀντιβαίνοντα τοῖς λατίνοις, οὐ τοσοῦτον μέντοι κατέσεισε τὴν σφῶν μηχανήν· ὁ δὲ τοῦ λατινικοῦ ῥαντίσματος ἔλεγχος καὶ ἡ διαλαλιὰ ἐν Κωνσταντινουπόλει, ὡς οἱ δυτικοὶ εἰσὶν ἀβάπτιστοι, οὐχ ὅπως τὰς μηχανὰς ἐκ βάθρων καθεῖλέ τε καὶ ἀνέτρεψε καὶ τὰς ληστρικὰς ἐφόδους ἀνέστειλε, καὶ τῶν ἀφελεστέρων διήνοιξε τοὺς ὀφθαλμούς, ὡς ἀπὸ ἀβαπτίστων ἀποπηδᾷν καὶ ἀπὸ πειρατῶν ἀποφεύγειν καὶ ἀπὸ λοιμῶν διατειχίζεσθαι· ἀλλὰ καὶ δέος ἐνεπεποιήκει αὐτοῖς μὴ καὶ τῶν ἰδίων λαῶν περιέλῃ τὴν ἀχλύν, ὑφ' ἧς ἐν τοσούτοις κατὰ σκότος ἠλάσκουσι.

Ταύτης οὖν τῆς καταστηλιτεύσεως τὴν αἰτίαν οἱ ἐν ταῖς Συκαῖς καὶ περὶ τὰς Συκὰς ἐνδιατρίβοντες δυτικοί, οἵ τε ἰδιῶται, ἀλλὰ δὴ καὶ τῶν βασιλέων τῆς Δύσεως ἁρμοσταὶ (Δ) ἐπὶ τὸν παναγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην κύριον Κύριλλον τὴν αἰτίαν ἀνέθεντο, καὶ καθελεῖν τοῦ θρόνου ἐπηρῶντο, εἴπως τοὺς διακηρύττοντας κατασιγάσειεν κρύφα, καὶ τῶν ἀρχιερέων καὶ τῶν εὐγενῶν καὶ προκρίτων τοῦ ἡμετέρου γένους τισὶ διαμαρτυροῦντες ἀνήκεστον κατὰ παντὸς τοῦ ἡμετέρου γένους, μάλιστα τοῦ ἐν διασπορᾷ ἐν τοῖς ὁρίοις αὐτῶν, τὴν ἀπέχθειαν καὶ τὸ μῖσος ἀφόρητον, καὶ μυρία ἐπαπειλοῦντες δεινά, εἰ μὴ τὸν κὺρ Κύριλλον τοῦ θρόνου ἐκστήσαιεν.

Οἱ δὲ οἰκονομοῦντες τὸν καιρὸν καὶ τὰς ὀργὰς τῶν βασιλέων ἐκτρεπόμενοι, ἐξωθοῦσι τοῦ οἰκουμενικοῦ θρόνου τὸν κύριον Κύριλλον, προφάσει δῆθεν καὶ ἐνδείξει πρὸς τοὺς κρατοῦντας χρώμενοι, ὅτι χρηματικοῖς δανείοις κατεβάρυνε τὴν ἐκκλη-

σίαν, καὶ ἀντ' αὐτοῦ καλοῦσιν ἐπὶ τὸν πατριαρχικὸν θρόνον δ'. ἤδη τὸν παναγιώτατον κύριον Παΐσιον.

Διετέλεσεν οὖν ἐπὶ τὸν οἰκουμενικὸν θρόνον κατὰ τὴν πρώτην αὐτοῦ ταύτην πατριαρχείαν ὁ ἁγιώτατος πατριάρχης κύριος Κύριλλος ἔτη δύο καὶ μῆνας ὀκτώ, ἀπὸ τοῦ ᾳψμη' ἔτους ἕως τοῦ ᾳψνα'. Ἐκράτει δὲ τῆς Κωνσταντινουπόλεως τῶν Ὀθωμανῶν μονάρχης ὁ Μαχμούτης.

Ἀπὸ δὲ ταύτης τῆς πρώτης πατριαρχείας τοῦ κὺρ Κυρίλλου ἤρξατο καὶ αὖθις καταβαρύνεσθαι ἡ τοῦ Χριστοῦ ἐκκλησία χρέεσι καὶ συνεισφοραῖς· διὰ γὰρ τὰς συνεχεῖς ἐπιδρομὰς καὶ συσκευωρίας τῶν ἐπιβούλων, πολυταλάντοις δαπάναις χρησαμένου πρὸς τοὺς κρατοῦντας τοῦ κὺρ Κυρίλλου, ὥστε τὴν ἐκεῖθεν ἐγειρομένην ὀργὴν ἐκκλίνειν, καὶ ἀντικρούειν πρὸς τὰς τῶν ἐχθρῶν προσβολάς, συνεχῶς ἀντιπαλαιοντος καὶ γενναίως ἀνθισταμένου, ἀπὸ πεντακοσίων μέχρι χιλίων ταλάντων τὰ χρέη προσηύξησεν.

Ἦν μὲν οὖν ὁ παναγιώτατος κύριος Κύριλλος ὁ Ε'. τὸ γένος Πελοποννήσιος, τὴν γνώμην εὐθύς, τὸν τρόπον ἁπλοῦς, εἰ καί τισι ποικίλος ἐδόκει, πρὸς τὰς πολλὰς μηχανὰς τῶν ἀντιπάλων πολλαχῶς ἀντιτασσόμενος, φιλάρετος, φιλάγαθος, ἐπιεικής, φιλομαθής, τῇ ἀναγνώσει τῶν θείων βιβλίων προσκείμενος, βίον ᾑρημένος τὸν τελεώτερον, διὸ καὶ ἀγρυπνίας μείζονας καὶ νηστείας συνεχεστέρας ἐποίει, καὶ ἀκολουθίας ἐκκλησιαστικὰς μακροτέρας ἐφίλει, καὶ πρὸς πάντα γενναῖος ἐδόκει, ὀξύς τε περὶ τὰ πρακτέα, καὶ σφοδρὸς πρὸς τὰ δόξαντα, ἄτρεπτος καὶ ἀδεὴς πρὸς τὰ ἀντιπίπτοντα. Ἐντεῦθεν καὶ ζηλωτὴς τῶν ὀρθοδόξων δογμάτων διάπυρος ἐγνωρίζετο καὶ παρὰ παντὸς τοῦ λαοῦ διεθρυλλεῖτο καὶ διαφερόντως ἠγαπᾶτο, τῇ ἀγλαΐᾳ τῶν ἰδίων ἀρετῶν συμπάντων τὰς ψυχὰς καταθέλγων καὶ ἐφελκόμενος, εἰ καὶ τὸν ἀληθῆ ζῆλον τοῦ ἀνδρὸς ποικίλως συγκαλύψαι ἐτεχνῶντο οἱ διαβάλλοντες, πανοῦργον αὐτὸν ἀπο-

καλοῦντες, ὥσπερ οἱ αἱρετικοὶ αἱρετικὸν ἐδυσφήμουν τὸν ὀρθοδοξότατον.

Διὰ μὲν οὖν τὰς εἰρημένας ἐπιβολὰς τῶν αἱρετικῶν καὶ τῶν αὐτοῖς χαριζομένων, ἤτοι δι' ἀνάγκην, ἢ φθόνον, ἄλλως δὲ καὶ ἄγνοιαν τῶν λεγομένων καὶ πραττομένων, (φιλεῖ γὰρ ἐν τοιούτοις συγκυρεῖν πολλὰ ἐκ πολλῶν πάθη τε καὶ διαφέροντα) ἐξώσθη τοῦ οἰκουμενικοῦ θρόνου ὁ κύριος Κύριλλος, εἰς Χάλκην νῆσον μίαν τῶν Κυανέων περιορισθείς, ἐν ἁδρᾷ τῆς ἐκκλησίας χορηγίᾳ καὶ πολλῇ τῇ τιμῇ καὶ περιποιήσει ἐφησυχάζων. Ὁ δὲ παναγιώτατος κύριος Παΐσιος διὰ πολλῶν δεήσεων καὶ κοινῆς τῶν ἁγίων ἀρχιερέων καὶ εὐγενεστάτων ἀρχόντων καὶ κληρικῶν προσκλήσεως καὶ ἱκετείας πρὸς τοὺς δυνάστας, ἐπαναλαμβάνει τέταρτον τὸν οἰκουμενικὸν καὶ ἀποστολικὸν θρόνον, καὶ τὴν συνήθη αὐτῷ πρὸς πάντας ἐπιείκειαν καὶ τὰς πολλὰς καὶ θαυμαστὰς ἐπιδήλους ἀρετὰς πανταχοῦ ἐφαπλοῖ, ποιμαίνων νουνεχῶς, ἰθύνων ἐπιστημόνως καὶ θεοφιλῶς διεξάγων σύμπασαν τὴν ἐκκλησίαν, ὡς ἐθὰς παντοδαπῶν καὶ ποικίλων πραγμάτων, καὶ διὰ μακροῦ ἐγγεγυμνασμένος τῇ τοιαύτῃ οἰκουμενικῇ ποιμαντορίᾳ ὑπὸ τοιαύτην πολύτροπον δυναστείαν, ὑφ' ἧς τοσαῦτα καὶ τηλικαῦτα καθ' ἑκάστην ἐπηρεάζεται, καὶ τὸν πανοῦργον καὶ δεινότατον συνεχῶς διαθλοῖ πόλεμον· ἀλλὰ καὶ πρὸς τὸν ἔξωθεν ἐπαπειλοῦντα προσρῆξαι βιαιότερον ἀντέπραττεν, ἀγχιστρόφῳ καὶ πολιτικῇ φρονήσει λίαν εὐμηχάνως ἀντιτασσόμενος, καὶ λωφῆσαι μὲν τὴν ὀργὴν τῶν δυτικῶν καὶ τὰς ἀπειλὰς διαλῦσαι ἐπειρᾶτο, κατασιγάσαι δὲ τοὺς λαλοῦντας τὴν ἀλήθειαν οὐκ ἤθελεν.

Ἐντεῦθεν δὴ κόμματι τῶν διαλαλούντων ὡς οἱ δυτικοὶ νῦν εἰσιν ἀβάπτιστοι ἀπεναντίας αὐτῷ δῆθεν ἀπερρύη, ὅπερ ὁ γεραρὸς καὶ πολιὸς τὴν τρίχα, πολιὸς δὲ τὸ φρόνημα συνεχῶς οἰκονομῶν ἐδόκει περιορᾶν, τῷ δ' ὄντι ὑπερρώνυεν, ὥστε τὴν ἀλήθειαν κηρύττεσθαι συνηδόμενος τοῖς προθυμουμένοις, καὶ μη-

δένα κωλύων διελέγχειν, κἂν αὐτὸς ἀπὸ τοῦ θρόνου οὐ κατε λάλει τῶν δυτικῶν, παρεῖχε μέντοι ἄδειαν τοῖς λογίοις βουλομένοις καὶ λέγειν καὶ γράφειν ἀποδεικτικῶς ἐκ τῶν θείων Γραφῶν περὶ τοῦ βαπτίσματος.

Ἀλλὰ τὴν μὲν οἰκονομίαν καὶ ἀνάγκην δι' ἣν τοῦ θρόνου καθεῖλον τὸν κύριον Κύριλλον ὀλίγον σύνιδον· ἐδόκει δὲ τοῖς πολλοῖς ὅτι διὰ χρηματικὰς ἐξόδους· τινὲς δὲ καὶ λογισάμενοι τὸ εἰκός, τὴν πολυθρύλλητον διαλαλιὰν καὶ καταφορὰν τοῦ λατινικοῦ ῥαντίσματος αἰτίαν ὑπέλαβον· συγκεχυμένως μέντοι συνῆκαν καὶ κακῶς ἐδόξαζον ἀντιπράττοντα τῷ κηρύγματι τοῦ βαπτίσματος τὸν ἁγιώτατον καὶ τῷ ὄντι μέγαν ἐν πατριάρχαις κύριον Παΐσιον· μήτε δὲ τοῖς ἐφεξῆς πραττομένοις ἐπιστήσαντες, μηδὲ συνιέντες οἷς νοῦς ἔμφρων ἀντιτεχνᾶται τὰ δοκοῦντα διαπραττόμενος καὶ τὴν ἄλλοθεν ἐπιγινομένην βλάβην ἀποσοβῶν, ἤρξαντο διαβάλλειν πρὸς τὸν λαὸν καὶ βλασφημεῖν τὸν τῆς εὐσεβείας προστάτην, ὡς ἀπεναντίας φρονοῦντα τῷ ὀρθῷ δόγματι, καὶ πολλοὺς τοῦ δήμου ἀνέπειθον τῇ σφῶν συνολισθαίνειν ἀπάτῃ, καὶ τὸν τῆς ἐκκλησίας ἔμπειρον οἰακοστρόφον καὶ ἔνθεον κυβερνήτην ἀδίκως κερτομεῖν ὑβρίζοντες.

Ηὔξησε δὲ ἡ τοιαύτη εἰς τὸν λαὸν διαβολὴ καὶ διεχύθη μάλιστα ἐν τῇ πανδήμῳ συρροῇ τοῦ λαοῦ, ἥτις ἔν τινι τῶν περιχώρων τῆς Νικομηδείας ἐγίνετο ἐπὶ θέᾳ καὶ ἀκροάσει μοναχοῦ τινος Αὐξεντίου τοὔνομα, ἁπλοῦ καὶ ἀκάκου, τὸν ἀσκητικὸν βίον προελομένου, δεήσεσι καὶ νηστείαις τὴν σάρκα τήξαντος, καὶ τὴν πρώτην ᾗ φασι στάσιν τῆς ἀσκήσεως ἐπιβάντος, ὃς τὰ πρῶτα διδάσκων τοὺς προσιόντας ἤρξατο εἰς ἦθος κοσμῶν, λογισμῶν τινων ἐφαπτόμενος, ὥστε καὶ κρύφια διελέγχειν καὶ δοκεῖν δυνάμεις οἷός τε ἦν ἐργάζεσθαι. Ταύτης δὲ τῆς ὑπολήψεως διαδοθείσης εἰς τὸν λαόν, συνήρχετο πανταχόθεν τὰ πλήθη, εὐλαβείᾳ φερόμενοι, καὶ μικροῦ δεῖν σύμπας συνεκινεῖτο

τῆς μεγάλης ταύτης πόλεως καὶ τῶν πέριξ πόλεων ὁ λεὼς καὶ διεβοήθη πανταχοῦ θαυμάσιός τις εἶναι δοκῶν.

Ἀλλ' οὗτος μὲν τὴν ἀρχὴν ἴσως δι' ἁπλότητα προκύψας εἰς τὸν λαόν, νουθετεῖν καὶ διδάσκειν προβαλόμενος τῇ πανδήμῳ συρροῇ τοῦ λαοῦ καὶ κιβδηλίᾳ τοῦ βίου ἐκλάπη παρατραπεὶς ταῖς ἐπιβολαῖς καὶ νοθεύμασι τῶν πονηρῶν, καὶ ὡς ἐπὶ σκηνῆς κατεπαίχθη ὑπὸ πανούργων ὑποκριτῶν, οἵ τινες ἀφορμῆς δραξάμενοι τῆς ἀρετῆς τοῦ ἀνδρὸς πολλὰ κατεψεύσαντο, παράδοξα τερατευόμενοι καὶ διασκευάζοντες ἐπὶ ἀπάτῃ τῶν ἀφελεστέρων νοθεύοντες καὶ τὴν ἀρετήν, εἴ τις ἦν αὐτῷ, καὶ ἀναιδῶς κατορχούμενοι.

Τούτῳ γοῦν ἀδεῶς διακηρύττοντι ὡς οἱ νῦν δυτικοὶ καὶ Ἀρμένιοι (Ε), τοῦ διὰ τῶν θείων Ἀποστόλων παραδοθέντος βαπτίσματος κατολιγωρήσαντες ὅλως εἰσὶν ἀβάπτιστοι· τοῦτο γὰρ καὶ διακηρύττειν παρρησίᾳ εἰσηγήσαντο καὶ παρώτρυναν αὐτόν τινες, οἵτινες ἤτοι διὰ δέος, ἢ δι' ἄλλας ὠφελείας σφίσι τῶν λατίνων καὶ Ἀρμενίων καταλαλεῖν οὐκ ἐτόλμων· τέως ὁ περὶ αὐτὸν χορὸς τὴν ὀργὴν τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου καὶ τῶν ἁγίων ἀρχιερέων, ἀπαρεσκομένων οἷς ἔπραττον, δεδιώς, ὑποβάλλει δολίως ὡς δι' αὐτὸ τοῦτο ἀπαρέσκονται ὅ τε πατριάρχης καί τινες ἀρχιερεῖς ὅτι τῶν λατίνων καταλαλεῖ, αὐτοῖς χαριζόμενος, διὸ καὶ τὸν παναγιώτατον κύριον Κύριλλον τοῦ θρόνου ἐξέωσαν, προδότας αὐτοὺς τῆς ἀληθείας δυσφημοῦντες, καὶ κατ' αὐτῶν ὑπὲρ τῆς ἀληθείας δῆθεν ἐκεῖνον ἠρέθιζον.

Ἔκτοτε οὖν ἤρξατο καὶ αὐτῷ ἐπιρρίπτειν τῷ ὄχλῳ κατὰ τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Παϊσίου καί τινων ἀρχιερέων λόγους ἀεικεῖς, οἷς προσθέντες οἱ ὑποκριταὶ κατελάλουν βλασφημίας, καταλαλοῦντες ἀνοσίως πρὸς τὸν λαὸν καὶ διαβάλλοντες τοὺς ἁγίους καὶ τὸν παναγιώτατον κύριον Κύριλλον ὑπερεκθειάζοντες, τὴν αὐτοῦ ἀπὸ τοῦ θρόνου ἔξωσιν, παντελῆ τῆς ἐκκλησίας καθαίρεσιν διεβεβαιοῦντο.

Ταύτης δὲ τῆς λαλιᾶς ἐνεχθείσης τῷ παναγιωτάτῳ οἰκουμενικῷ πατριάρχῃ κυρίῳ Παϊσίῳ καὶ τοῖς ἐνδημοῦσιν ἀρχιερεῦσιν, ὑπόνοιά τις ἐγένετο ὡς εἰδήσει καὶ ὑποβολῇ τοῦ παναγιωτάτου κυρίου Κυρίλλου, νέαν πατριαρχείαν ἑαυτῷ μετιόντος, ταῦτα διαφημίζεσθαι, εἰ καὶ τὰ διαπραττόμενα τοῖς ἐκεῖ καὶ αὐτῷ ἦν ἀπαρέσκοντα· ἀπέστειλαν οὖν διαπυνθανόμενοι, εἰ ἄρα σύνοιδε τὰ ἐκεῖ· ὁ δὲ ἐνόρκως ἐβεβαιοῦτο μήτε συνειδέναι μήτε ἐπευδοκεῖν καὶ ἀρέσκεσθαι τοῖς ἐκεῖ πραττομένοις καὶ λεγομένοις, μηδὲ ὅλως πατριαρχείας ἐθᾶν, ἀρκεῖσθαί τε τοῖς χορηγουμένοις καὶ αἱρεῖσθαι ἐφησυχάζειν διὰ βίου, εἰ μόνον τὰ τῆς ἐκκλησίας μένει ἀβλαβῆ καὶ ἀπήμονα.

Τούτων ἐνόρκως βεβαιωθέντων ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου ἐν Χάλκῃ τῇ νήσῳ, ὁ μὲν παναγιώτατος Κύριλλος ἔμεινεν ἐφησυχάζων· ἀπελύοντο δὲ καὶ οἱ ἀρχιερεῖς τῆς περὶ αὐτοῦ ὑπονοίας· ὁ δὲ ὄχλος συλλαβὼν (ΣΤ) πονηρὰν ζύμην ἐκ τῆς ἀνοσίου διαβολῆς, διοιδαίνει τὰς ψυχάς, καὶ τὰς φρένας τυφόμενος ἐλύσσα κατὰ τοῦ εὐεργέτου, καὶ τέλος ἐξέμηνε κατὰ τοῦ ἁγιωτάτου καὶ θείου πατριάρχου κυρίου Παϊσίου· καὶ δὴ οὐ μετὰ πολλὰς τὰς ἡμέρας συρρεύσαντες ἐν Κυριακῇ ἀγεληδὸν εἰς τὸ πατριαρχεῖον κατεθρόησαν βοῶντες μετὰ πολλοῦ τοῦ ὁμαδοῦ καὶ θορύβου, — οὐκ ἔτι σὲ θέλομεν· Ἀρμένιος εἶ! λατῖνος εἶ (φεῦ τῶν ἀνοσίων βλασφημιῶν)· διατὶ οὐ βαπτίζεις Ἀρμενίους, διατὶ οὐ βαπτίζεις λατίνους; διατὶ ζητεῖς ἐξορίσαι τὸν ὅσιον; οὐκ ἔτι σὲ θέλομεν!

Ταύτης οὖν τῆς βοῆς συμπεσούσης ἐν τῷ πατριαρχείῳ καὶ συρροῆς συμμιγοῦς ὄχλου πανταχόθεν ἐπιτρεχούσης, αἴφνης ἀκούσας καὶ κατιδὼν ὁ πατριάρχης τὸ τοσοῦτο πλῆθος ἐπειρᾶτο πραΰνειν καὶ καταπαύειν τῆς τοιαύτης ὁρμῆς τὸν συρφετόν. Οἱ δὲ προλήψει δεινῇ προϊσχημένοι ἐκβακχευθέντες τῇ γοητείᾳ τῶν ὑποκριτῶν ζέοντες τῷ θυμῷ, κύνες οἱονεὶ λυσσῶντες, καὶ θῆρες ἄγριοι, ἐφάλλονται ἐπὶ τὸν πρᾳότατον γη-

ραιόν, καὶ τῆς αὐτοῦ κέλλης ἀφαρπάσαντες κατήγαγον, ἐλεεινῶς ἕλκοντες, ἀνιλεῶς τε τύπτοντες, ἐμπτύοντές τε ἀναιδῶς καὶ ἀνοσίως δυσφημοῦντες οἱ παράφρονες· καὶ ἦν τότε ἰδεῖν οἰκτρὸν θέαμα τῆς ποίμνης μανείσης κατὰ τοῦ ποιμένος, δίκην λύκων αἱμοβόρων τοῖς ὀδοῦσι διασπαράξαι λυσσώντων· καὶ τῶν ἰδίων ὑβριζόντων, τῶν ξένων καὶ ἀλλοεθνῶν διὰ σπουδῆς ἦν διασῶσαι τὸν ὑβριζόμενον, δεινοπαθούντων τοῖς ἀδίκως γινομένοις, καὶ δυσφορούντων ἐκτόπως ἐπὶ τῇ παρανόμῳ συνοχῇ καὶ ἐπαναστάσει, καὶ τῇ τοιαύτῃ ἀνοσίῳ ὕβρει τοῦ παρὰ πᾶσιν αἰδεσίμου ἀνδρός· ἦν γὰρ δὴ καὶ τοῖς ἀλλοφύλοις καὶ ὁρώμενος αἰδέσιμος ὁ ἁγιώτατος. Ὁ οὖν παρεδρεύων τῇ πύλῃ τοῦ Φαναρίου χιλίαρχος συνηλίσας τὴν περὶ αὐτὸν σπεῖραν καὶ ἐφοπλίσας ροπάλοις, οἷς εἴωθεν, ἐφορμήσας γενναίως ἐξεῖλε τῶν φρενοπλήγων τῆς μανίας ἡμιθανῆ τὸν σεβαστὸν γηραιὸν καὶ τοῦ θεοῦ ἄνθρωπον, καὶ τῷ ὄντι μέγαν ἱεράρχην, καὶ ἐμβιβάσας ἀκατίῳ ἀνῆγεν ἐπὶ τὸ στρατήγιον, ᾗ οἱ εἴθισται ἀπάγειν τοὺς διαφερομένους· τοῦ δὲ στρατηγοῦ, μὴ ἐξὸν αὐτῷ ἐπιδικάζειν τὰ τοιαῦτα κελεύσαντος, ἤγαγον ἐκεῖθεν πρὸς τὸν ἐπίτροπον· συνεχύθη δὲ ἐπὶ τὴν αὐλὴν τοῦ ἡγεμόνος πολὺς ὁ φρενόπληκτος ὄχλος, καὶ ὁ μὲν ἐπ' αὐτῆς ἐκυμαίνετο ἐνθουσιῶν καὶ κράζων, ἆρον, ἆρον, ἀπόστησον ἀφ' ἡμῶν, οὐκ ἔτι αὐτὸν θέλομεν! ὁ δὲ πραῢς καὶ χριστομίμητος πατριάρχης ἕστηκεν ἐν τοῖς ἔθνεσι δοξάζων τὸν δεσπότην Χριστὸν, ὅτι καὶ ἐν τοιούτοις παιδεύει προσοικειούμενος, καὶ διατυπῶν ἑαυτῷ ἕως οὗ μορφωθῇ ὅλως ἐν αὐτῷ.

Ἰδὼν οὖν ὁ ἐπίτροπος τὴν τοιαύτην τοῦ ὄχλου συστροφὴν καὶ σύστασιν ἠγανάκτησε σφόδρα, ἵνα δὲ μή τι χεῖρον ἐπισυμβῇ τῷ ὄχλῳ, διηρώτα ἐπὶ τίνι συνῆλθον, καὶ τί βούλονται; τῶν δὲ ἀποκριναμένων, τὸν πατριάρχην αὐτὸν ἐφ' ἡμᾶς οὐκ ἔτι στέργομεν, ἐπηρώτα, τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ κατεβόων, ἐξωσθήτω, ἀπελάσθω, λατῖνός ἐστιν, ἀρμένιός ἐστι!

καταγνοὺς δὲ τὴν τοιαύτην αὐτῶν βακχείαν, σκηπτῷ ὀργῆς καταπλῆξαι καὶ ξίφει διασκεδάσαι τὴν σύστασιν ἐβουλεύσατο· ὁ δὲ ἁγιώτατος καὶ πρᾳότατος πατριάρχης προσπεσὼν παρῃτεῖτο τῆς ὀργῆς τὸν λαόν, καὶ μεταστῆσαι αὐτὸν τοῦ θρόνου ἐδεῖτο, καὶ τὴν ποθουμένην ἡσυχίαν χαρίσασθαι, τὸ βαθὺ γῆρας περιβαλόμενος. Ταῖς γοῦν δεήσεσι τοῦ παρὰ πᾶσιν αἰδεσίμου καὶ ἁγιωτάτου ἀνδρὸς ἐπινεύσας ὁ ὑπέρτατος διέγνω μεταστῆσαι, καὶ διαπυθέσθαι τὸν ὄχλον ἐκέλευσε, τίνα πατριαρχεύειν αἱροῦνται· οἱ δὲ ἐπεφώνουν, τὸν πρότερον πατριαρχεύσαντα Κύριλλον· ἀποδεξαμένου δὲ τὴν αὐτῶν αἴτησιν, καὶ ἐπὶ τὴν αὔριον ἀναθεμένου τὴν προέλευσιν, καὶ διακελευσαμένου ἀπολύεσθαι εἰς τὰ ἴδια ἕκαστον, οὐδαμῶς ἀφίσταντο τῆς αὐλῆς ἐπικεκραγότες, νῦν ἡμῖν αὐτὸν δός, νῦν τὸν ὁρισμὸν ἀπόλυσον! περιβλεψάμενος δὲ καὶ κατιδὼν τὴν προπετῆ αὐτῶν σύστασιν διακαείς τε τῷ θυμῷ, αὖθίς τε ἐπισχὼν διεκέλευσεν ἄγειν μὲν τὸν πολλοῖς σπουδαζόμενον, τοὺς δὲ τῆς συστάσεως ἀρχηγοὺς διϊδεῖν καὶ καταγράψαι, ὅθεν καὶ οἷς ἕκαστος γνωρίζεται· οἱ δὲ τεταγμένοι παραλαβόντες ἔγγραφον τὸν ὁρισμὸν ἀνῆλθον εἰς Χάλκην προσκαλεσόμενοι τὸν παναγιώτατον κύριον Κύριλλον, ὃν καὶ ἀνήγαγον εἰς βασιλεύουσαν. Τῇ δὲ ἐπαύριον παραλαβὼν μεθ' ἑαυτοῦ τοὺς ἐνδημοῦντας ἀρχιερεῖς καὶ κληρικούς, ὡς εἴθισται, παρέστη τῷ ἐπιτρόπῳ καὶ τοῖς αὐτοῦ μεγιστᾶσι καὶ ἀπολαβὼν τὰ καββάδια, γνώρισμα τιμῆς καὶ ἐγκαθιδρύσεως, ἐπανῆλθε β'. ἐπὶ τὸ πατριαρχεῖον μετὰ ἀμυθήτου χαρᾶς τοῦ λαοῦ καὶ κοινῆς πανηγύρεως,

Ὁ δὲ ἐπίτροπος δεινοπαθήσας τοῖς γενομένοις, κατεδίκασε μὲν τοὺς ἀρχηγοὺς τῆς συστάσεως, ὧν κατεγράψατο τὰ ὀνόματα, εἰς θάνατον, ὃν οἱ πλείους δρασμῷ χρησάμενοι ἐξέφυγον, δύο δὴ συλληφθέντων καὶ πνιγέντων· κατῃτιᾶτο δὲ καὶ τοῦ παναγιωτάτου Κυρίλλου ὡς δημεγέρτου, ἐπ' αὐτὸν τὰς αἰτίας τῶν προηγησαμένων ἀδίκως μεταθέμενος, ἤτοι ταῖς δια-

6ολαῖς τινων κακοτρόπων πειθόμενος, ἢ τῷ συμφύτῳ πάθει τῆς φιλοχρηματίας ἀγόμενος, ἕως λάβῃ τὰ ἱκανά· καὶ δή, καθάπερ καινὸν πλημμελείας πρόστιμον, προσήκετο τάλαντα ἐννενήκοντα, καὶ τοὺς αἰτίους τῆς καταδίκης ἀπέλυσε.

Οὕτως οὖν ἐκστὰς τοῦ οἰκουμενικοῦ θρόνου τὸ δ'. ὁ παναγιώτατος κύριος Παΐσιος περιωρίσθη ἐν Χάλκῃ τῇ νήσῳ, ἔνθα ἐπιβιώσας θεοφιλῶς καὶ ὁσίως ἐν τῇ μονῇ τῆς ὑπεραγίας Θεοτόκου, πρὸς Κύριον ἐξεδήμησεν ἐν ἔτει ͵αψνϛ'. μηνὶ ὀκτωβρίῳ.

Ἦν δὲ ὁ ἁγιώτατος οὗτος πατριάρχης τὸ γένος Καισαρεύς, εὐσεβείᾳ καὶ φρονήσει κεκοσμημένος, γενόμενος δὲ Νικομηδείας μητροπολίτης, καὶ τὸ περιὸν τῆς συνέσεως αὐτοῦ ἐν πολλοῖς καὶ ἀγαθοῖς ἐπιδείξας, κοινῇ ἐκλογῇ καὶ ψήφῳ μετὰ τὸν πολὺν Ἱερεμίαν προήχθη τὸ α'. ἐπὶ τοῦ οἰκουμενικοῦ θρόνου κατὰ τὸ ͵αψκϛ'. ἔτος, καὶ διϊθύνας τὸν θρόνον ἓξ ἔτη ὑποχωρεῖ αὖθις τῷ Ἱερεμίᾳ, καὶ πάλιν ἀπὸ τοῦ κυροῦ Νεοφύτου ἀναλαβὼν τῷ ͵αψμ'. ἐπέσχε μῆνας εἴκοσιν, αὐτῷ πάλιν ὑποχωρήσας, καὶ ἀμοιβαδὸν ἐξ αὐτοῦ ἀπολαβὼν τὸ γ'. κατὰ τὸ ͵αψμδ', διέμεινεν ἐπ' αὐτὸν ἔτη τρία καὶ μῆνας ἕξ· τὸ τέταρτον δὲ καὶ τελευταῖον ἀπὸ τοῦ κυροῦ Κυρίλλου παραλαβὼν καὶ διϊθύνας μῆνας δεκαπέντε, ἀφῆκεν αὐτὸν τῷ Κυρίλλῳ, δώδεκα ἔτη καὶ μῆνας πέντε ἐκ διαλειμμάτων τοῦ οἰκουμενικοῦ καὶ ἀποστολικοῦ θρόνου προστὰς τῆς ποιμαντορίας ἐπαξίως ἐπιλαβόμενος. Ἠγαπᾶτο δὲ παρὰ τῶν ἁγίων ἀρχιερέων, καὶ διὰ πολλῆς ἦγετο τιμῆς, πᾶσιν ἐπιεικῶς ὁμιλῶν καὶ πάντας διαναπαύειν φιλοτιμούμενος, καὶ τὰς χρείας αὐτῶν εἰς ἑαυτὸν ἀναλαμβάνων· ἐδόκει δὲ καὶ τοῖς ἀμελοῦσι τῶν καθηκόντων φοβερός, καὶ τὰς ταραχὰς προαναστέλλων τῆς ἐκκλησίας, ἀπειρήκει τῶν ἐνδημούντων τὰς πρὸς τοὺς δυνάστας ὁμιλίας καὶ συνηθείας· ἀλλ' ὅσον περιέστελλε τὰς ἀκαίρους αὐτῶν φιλοτιμίας, τοσοῦτον αὐτοῖς περιεποιεῖτο τιμήν, ἐκ παντὸς τρόπου ἀποσεμνύνων τὸ ἀρχιερατικὸν ἀξίωμα, καὶ τῆς μεγί-

στης ποιμαντορίας τὴν ἰσχὺν συντηρῶν, καὶ ἐπιρρωννύων τὴν δύναμιν. Ἀπ' αὐτοῦ οὖν ἤρξατο τὸ σχῆμα τῶν ἁγίων ἀρχιερέων παρρησιάζεσθαι ἀρχικώτερον ἐν τοῖς ἔθνεσι διὰ βασιλικῶν διπλωμάτων εἴς τε χρείαν καὶ ἐπισημασίαν προαχθέν, τά τε τῆς περιβολῆς αὐτῶν καὶ τοῦ ἄλλου βίου ἐπὶ τὸ ἁβρότερον παρέκλινε, πενιχρὰ ὄντα πρότερον καὶ καθωσιωμένα· ἀπεκρούετο δὲ εὐμηχάνως τε καὶ τὰς τῶν ἔξωθεν δυνατῶν βίας, καὶ τὰς τῶν κληρικῶν καὶ ἀρχόντων καταδυναστείας ἀπεσόβει γενναίως, τὴν πατριαρχικὴν ἐξουσίαν διὰ συνοδικῆς ὁμοφωνίας διατηρῶν ἐν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσιν. Ἦν γὰρ μεγαλόφρων καὶ οὐδενὶ ἀκαίρως ὑφίετο, ἐπιεικὴς ὤν, οὐδέν τε ἡγεῖτο τοῦ καθήκοντος τῇ μεγάλῃ ταύτῃ ποιμαντορίᾳ προτιμότερον, ἀρχικῶς βουλευόμενος καὶ μεγαλοπρεπῶς διενεργῶν, καὶ τὴν ἀξίαν τοῦ θρόνου ἐκ παντὸς περιέπων τοῦ τρόπου, καὶ τὴν κηδεμονίαν ἁπάσαις ταῖς ἐκκλησίαις θεοφιλῶς ἐφαπλῶν, τὰ κοινῇ συμφέροντα τῇ εὐσεβείᾳ διαπραττόμενος.

Παραιτησαμένου τοίνυν τοῦ παναγιωτάτου κυρίου Παϊσίου τὸν οἰκουμενικὸν ἀποστολικὸν θρόνον, ὡς εἴρηται, διεδέξατο αὐτὸν ὁ παναγιώτατος κύριος Κύριλλος ὁ Ε' τὸ β'. ἐν ἔτει αψνβ'. σεπτεμβρίου ζ'. Ἦρχε δὲ τῆς Κωνσταντινουπόλεως ὁ τῶν ὀθωμανῶν βασιλεὺς Μαχμούτεος. Ἦν δὲ πατριάρχης καὶ πάπας Ἀλεξανδρείας ὁ κύριος Ματθαῖος, τῆς δὲ Ἀντιοχείας ὁ κύριος Σίλβεστρος, τῆς δὲ ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης ὁ κύριος Παρθένιος.

Ὁ δὲ κατὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ πόλεμος συνεχὴς ἦν ἐκ τῶν ἀσεβῶν, ἐπεβαρύνετο δὲ μάλιστα καὶ ἐκ τῶν δυτικῶν· πολλὰς γὰρ διεμηχανῶντο ἐπιβουλὰς καὶ μυρίους διετεχνῶντο τρόπους ἔν τε Παλαιστίνῃ καὶ Ἱερουσαλήμ, ὥστε ἡμῶν ἀφελέσθαι τὰ προσκυνήματα, διανοούμενοι ὡς εἰ τοῦ ἁγίου καὶ ζωοποιοῦ τάφου κύριοι γένοιντο, ἄρδην ἐκεῖθεν τοὺς ὀρθοδόξους ἐλάσωσιν, ἔν τε Αἰγύπτῳ οὐκ ἐπαύοντο διενοχλοῦντες, καὶ ἐν

Συρίᾳ τοὺς Ἄραβας παραφθείραντες, τὴν τρυφὴν καὶ ἀκολασίαν οἷον δέλεαρ χαλῶντες, καὶ χρήμασιν ἐξωνούμενοι τὴν ἐκείνων ἀπώλειαν· εἴ τις γὰρ χρημάτων ἐδεῖτο, ὑποτασσόμενος τῷ πάπᾳ πρὸς τὴν χρείαν παρὰ τῶν μισιοναρίων ἐλάμβανεν· ἐδωρεῖτο δὲ τοῖς πᾶσιν ἡ τρυφὴ καὶ ἀκολασία ἑλομένοις τὰ δυτικῶν, καὶ ἅπας θεσμὸς σωφροσύνης ἐλύετο, καὶ πάντα ἦν τούτοις ἀφέσιμα παρὰ τοῦ νέου βραβευτοῦ καὶ δεσπότου, πλατεῖαν αὐτοῖς τὴν ὁδὸν ὑπανοίγοντος, ἵνα τῆς στενῆς ἐκφυγόντες, ἣν ἡμῖν ὑπέδειξεν ὁ Κύριος, δράμωσιν ἐπὶ τὴν πλατεῖαν καὶ πληθύνῃ τὸν ἀριθμὸν ὁ ἀπολύων, καὶ ἐπεκτείνῃ τὰ ὅρια ὁ ἐγκαυχώμενος· ἀλλὰ τοιούτοις καὶ τὰ λοιπὰ ἔθνη, ὅσα Χριστὸν ὁμολογοῦσι κατὰ Ἀσίαν δελεάζειν καὶ ὑπαγόμενος διὰ τῶν αὐτοῦ μισιοναρίων ὁ Ρώμης πάπας, καὶ τὸ μωρὸν τῶν Ἀρμενίων ἔθνος διασπάσας καὶ προσοικειωσάμενος ἐξ αὐτῶν πλείονας, διὰ τοῦτο καὶ τὰ πλησιόχωρα ἔθνη τῶν Ἰβήρων διενοχλεῖν ἀπετόλμησε.

Ἦρχε δὲ τότε τῶν Ἰβήρων ὁ ἀοίδιμος ἐν βασιλεῦσι Βασίλειος ἄρτι τῆς τυραννίας τῶν Περσῶν ἀπολυθείς, καὶ πρὸς τοὺς αὐτῷ διαφερομένους περσάρχας ἔτι παραταττόμενος· ἀλλ' εἰ καὶ πρὸς πολεμίους ἐπεξιέναι ἐβιάζετο καὶ διεμελέτα τὰ Ἄρεως, τῶν ὁμόρων βαρβάρων ὁμοθυμαδὸν κατ' αὐτοῦ ὡπλισμένων, τῆς ἔνδον εὐνομίας οὐκ ἠμέλει, καὶ τῆς εὐσεβείας μάλιστα ἐφρόντιζε. Καταμαθὼν οὖν ὡς ὁ εὐσεβὴς ὑπ' αὐτὸν λαός, λάθρα παρεισρυέντων κακοδόξων τινῶν, ἐπηρεάζετο τὴν εὐσέβειαν, διεπέμψατο πρὸς τὸν παναγιώτατον κύριον Κύριλλον ὡς τάχος ἐπιβοηθεῖν τοῖς ἐκεῖ περὶ τὴν πίστιν ἐνοχλουμένοις προκαλούμενος· ὁ δὲ τοῦ βασιλέως ἐπαινέσας τὸν ζῆλον ἀπέστειλεν ἐξαρχικῶς ἄνδρα ζηλωτὴν τῶν ὀρθῶν δογμάτων ἐν ἱερομονάχοις διδάσκαλόν τινα Μακάριον, ἐπιδοὺς αὐτῷ ἐγκύκλια τοῖς ἐκεῖ παραινετικὰ γράμματα, ἐμμένοντας τῇ ἀποστολικῇ θείᾳ διδασκαλίᾳ τῇ διὰ τῶν ἁγίων Πατέρων καὶ διδασκάλων καὶ

οἰκουμενικῶν ἑπτὰ ἁγίων Συνόδων εἰς ἡμᾶς βεβαιωθείσῃ καὶ ἀκιβδήλως διατηρουμένῃ, καὶ τηλαυγῶς διαλαμπούσῃ, ἀποτρέπεσθαι πᾶσαν καινοτομίαν καὶ ἀποφεύγειν πᾶσαν ἑτεροδιδασκαλίαν, καὶ τοὺς ποιοῦντάς τι ἢ λέγοντας παρὰ τὴν ἁγίαν καὶ ἀμώμητον ὀρθοδοξίαν τῆς θεοπαραδότου Ἀποστολικῆς καθολικῆς διδασκαλίας, τῆς διακηρυττομένης καὶ διατρανουμένης ἐν ἑπτάδι οἰκουμενικῶν ἁγίων Συνόδων, καταγινώσκειν ὡς αἱρετικούς. Ἀπελθὼν οὖν εἰς τὴν ἄνω Ἰβηρίαν ὁ εἰρημένος διδάσκαλος κὺρ Μακάριος καὶ ἀποδεχθεὶς λίαν φιλοφρόνως παρά τε τοῦ βασιλέως καὶ τοῦ καθολικοῦ ἀρχιεπισκόπου τῶν Ἰβήρων, διεγνώρισε τῇ τε γερουσίᾳ καὶ ἄρχουσι καὶ παντὶ τῷ λαῷ τὰ τοῦ παναγιωτάτου κυρίου Κυρίλλου γράμματα, καὶ τοὺς νοθεύειν τὴν ἄμωμον διδασκαλίαν τῆς ὀρθοδοξίας τῶν Ἰβήρων ἐρχομένους αἱρετικοὺς ἐξήλασε, καὶ ὅλως ἐξεκάθηρε τῆς γεωργίας τὰ ζιζάνια, καὶ μετὰ διετίαν ἐπανῆλθεν εἰς Κωνσταντινούπολιν.

Ἀλλὰ τὰ μὲν τῆς ἀποστολικῆς διδασκαλίας ἐν Ἰβηρίᾳ παρέμεινε, τοῦ κυρίου φυλάττοντος, ἀδιαλώβητα, καὶ διὰ τῆς βασιλείας ἤρξατο ἀνορθοῦσθαι· κατὰ δὲ τὴν Συρίαν οὐκ ἔληγε τὸ κακὸν τῆς δυτικῆς φρενοβλαβείας, τῶν μισιοναρίων ὑποδυομένων εἰς τὰς οἰκίας καὶ αἰχμαλωτιζόντων γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις πολλαῖς, καὶ συνδελεαζόντων αὐτάς, ὡς ἔθος τούτοις, ψυχὰς ἀφελῶν καὶ φιληδόνων Ἀράβων κατά τε πόλεις καὶ κώμας αὐτῶν· ἐπεὶ γὰρ τοῦ Λιβάνου ὄρους παρέφθειρον πολλοὺς τῶν οἰκούντων, προσεκτήσαντο δὲ καὶ τοὺς Μαρωνίτας, ἐντεῦθεν λῃστρικῶς ἐφορμῶντες κατὰ τῆς ποίμνης τοῦ Χριστοῦ οἱ προβατόσχημοι λύκοι κατεδῄουν ἀδεῶς Αἴγυπτον καὶ Συρίαν, ἀμείψαντες καὶ στολὴν καὶ φωνήν, καὶ τὸ ἀπολειφθὲν διὰ μακροῦ ὑπὸ τῆς Ἀραβικῆς μανίας διαφθείροντες οἱ ἀνόσιοι, ὑποτελεῖς ἐποίουν τῷ Ῥώμης εἰς ἀπώλειαν· διὰ τοιαύτης οὖν ἀρρήτου ῥᾳδι-

ουργίας παρέφθειρον μικροῦ δεῖν σύμπασαν καὶ τὴν ἐπίσημον Χαλυβῶνα, ἧς τῆς ἐλεεινῆς ἐκτροπῆς καὶ διαφθορᾶς φωραθείσης, περὶ πολλοῦ ἐποιεῖτο ἀνακτήσασθαι ταύτην, καὶ τῆς λύμης διακαθάραι ὁ μακαριώτατος Ἀντιοχείας κύριος Σίλβεστρος· διὸ καὶ μητροπολίτην εἰς ταύτην ἐνιδρύσατο μεταπεμψάμενος ἐξ Ἱερουσαλὴμ ἄνδρα αὐτόχθονα τὸν ὁσιότητι καὶ σοφίᾳ λαμπρὸν κὺρ Σωφρόνιον.

Κατὰ μὲν οὖν τῶν τοσούτων ἀνοσίων ῥᾳδιουργημάτων καὶ ἐπιβουλῶν ὅσας ἀσεβῶς ἐπέφερον κατὰ τῆς ἀμώμου ἐκκλησίας τοῦ Χριστοῦ οἱ ἀπηνεῖς καὶ αἱμοβόροι λύκοι τῆς δύσεως ἔν τε Αἰγύπτῳ καὶ Συρίᾳ καὶ Παλαιστίνῃ, διηνεκῶς ἐπαγρυπνοῦντες ἀδιαλείπτως διηγωνίζοντο οἱ μακαριώτατοι πατριάρχαι· ἐν δὲ ταῖς νήσοις καὶ τῇ μικρᾷ Ἀσίᾳ διακηρυττομένη ἡ διαλαλιὰ ὅτι οἱ λατῖνοι εἰσὶν ἀβάπτιστοι, ἀπεσόβει τοὺς λυμεῶνας καὶ διετείχιζεν· ἐλύπει δὲ τούτους μάλιστα καὶ ἡ τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου Κυρίλλου εἰς τὸν θρόνον καθίδρυσις· ἦν γὰρ διάπυρος ζηλωτὴς τῶν ὀρθῶν δογμάτων, καὶ γενναῖος πολέμιος τῆς δυτικῆς δολοφροσύνης, καὶ προφανὴς καθαιρέτης τῆς ἀθέου αὐτῶν μηχανουργίας· διὸ καὶ ἀπὸ τοῦ θρόνου κατελάλει αὐτῶν τῆς καινοτομίας, καὶ λέγειν καὶ γράφειν ἀδεῶς ἐπέτρεπε τοῖς βουλομένοις διελέγχειν τὰ τῶν λατίνων κατὰ τῆς ὀρθῆς πίστεως νέα ἐφευρήματα καὶ ἀλλοκότους αὐτῶν δόξας, ὀρθῶς κρίνων τὴν ὕπουλον φιλίαν ἐπιβλαβεστέραν τῆς προφανοῦς ἔχθρας· τί γὰρ μικρὸν ἢ τί μέγα, ὃ οὐκ ἐποίησαν δεινὸν, πλαττόμενοι φιλίαν καὶ χριστιανισμὸν ὑποκρινόμενοι; ἅπαξ γὰρ τῆς εὐθείας ἐκτραπέντες, κατεφρόνησαν θείων νόμων καὶ συνῳδὰ τοῖς ἀσεβέσι φρονοῦντες, τὴν στρατευομένην τοῦ Χριστοῦ ἐκκλησίαν, τὴν ἄμωμον καὶ ἐκλεκτὴν νύμφην τὴν διὰ τοσούτου τοῦ χρόνου διαθλοῦσαν ὑπὲρ τῆς ἀγάπης τοῦ ἐπουρανίου νυμφίου ἀποστυγοῦσι, διώκουσιν ἐν ποικίλοις πειρασμοῖς καὶ παντοδαπαῖς ἐπηρείαις προσπολεμοῦντες, καὶ διὰ πάσης ῥᾳδιουργίας

ὑποσκελίσαι σπουδάζοντες, τὰς ἐκθέσμους ἡδονὰς καὶ τὴν ἄλλην τοῦ βίου ῥαστώνην καὶ τοῦ κόσμου τὴν δόξαν προϊσχόμενοι, ἐν οἷς ἐγκομβούμενοι ἶσα τοῖς ἀσεβέσι σεμνύνονται τὴν εὐσέβειαν οἱ χαμαίζηλοι· βουλόμενοι γὰρ τὴν ἐπίγειον τῷ Ῥώμης συστῆσαι μοναρχίαν τῆς βασιλείας τοῦ θεοῦ ἐκπεπτώκεσαν, μήτε συνειδότες ἃ λέγουσι, μήτε περὶ ὧν διαβεβαιοῦνται γινώσκοντες, μήτε καθ' ὧν ἐπιχειροῦσι συνιέντες, ψευδώνυμοι καὶ ψευδολόγοι, φιλήδονοι καὶ φιλόκοσμοι κατὰ τοὺς ἐθνικοὺς χρηματίζοντες.

Οὕτως οὖν προΐστατο τῶν ἁπανταχοῦ ἁγίων τοῦ Χριστοῦ ἐκκλησιῶν ἐνθέως φροντίζων ὁ παναγιώτατος κύριος Κύριλλος. Ἐπεὶ δὲ ὁ οἰκουμενικὸς θρόνος κατεβαρύνετο χρέεσιν, ἐπέστησε τῇ οἰκονομίᾳ τῶν ἐκκλησιαστικῶν χρημάτων φροντιστὰς καὶ κηδεμόνας, οὓς καὶ ἐπιτρόπους τοῦ κοινοῦ εἰώθασι (Ζ), καὶ τούτοις ἐπέτρεψε τῶν χρηματικῶν ἐσόδων καὶ ἐξόδων τὴν ἐπιμέλειαν, ἵν' αὐτὸς μετὰ τῆς ἐνδημούσης ἱερᾶς Συνόδου προσέχῃ τοῖς ἀνήκουσιν εἰς τὴν πνευματικὴν κατάρτισιν τοῦ τῆς ἐκκλησίας πληρώματος· διὸ καὶ πανταχοῦ ἐπιβλέπων παρεμυθεῖτο τοὺς ἐν ἀνάγκαις, ὑπαλείφων τὴν ὑπομονὴν καὶ παραθήγων τὴν καρτερίαν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων, ὥστε κούφως φέρειν καὶ μετὰ χαρᾶς ὑπομένειν τὰ παρὰ τῶν ἀσεβῶν ὑπὲρ Χριστοῦ ἐπιφερόμενα αὐτοῖς δεινά, εἰδότες, ὅτι γενόμενοι ἐν αὐτοῖς κοινωνοὶ τῶν ἀποστόλων καὶ προφητῶν καὶ μαρτύρων καὶ πάντων τῶν ἁγίων τοῦ Θεοῦ, λήψονται καὶ τοὺς μισθοὺς κατὰ τὸ μέτρον τῆς ὑπομονῆς καὶ κοινωνίας ἐν τοῖς ὑπὲρ Χριστοῦ παθήμασι. Τῆς δὲ διδασκαλίας καὶ ἑρμηνείας τῶν Γραφῶν περὶ πολλοῦ ἐποιεῖτο· εἴ τις ἦν διδάσκων καὶ αὐτῷ μάλιστα ἦν ἔντιμος· καὶ πάσης ἄλλης μαθήσεως καὶ παιδείας ἐφρόντιζε, καὶ πολλὴν ἐποιεῖτο πρόνοιαν τῶν ἁπανταχοῦ σχολείων. Ἐπεὶ δὲ κατὰ τὸ ἁγιώνυμον Ὄρος ζήλῳ θείῳ κινούμενος ὁ ἐν ἱερομονάχοις προηγούμενος τῆς μεγάλης καὶ βασιλικῆς μονῆς τοῦ

Βατοπεδίου Μελέτιος ἐσπούδαζε κοινὸν φροντιστήριον ἁπάσης μαθήσεως ἐνιδρύσασθαι, συνεπιλαβόμενος τοῦ τοιούτου ἀγαθοῦ ζήλου πάσῃ χορηγίᾳ καὶ συνδρομῇ εἰς πέρας προήγαγε τὸ ἐφιέμενον· καὶ δὴ προσκαλεσάμενος ἐξ Ἰωαννίνων τὸν σοφώτατον ἐν διδασκάλοις καὶ πάντα θαυμάσιον Εὐγένιον καὶ τιμήσας ὡς εἰκὸς, καὶ δεξιωσάμενος φιλοφρονέστατα, ὅτε καὶ τὸν θαυμάσιον λόγον περὶ τοῦ παναγίου Πνεύματος ἐξεφώνησεν ἐπὶ τοῦ ἱεροῦ τῆς μεγάλης ἐκκλησίας ἄμβωνος ἐν τῇ ἁγίᾳ Πεντηκοστῇ ὁ πολὺς ἐν σοφίᾳ Εὐγένιος, καὶ ἐξαποστείλας αὐτὸν ἐκεῖσε ἐνδόξως καθηγητὴν καὶ διδάσκαλον, συνεκρότησεν ἐν τῷ Ἄθωνι μεῖζόν τι Ἀκαδημίας ἢ Λυκείου, ὅσον καὶ θειοτέρων λόγων ἦν διδασκαλεῖον, καὶ τελεωτέρας ἀρετῆς καταγώγιον, καὶ τοιοῦτον οἷον δυστυχοῦσι τοῖς Γραικοῖς οὐδέπω ἐφάνη φροντιστήριον.

Ἐπεὶ δὲ οἱ λατῖνοι παρρησίᾳ διηλέγχοντο ἀβάπτιστοι, καὶ φανερῶς ἦν αὐτοῖς ἀντιπράττων ὁ παναγιώτατος κύριος Κύριλλος, οὐκ εἶχον μὴ ὅτι κατ᾽ αὐτοῦ καὶ ποιεῖν καὶ λέγειν· διὸ καὶ πανταχῇ κατελάλουν αὐτοῦ καὶ ἀναβαπτιστὴν ἐδυσφήμουν, αἱρετικὸν ὀνομάζοντες· ἐνεῖχον δὲ καὶ τοῖς προὔχουσι τῶν τε ἀρχιερέων καὶ κληρικῶν καὶ ἀρχόντων, καθελεῖν καὶ αὖθις τοῦ θρόνου καταβιβάζοντες, καὶ ποικίλως διενοχλοῦντες· καὶ τοῦ κράτους τῆς βασιλείας τῶν Ὀθωμανῶν μεταπεσόντος ἀπὸ Μαχμούτεω, βασιλεύσαντος ἔτη εἴκοσι τέσσαρα καὶ μῆνας δύο, εἰς Ὀσμάνην τὸν ἀδελφὸν αὐτοῦ, ζῆν λήξαντος τῇ β΄. Σεπτεμβρίου τοῦ πεντηκοστοῦ τετάρτου ἔτους, τῇ τοῦ κρατοῦντος παλιμβουλίᾳ καὶ ἀστάτῳ γνώμῃ τοῦ παντὸς αὐτοῖς σπουδαζομένου ῥαδίως περιγενέσθαι διενοοῦντο· ὑφωρῶντο μέντοι ἐκ τοὐμφανοῦς προσβαλεῖν τὴν προφανῆ αὐτῶν δυσμένειαν σύστασιν τοῖς μισουμένοις λογιζόμενοι. Οἱ γὰρ Ὀθωμανοὶ τοὺς μᾶλλον ἀπηλλοτριωμένους τῶν φράγκων μᾶλλον σφίσιν ὑπηκόους ἡγοῦνται καὶ ἡγουμένους καὶ ἄρχοντας· ὧν κορυφαιότατον τὸν οἰκου-

μενικὸν πατριάρχην ἐξονομάζουσι. Συνεῖχον τοίνυν καὶ ἔθλιβον διασπῶντες τοὺς ἡμετέρους, καὶ ποικίλως ἐξοπλίζοντες, λάθρα κατεπολέμουν· καὶ πάλιν συστάσεις ἐν τῇ ἐκκλησίᾳ καὶ δυσαρέσκειαι καὶ γνῶμαι διαμεριζόμεναι, ἀντιφωνίαι τε καὶ λοιδορίαι καὶ ἁπλῶς ταραχαὶ τῶν μὲν ὑποκρινομένων τὰ ἀντίθετα, τῶν δὲ μὴ δὲ συνειδότων ἃ λέγουσιν, ἄλλων δὲ τοῖς ἰδίοις πάθεσι καὶ ἄλλων ἄλλοις χαριζομένων, τῶν πλειόνων δὲ τῇ ἀληθείᾳ ὑπερμαχούντων καὶ τῷ συμφέροντι τῇ ἐκκλησίᾳ ζηλούντων καὶ συνετῶς πρὸς τὴν ζάλην τοῦ καιροῦ ἀνθισταμένων· ἐμέμφοντο δέ τινες οἱ μάλιστα τοῖς λατίνοις χαριζόμενοι, καὶ κατελάλουν τοῦ παναγιωτάτου κυρίου Κυρίλλου, ὡς αὐθεκάστου καὶ τὴν πᾶσαν ἑαυτῷ ἀφοσιοῦντος περὶ πάσης ἐκκλησιαστικῆς ὑποθέσεως ἔρευναν καὶ ἀπόφασιν, ὅτι ἄνευ κοινῆς διαγνώσεως καὶ συνοδικῆς ἀποφάσεως διέγνω καὶ κατέκρινε τοὺς δυτικοὺς ἀβαπτίστους καὶ βαπτίζειν προσιόντας τῇ ἀμώμῳ τοῦ Χριστοῦ ἐκκλησίᾳ τοῖς ἱερεῦσιν ἐπέτρεψε.

Ἐζήτει οὖν ὁ παναγιώτατος κύριος Κύριλλος τὴν τοιαύτην καθησυχάσαι ταραχὴν, καὶ συνελεύσεως τῶν τε ἐνδημούντων ἁγίων ἀρχιερέων καὶ τῶν εὐγενῶν καὶ προκρίτων ἀρχόντων γενομένης, ἐπηρώτα τὰς αἰτίας, δι' ἃς ἡ τοσαύτη σύγχυσις ἐν αὐτοῖς· καὶ ἄλλοι μὲν ἄλλας προφάσεις προβαλλόμενοι διηλέγχοντο ἀδίκως ταραττόμενοι, οἱ δὲ ἔλεγον, ὅτι ἄνευ συνοδικῆς διαγνώσεως βαπτίζει τοὺς προσιόντας τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ λατίνους καὶ δυτικοὺς, καὶ τὴν τοιαύτην μονοπρόσωπον αὐθεντείαν ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν οὐκ ἀνέχονται· ὁ δὲ πρὸς αὐτοὺς ἀπεκρίνατο, ὅτι μὲν οἱ λατῖνοι καὶ δυτικοὶ τὸ παρὰ τοῦ κυρίου βάπτισμα ἠθέτησαν, ραντίσματα σφίσιν ἐξευρόντες, αὐτέλεγκτοι· ἔτι δὲ προσήκει ἀβαπτίστους ὄντας βαπτίζειν, εἰ τῆς κρείττονος μερίδος γένωνται, ἀναγκαῖον ἡγοῦμαι συνοδικοῖς ὅροις καὶ κανόσιν ἑπόμενος· εἰ δέ τῳ ἄλλως δοκῇ, παρίτω καὶ τὸ δοκοῦν ἀποδεικνύτω· οὐ γὰρ προσιδιάζομεν

τὴν κοινὴν περὶ τῶν τοιούτων σκέψιν, καὶ τὴν συνοδικὴν ἐν πᾶσι συνιστῶμεν ἀπόφασιν· εἰ δὲ καὶ ἄλλος ἀνεξετάστως παρακολουθεῖν τῷ ἔθει αἱρεῖται, ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ ποιείτω τὸ δόξαν· πρὶν γὰρ συνοδικῆς ἀποφάσεως, ἑκάστῳ τῶν συναδέλφων ἡμῶν ἁγίων ἀρχιερέων ἐπιτρέπομεν διενεργεῖν ὡς ἂν δοκῇ, ἐν ὀρθῇ καὶ ἀπταίστῳ τῇ συνειδήσει, τῷ προσιόντι εἰς σωτηρίαν εὔθετον. Ἐκ γοῦν τῆς τοιαύτης ἀποκρίσεως ἔδοξε τὴν περὶ τούτου ἔρευναν καὶ ἀπόφασιν εἰς πληρεστέραν ἀναθέσθαι τὴν σύνοδον.

Διεκυμαίνοντο οὖν οἱ ἀρχιερεῖς καὶ οἱ τοῦ γένους προὔχοντες τῇ βίᾳ τῶν ἔξωθεν πνευμάτων κλυδωνιζόμενοι (Η)· διὸ καὶ ἐν ἑαυτοῖς συστρεφόμενοι κατεμέμφοντο τοῦ παναγιωτάτου Κυρίλλου ὡς αἰτίου τῆς ζάλης, κατέκρινον δὲ καί τινα σχεδάρια περὶ ραντισμοῦ τῶν λατίνων, ἅτινα συνέγραψε Χριστόφορός τις Αἰτωλός, ἴσως ἄλλως ἐπιλήψιμα, διότι ὀλιγομαθὴς ἦν, καὶ ὅρον ἐξήνεγκον κατ' αὐτῶν· ἀνεστήλωσε δὲ τὸν ὅρον κατὰ τοῦ λατινικοῦ ραντίσματος συμφώνως τοῖς λοιποῖς τρισὶ πατριάρχαις ὁ παναγιώτατος Κύριλλος, καὶ τῶν εἴ τι ὀρθὸν καὶ σύμφωνον τοῖς θείοις διδασκάλοις συγγράφειν εἰδότων προΐστατο, οἷς οἱ ἀρχιερεῖς ἀπαρεσκόμενοι συνελεύσεις συνεχῶς καθ' ἑαυτοὺς ἐποιοῦντο, καὶ τὴν μὲν ἀλήθειαν συγκαλύψαι οὐκ εἶχον, κατελάλουν δὲ τοῦ παναγιωτάτου Κυρίλλου, ὅτι εἰς πράγματα ἐμβάλλει τὴν ἐκκλησίαν, μηδεμιᾶς ἐπειγούσης ἀνάγκης, ἐξὸν ἄλλως δευθετεῖν τὰ λατίνων. Ἰδὼν οὖν ὁ πατριάρχης τὰς συστάσεις αὐτῶν καὶ μαθὼν τὰς μομφάς, καὶ κατανοήσας ὡς οὐδὲν ἂν ἐξ αὐτῶν ἐπιγένοιτο κέρδος, ὁρισμὸν τοῦ κράτους αἰτησάμενος, διὰ τούτου εἰς τὰς ἰδίας ἐπαρχίας ἀπέστειλεν, ἵνα ἕκαστος τοῦ ἰδίου ποιμνίου φροντίζῃ, καὶ μήτε τὸ κοινὸν διενοχλῇ ἐν οἷς οὐ δέον διαπραττόμενος· τοῦ δὲ ὁρισμοῦ ἀπολυθέντος πεντηκοστῷ πέμπτῳ ἔτει, ὅσοι μὲν κατελήφθησαν οἱονεὶ φυγάδες εἰς τὰς ἰδίας ἐπαρχίας ἀτίμως κα-

τήχθησαν· ἀπεκρύβησαν δέ τινες ἐν τοῖς περὶ τὰς Συκὰς τόποις (Θ), περιθαλπόμενοι τοῖς δυτικοῖς, ὅτι αὐτοῖς συμμαχεῖν ἔδοξαν.

Οὕτως οὖν διέλυσε τὴν κατ' αὐτοῦ τότε σύστασιν ὁ παναγιώτατος Κύριλλος, καὶ μεταπεμψάμενός τινας τῶν ἀρχιερέων διῴκει ἡσύχως καὶ θεοφιλῶς τὰ τῆς ἐκκλησίας· οἱ δὲ ἀπελασθέντες ἀπὸ Κωνσταντινουπόλεως ἀρχιερεῖς, καὶ οἱ κρυπτόμενοι ἐν τοῖς περὶ τὰς Συκὰς τόποις, ὡς δῆθεν καθυβρισθέντες καὶ διωχθέντες ἀδίκως, ἐτυρεύοντο ἔξωσιν αὐτοῦ ἐκ τοῦ θρόνου συσκευάζοντες· τῆς δὲ τοιαύτης συσκευῆς συνίστωρ καὶ συνεργὸς συνυπῆρχε καὶ ὁ πρῴην Προϊλάβου Καλλίνικος, ἀνὴρ πεπαιδευμένος, ἀλλ' εἰς προὖπτον κίνδυνον ἤτοι διὰ δόξαν ἢ δι' ἄλλην τινα προσπάθειαν εὐπαραλόγιστος. Τούτῳ γοῦν συνθέμενοι καὶ γνώμην δόντες καὶ ὡς εἰπεῖν πατριάρχην ἐκλέξαντες οἱ δυσαρεστούμενοι ἀρχιερεῖς, συνειδότων καὶ συνεργούντων καὶ τῶν φίλων αὐτοῖς, καὶ μέσον εὑρόντες γύναιον κεντήστριαν, διέπλεξαν τὴν σκευωρίαν, δι' αὐτῆς τῇ ἐρωμένῃ τοῦ βασιλέως διαβιβάσαντες ἀναφορὰν πρὸς τὸν μονάρχην· ἡ δὲ προσενεγκαμένη περιπαθῶς καὶ ἐξαιτήσασα, καθεῖλε τοῦ θρόνου τὸν παναγιώτατον Κύριλλον καὶ τὸν ζητούμενον παρὰ τῶν ἀρχιερέων πατριάρχην ἐβεβαίωσε. Καὶ δὴ τῇ ις'. τοῦ Ἰανουαρίου τοῦ πεντηκοστοῦ ἑβδόμου ἔτους ἐξώσθη τοῦ θρόνου ὁ παναγιώτατος Κύριλλος ὁ Ε'. καὶ ἐξωρίσθη εἰς Σίναιον ὄρος, καὶ προεβιβάσθη ἀπὸ πρῴην Προϊλάβου ὁ κύριος Καλλίνικος, γενομένης τῆς συνήθους παραστάσεως ἐπὶ τοῦ ἐπιτρόπου τῆς βασιλείας καὶ προελεύσεως εἰς τὸ πατριαρχεῖον, καὶ ἐν τῇ ἐκκλησίᾳ μεταθέσεως.

Τῇ δὲ ἑξῆς ἡμέρᾳ (ἦν γὰρ ἡ ἑορτὴ τοῦ μεγάλου Ἀντωνίου) συνεχύθη τὸ πλῆθος τῶν χριστιανῶν ἐν τῷ πατριαρχείῳ καὶ ἐπληροῦτο ἡ ἐκκλησία σφόδρα· μετὰ δὲ τὴν ἀπόλυσιν τῆς θείας λειτουργίας, ὡς εἶδον τὸν πατριάρχην ἐπὶ τοῦ

θρόνου ἄραντα τὰς χεῖρας εἰς εὐλογίαν, θροῦς ἅμα καὶ ἀλαλητὸς διηγέρθη πολύς, ἔξω τὸν φράγγον, ἀδελφοί, ἔξω τὸν φράγγον! καὶ ἅμα ἐπιπεσόντες παίοντες κατὰ κεφαλῆς ἀφήρπασαν, καὶ τύπτοντες καθεῖλον καὶ ἔξω τῆς ἐκκλησίας παρῶσαι ἐσπούδαζον, ἵν' ἐκεῖ διασπάσωσι· διὰ τοῦτο γὰρ ἔξω τῆς ἐκκλησίας ἐβόων, ἵνα μὴ ἐν τῇ ἐκκλησίᾳ φονεύσαντες, τὴν ἐκκλησίαν ζημιωθήσονται· καὶ δὴ ἀθρόοι ἁμιλλώμενοι ἐν ὕβρει, καὶ φύρδην γενόμενοι τοῖς περὶ αὐτὸν καὶ τοῖς ἔξωθεν εἰσπεσοῦσι τεταγμένοις εἰς βοήθειαν (ὑφωρᾶτο γὰρ τὴν κατ' αὐτοῦ τοῦ λαοῦ ἐπισύστασιν, καὶ προσέχειν τῷ παρεδρεύοντι χιλιάρχῳ διεμηνύσατο), παίοντες καὶ παιόμενοι συνώθουν ἀλλήλους καὶ συστάδην μαχόμενοι ταῖς χερσὶ διεπλέκοντο, καὶ ἀντισπῶντες διέρρηξαν τὴν στολὴν τοῦ ποιμένος καὶ περιεῖλον ἅπαν τὸ σχῆμα καὶ ψιλώσαντες οὐκ ἔτι διέκρινον· ἀλλ' ὁ μὲν τοῦτον τῶν ἱερομονάχων καὶ διακόνων ῥαπίζων συνεχόμενον παρώθει, ὁ δὲ τὸν ἕτερον τύπτων ἀφεῖλκε, καὶ πάντες ἐζήτουν τὸν πατριάρχην, ὥστε κτεῖναι ἐξαγαγόντες· ὁ δὲ γυμνὸς λαθὼν ἡμιθανὴς ὑπὸ τῶν οἰκείων περιεσώθη. Ἐγένετο δὲ ἡ τοιαύτη κατὰ τοῦ παναγιωτάτου κυρίου Καλλινίκου ὁρμὴ τοῦ λαοῦ εἰς θάνατον ἐξ ἀτόπου ὑπολήψεως, ὅτι τὰ λατίνων ἐφρόνει· ἀρχὴν δὲ ἡ τοιαύτη ψευδὴς ὑπόληψις ἔσχεν, ὅτι παροικῶν ἐν τοῖς περὶ τὸν Γαλατᾶν, τῇ συνδρομῇ δῆθεν τῶν δυτικῶν εἰς τὸ πατριαρχεῖον προήχθη, καὶ τὸν παναγιώτατον Κύριλλον προφανῶς ὑπὸ τῶν δυτικῶν μισούμενον τοῦ θρόνου ἐξέωσεν αὐτῷ ἀντιπράττων· διέμεινε δὲ ἡ τοιαύτη ἄδικος δυσφημία, ἕως ὅτου διὰ πολλῶν ἔν τε τῇ αὐτοῦ πατριαρχείᾳ καὶ μετὰ τὴν ἀπὸ τοῦ Σιναίου ὄρους ἐπάνοδον καὶ λόγων καὶ ἔργων ταύτην διέλυσεν· ὁ γὰρ ὄχλος συλλαβεῖν μὲν ῥᾴδιος, ἀποτρίψαι δὲ κακὰς προλήψεις ἥκιστα εὐχερής.

Ἐπεὶ δὲ ὑπώπτευε καὶ αὖθις ἐπίθεσιν τοῦ λαοῦ, ἐν ταῖς πανηγύρεσι παρεφυλάττετο, καὶ τὸν λαὸν μεταπεῖσαι ἐσπού-

δαζε, καὶ τὴν πονηρὰν περὶ αὐτοῦ δόξαν περιελεῖν περὶ πολλοῦ ἐποιεῖτο· συνῆλθον δὲ καὶ οἱ ἐξόριστοι ἀρχιερεῖς, καὶ τὰ μὲν πρῶτα συνέχαιρον αὐτῷ τῆς εἰς τὸν θρόνον προαγωγῆς, ὕστερον δὲ μεταβαλόντες κατωλιγώρουν· οὐ γὰρ εὗρον, ὡς ἐνόμιζον, ἕτοιμον εἰς τὰ αὐτοῖς ἀρέσκοντα. Καὶ συνελθόντες ἐξελέξαντο πατριάρχην τὸν Φιλιππουπόλεως κὺρ Σεραφείμ, καὶ διὰ κοινῆς ἀναφορᾶς πρὸς τὸν ἐπίτροπον τῆς βασιλείας, τοῦτον μὲν ᾐτήσαντο πατριάρχην, τὸν δὲ παναγιώτατον κύριον Καλλίνικον τοῦ θρόνου ἐξέωσαν καὶ εἰς τὸ Σίναιον ὄρος ἐξώρισαν.

Διετέλεσεν οὖν ἐπὶ τοῦ οἰκουμενικοῦ θρόνου ὁ παναγιώτατος κύριος Καλλίνικος μῆνας ἓξ καὶ ἡμέρας ὀκτώ, εἰς πολλὴν ἐμπεσὼν κατ' ἀρχὰς ταραχήν, καὶ κίνδυνον τὸν ἔσχατον διελθών· μικρὰ δὲ ὠφελῆσαι ἴσχυσε διὰ τὴν κοινὴν ἐξ ἀδίκου διαβολῆς δυσμένειαν, οὐδὲν ὠφεληθείς, εἰ μὴ τὸν ἀδελφὸν αὐτοῦ ἀπὸ λαϊκοῦ προαγαγὼν καὶ χειροτονήσας ἀρχιερέα Δημητριάδος, καὶ τὴν ἐπισκοπὴν ταύτην ἀπὸ Λαρίσσης ἀφελόμενος καὶ ἀρχιεπισκοπὴν τιμήσας, κεχαρισμένα ποιεῖν ἔδοξε τῇ ἰδίᾳ πατρίδι καὶ αὐτῷ ἄνετον τοῦ λοιποῦ βίου τὴν διαγωγὴν ἐν τοῖς οἰκείοις παρεσκεύασεν. Ἦν δὲ τῶν λογίων καὶ πεπαιδευμένων πολυμαθέστατος, ζηλωτὴς τῶν ὀρθοδόξων δογμάτων διάπυρος, εὐσταθὴς τὴν γνώμην, γενναῖος τὸ φρόνημα, ἥττων πολιτικῆς ἀγχιστροφίας, καὶ τῆς πολυπλόκου καὶ πολυμόρφου ταύτης ἀρχικῆς ἐμπειρίας ἀπείρατος, ἐπιεικής, ἀνεξίκακος· οὐδενὶ γὰρ ἐμνησικάκει, πλὴν τῶν εἰς τὴν εὐσέβειαν αὐτὸν ἀδικούντων, καὶ αἱρετικὸν εἴτουν φράγγον δυσφημούντων κατηρᾶτο· μόνην γὰρ ταύτην τὴν δυσφημίαν ἡγεῖτο ἀφόρητον, τῶν ἄλλων μικρὰ φροντίζων.

Τῇ γοῦν εἰκοστῇ ἑβδόμῃ ἰουλίου τοῦ πεντηκοστοῦ ἑβδόμου ἔτους, μοναρχοῦντος τῶν Ὀθωμανῶν Ὀσμάνου τοῦ Γʹ, οἵ τε ἐνδημοῦντες τῇ Κωνσταντινουπόλει ἀρχιερεῖς καὶ οἱ κληρικοὶ μετὰ τοῦ κοινῇ ψήφῳ καὶ γνώμῃ ἐκλεχθέντος πατριάρχου κυ-

ρίου Σεραφεὶμ παρέστησαν τῷ ἐπιτρόπῳ (Θ), καὶ λαβόντες τὰ συνήθη καββάδια εἰς βεβαίωσιν τῆς ἐκλογῆς, ἐπανῆλθον ἐνδόξως εἰς τὸ πατριαρχεῖον, καὶ γενομένης τῆς μεταθέσεως ἐν τῇ ἐκκλησίᾳ ὡς νενόμισται, ἀνευφήμησαν οἰκουμενικὸν πατριάρχην τὸν παναγιώτατον κύριον Σεραφείμ· καὶ ἐχάρη ὁ λαὸς σφόδρα, καὶ ἔπαυσαν τὰ σκάνδαλα καὶ διαβολαί, καὶ ὑπόνοιαι, καὶ ὅλως ἡ κοινὴ δυσαρέσκεια. Ὁ γὰρ παναγιώτατος κύριος Σεραφεὶμ τῆς μεγίστης ἐπιλαβόμενος ἀρχῆς ἐφρόντισε πρῶτον τῆς κοινῆς τῶν ἀρχιερέων ὁμονοίας καὶ πάσης ἐκκλησιαστικῆς καταστάσεως· καὶ ἦν μέχρι τινὸς πειθαρχῶν τοῖς βαρυτίμοις τῶν γερόντων, τῷ τε Ἡρακλείας Γερασίμῳ ἀνδρὶ συνετωτάτῳ καὶ γνωριμωτάτῳ καὶ αὐτοῖς τοῖς μεγιστᾶσι, καὶ τῷ Νικομηδείας Γαβριήλ, βαθυγνώμονι καὶ πολιτικῷ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν εἴπερ τις ἄλλος ἐμπείρῳ· τούτοις οὖν κοινούμενος τὰ συμπίπτοντα καὶ βουλευόμενος καὶ ὑπείκων τὰ πρῶτα, διεύθυνεν εὐμαρῶς πᾶσαν δυσχέρειαν, καὶ τὴν ἐκ τῆς διχογνωμίας ἀντιφωνίαν διέλυσεν, ἐπέρρωσέ τε τὴν δύναμιν τῆς πατριαρχικῆς ἐξουσίας, ἥνπερ ἡ περιπέτεια καὶ δυσφημία τῷ παναγιωτάτῳ Καλλινίκῳ ἠσθένησε, καὶ πάντα ἐξῆγεν ὡς ἐνῆν ἐπὶ τὸ βέλτιον.

Ἐπεὶ δὲ τὸ κράτος ἀπὸ Ὀσμάνου τοῦ τρίτου ἐπὶ τὸν τρίτον Μουσταφᾶν τοῦ Ἀχμέτου τῇ ιθʹ τοῦ Ὀκτωβρίου τοῦ αὐτοῦ πεντηκοστοῦ ἑβδόμου ἔτους μετέπεσεν, οὐ μικρὰς συνήντησε δυσχερείας ἡ ἐκκλησιαστικὴ διοίκησις· τό τε γὰρ κατὰ τῶν χριστιανῶν μῖσος καὶ αἱ παράλογοι τοῦ μονάρχου ὁρμαὶ δέος οὐ μικρὸν ἐνεπεποιήκεσαν τοῖς κηδεμόσι τῶν ἐκκλησιῶν, τόν τε εὐσεβῆ τοῦ θεοῦ λαὸν σύμπαντα κατέπτηξαν, καθ' ἑκάστην τῆς δυσμενείας πεῖραν εἰς τὸ προστυχὸν λαμβάνοντας, καὶ τὸ μέλλον δεινότερον ὑφορωμένους. Ἀνέστειλε μέντοι πως τὰς τυραννικὰς ὁρμὰς περιάγων νουνεχῶς ὁ τῆς αὐτοῦ βασιλείας συνετώτατος καὶ πολύπειρος ἐπίτροπος· ἐντεῦθεν ἕνα τοῦ

δυνάστου θεραπεύσῃ τὴν γνώμην διέθλιβε τὸν λαὸν τὰ περιττὰ ἀφαιρούμενος, καὶ τὸν μισούμενον περισώζων, τὸ μῖσος τοῦ κρατοῦντος μεθίστη πολιτικῶς ἐπὶ τὰ συμφέροντα· διὸ δὴ ἅπας περιῃρεῖτο κόσμος καὶ στολὴ φαιδρὰ τῶν χριστιανῶν μετηλλάττετο, καὶ πᾶς τις ὑπόφορος μελανειμονῶν κατεστυγνάζετο· ἀλλ' ἐν τούτοις οἷς διετεχνᾶτο ὁ ὕπατος, οὐκ ἐπηρκεῖτο ὁ λέων, ἀλλ' αἱμάτων ἐλύσσα καὶ διωγμὸν φλεγμαίνων κατὰ τῶν ἑτεροδοξούντων τῇ εὐβουλίᾳ τῶν οἷ παρεδρευόντων κατείχετο· διέτρεχε δὲ τὰς ἀγυιὰς παρηλλαγμένῳ τῷ σχήματι, καὶ ἀνθηρόν τι βάμμα εἴ που ἑώρα τοῖς ὑποφόροις κατεφοίνισεν ἀπανθρώπως τῷ λύθρῳ τοῦ φέροντος, οὐδὲν ἐῶν αὐτοῖς οὐ σχῆμα, οὐ βῆμα, οὐχ ἵππον, οὐ κέλητα, οὐ κατάλυμμα ἀνεπίφθονον, καὶ τὸν ἀέρα αὐτὸν καταστυγνάζων εἴπερ ἀνέτως ἀνέπνεον· ταύτῃ τοι κατερρυποῦτο βαδίζων ἕκαστος καὶ διενήχετο δικρότῳ κυματούμενος, καὶ κτίζειν ἀπείπατο, καὶ τὴν προσοῦσαν, εἴπερ ἐνῆν, οἰκίαν συνέστειλε, καὶ κατηφὴς καὶ στυγνάζων, περιδεὴς καὶ κατάφοβος, τὰ πενθικὰ προΐει φορῶν τὸν κοινὸν ὄλεθρον μειλισσόμενος· ἀλλ' ἴσχυσε τέως τοῦ συνετοῦ ἐπιτρόπου ἡ φρόνησις, καὶ τὴν θηριώδη γνώμην τοῦ κρατοῦντος μικρόν τι μετήλλαξε καὶ τιθασσεύων τὸν ἄγριον λέοντα μειλιχίοις τρόποις καὶ πολιτικοῖς δελεάσμασιν ἐνῆκέ πως εἰς τὸ φιλάνθρωπον καὶ τὸ ἀρχικὸν ἐξεπαίδευσε.

Ἐπεὶ δὲ τὰ τῆς λεοντοκομίας τοῦ συνετοῦ ἐπιτρόπου ἐκράτησε, καὶ τὸν ἄγριον θῆρα χαλινῷ φρονήσεως καὶ πολιτικῆς ἐπιστήμης τούτου κατεῖδε περιαγόμενον, ἀνεθάρσησεν ὁ δυστυχὴς λαὸς καὶ χρηστοτέρας τὰς ἐλπίδας ἐπτέρωσεν· ἐπεστήρικτο δὲ καὶ πᾶς τις δυνατὸς τῇ ἰσχύϊ καὶ φρονήσει ἐκείνου, οὐχ ὅπως τὴν ἀσφάλειαν τῶν προσόντων ἀλλὰ καὶ τῶν σπουδαζομένων αὐτῷ τὴν ἐλπίδα ἐπερεισάμενος, καὶ πᾶς τις ἀπέβλεπεν εἰς αὐτὸν ὅπως ποτε εἶχε καὶ οὗτινος ἂν ἀντεποιεῖτο. Ἐντεῦθεν δὴ καὶ ὁ παναγιώτατος κύριος Σεραφεὶμ τοῖς

περὶ τὸν οὕτω δυνάμενον ἐπίτροπον ἐπιβλέψας καὶ κατιδὼν τὸν ἰατρὸν αὐτοῦ (I) παρρησίαν ἔχοντα, καὶ τὸν μέγαν διερμηνευτὴν τῆς βασιλείας φιλούμενον ὡς ἴδιον ἀνάστημα (K), τούτοις προσχὼν καὶ ἑταιριασάμενος οἷς προσκτῶνται οἱ παραδυναστεύοντες, δι' αὐτῶν ἐξετέλει τὰ δεόμενα τῆς παρὰ τοῦ ἐπιτρόπου ἰσχύος καὶ γνώμης ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν. Ἔκτοτε οὖν ἐδόκει ὀλιγωρεῖν πως τῶν προειρημένων βαρυτίμων γερόντων (Λ), καὶ ἑαυτῷ περιποιεῖσθαι δύναμιν ἐν τῇ ἐξουσίᾳ καὶ κατ' ἰδίαν γνώμην διοικεῖν τὰ συμπίπτοντα, καὶ προῆγεν ἐπαύξων τὴν ἰσχὺν καὶ τὴν ἰδίαν γνώμην κρατύνων, καὶ διέπραττεν οἷς ἂν ἐπιβάλλοι, καὶ ὧν αἱροῖτο ἐκράτει, πολλάκις καὶ τῶν ἐνδημούντων ἀρχιερέων καὶ ἀρχόντων τινῶν καὶ κληρικῶν ἀντιφερομένων· ἐδημαγώγει δὲ τὸν λαόν, καὶ περὶ τῶν ἐκκλησιῶν ἐφρόντιζε, καὶ τοῖς πρότερον δεδογμένοις περὶ βαπτισμοῦ τῶν λατίνων ἐπηκολούθει, καὶ τὰς κολυμβήθρας τῶν βαπτιζομένων ἐπεσκέπτετο, καὶ προσέχειν τοῖς ἱερεῦσι παρήγγειλε κατὰ τὴν ἀκριβῆ τῶν θείων ἀποστόλων παράδοσιν ἐκτελεῖν τὸ βάπτισμα, καὶ τὸν παναγιώτατον Κύριλλον τῆς ἐξορίας ἀνῆκε καὶ ὅπη ἂν βουλομένῳ οἰκεῖν ἐπέτρεψεν· ὃς τὸ ἅγιον Ὄρος πρὸ πάσης γῆς καὶ πατρίδος προείλετο· καὶ πάντα ἐποίει ἡγεμονικῷ τῷ λήμματι, μηδένα μέντοι τῶν ἀρχιερέων τῆς προσηκούσης ἀποστερῶν τιμῆς.

Ὡς δὲ τὰ τῆς βασιλείας ἐστειρεύετο διὰ χρόνου· τῶν γὰρ προθανόντων βασιλέων ἑκάτερος ἄτεκνος ἔληξε, τεχθείσης τῷ τότε κρατοῦντι θυγατρός, καὶ δημοτελοῦς γενομένης χαρᾶς, καὶ συμπάσης τῆς πόλεως μεθαρμοσθείσης εἰς κόσμον, εὐκαιρίαν ταύτην εὑρὼν ὁ παναγιώτατος κύριος Σεραφεὶμ καὶ διενεργήσας ὥστε ἔνδοσιν τῶν κρατούντων γενέσθαι, πολλὰς ἐπεσκευάσατο καὶ διωρθώσατο τῶν ἐν Κωνσταντινουπόλει ἐκκλησιῶν (M), ἐκ τῆς πανδήμου παιδιᾶς καὶ τοῦ περιαπτοῦ τῶν ἀγυιῶν καὶ πυλώνων καλλωπισμοῦ, εὐκοσμίαν ἐπιστήσας, καὶ

σπουδὴν ἀναγκαιοτάτην τεχνιτευσάμενος ἐμμελέστατα. Διεγέλασεν οὖν ὁ δυστυχὴς λαὸς ἐκ τῆς ἀχλυωδεστάτης στυγνότητος ἐπὶ ἡμέρας δέκα, πᾶσαν παιδιὰν καταπαίζων καὶ κρονικῆς καταπολαύων ἐλευθερίας. ἔχαιρε δὲ ὁ εὐσεβὴς τὰς ἐκκλησίας παρ' ἐλπίδα ἐπισκευασάμενος, παράδειγμα λαβὼν δεξιὸν καὶ ἐς ὕστερον· καὶ τοῦ παναγιωτάτου κυρίου Σεραφεὶμ ἐπῄνει τὴν σπουδήν, τὴν μέριμναν, τὴν φρόνησιν, καὶ ἐπὶ πᾶσι τὴν εὐσέβειαν. Ἀλλ' οἱ ὀλιγωρηθέντες βαρύτιμοι γέροντες, ὑφορώμενοι τοῦ πατριάρχου τὴν προαγωγὴν ἐν δυνάμει καὶ τοῦ τρόπου τὸ αὐθέκαστον ἀποτρεπόμενοι τῆς ἐκκλησιαστικῆς ἀριστοκρατίας, κατήρξαντο ἀντιπράττειν, καὶ τοῦ διαδεχομένου ἐφρόντιζον, τὸν τότε Λαρίσσης Μελέτιον εἰς πατριάρχην μελετήσαντες. Ἀλλ' ὁ θάνατος ἐπιφθὰς καὶ μεταστήσας εἰς οὐρανίους μονὰς τὸν Νικομηδείας Γαβριήλ, τὴν τότε τῶν ἀρχιερέων μελέτην ἔστησε, καὶ τὰ τῆς ἐκκλησίας ἀφῆκεν ἀνενόχλητα.

Εὑρὼν δὲ καὶ τὸ κοινὸν τῆς μεγάλης ἐκκλησίας καταβεβαρυμένον χρέεσι καὶ δανείοις μέχρι χιλίων ταλάντων, ἐφρόντισεν ὅπως ἂν κουφίσειε· ὅτι δὲ διὰ τὰς ἀλλαγὰς τῶν πατριαρχῶν καὶ τὰς εἰς τὸν θρόνον ἐφόδους τὰ πλείω τῶν δανείων προσετέθησαν κατάδηλον ἦν· διὸ λογισάμενος ὀρθῶς, τῶν ἀτάκτως ἐφορμώντων καὶ διενοχλούντων τὴν ἐκκλησίαν ἀναπειράσαι τὴν ἔφοδον καὶ διακόψαι τὰς ὁρμάς, ἐξῃτήσατο καὶ παρέλαβε βασιλικὸν ὁρισμὸν τῷ πεντηκοστῷ ἐννάτῳ ἔτει (N), ὃς διακελεύεται εἰς τὸ ἑξῆς τὸν προϊόντα εἰς τὸν θρόνον ἐξ ἰδίων ποιεῖν τὰς ὀφειλομένας δαπάνας, τὸ λεγόμενον τοῖς ἄρχουσιν ὑποκλιντήρια, συμποσούμενα ἐπέκεινα τῶν ἑξήκοντα ταλάντων, καὶ μηδὲν τὸ κοινὸν προσδαπανᾷν χάριν νέας πατριαρχείας, μηδὲ παρὰ τῶν ἀρχιερέων ζητεῖν καὶ λαμβάνειν τι περὶ αὐτῆς. Τοῦτο γοῦν τὸ βασιλικὸν δίπλωμα ἀπέκοψε τὰς ὁρμὰς καὶ ἐπιθέσεις τῶν ἀτάκτων, δι' ἃς οἱ ἁγιώτατοι πατριάρχαι κατὰ καιροὺς ἐξώδευον πάμπολλα χρήματα, καὶ ἀφῆκε τὴν

ἐκκλησίαν ἀνεπηρέαστον ἐν ταῖς ἐκλογαῖς καὶ προβιβασμοῖς τῶν ἑξῆς πατριαρχῶν τοῦ οἰκουμενικοῦ θρόνου.

Ἠγάπα δὲ ὁ παναγιώτατος κύριος Σεραφεὶμ καὶ τοὺς σοφοὺς καὶ πεπαιδευμένους, καὶ τούτοις ἔχαιρεν ὁμιλῶν, καὶ τιμᾶν ἐφιλοτιμεῖτο· διὸ καὶ τῆς αὐτῶν ἐφρόντιζε συστάσεως, καὶ σχολείων εἶχε πρόνοιαν, καὶ ἐπεὶ τὰ τῆς πολυμαθείας ἑώρα ἐν τῷ γένει ὑποφερόμενα, διαναστῆσαι καὶ ἐπανενεγκεῖν διενοεῖτο καὶ κατεσπούδαζε· καὶ τὸν ζῆλον τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου ἐκπυρώσας καὶ συμπαραλαβὼν συνεργοὺς, χορηγίαν ἐκ κοινοῦ ἐράνου οὐκ ἀφιλότιμον διαταξάμενος, καὶ προσβεβαιώσας διὰ πατριαρχικοῦ σιγγιλιώδους γράμματος, κατεβάλετο οἱονεὶ ἐξ ὑπαρχῆς θεμέλια μεγαλοπρεποῦς οἰκοδομῆς, καὶ διηνεκοῦς συστάσεως τῆς ἐν Κωνσταντινουπόλει σχολῆς, τέσσαρας ἐν αὐτῇ διδασκάλους πάσης ἐπιστήμης καὶ μαθήσεως διορισάμενος. Ἐφρόντισε δὲ καὶ περὶ τῆς σχολῆς τοῦ ἁγίου Ὄρους καὶ δεξιωσάμενος καὶ τιμήσας καὶ διὰ πολλῶν πείσας τὸν ἐκ Μεσόβου Νικόλαον, τοῦ σοφωτάτου κυρίου Εὐγενίου ταύτην παραιτησαμένου, ἐκεῖσε ἀπέστειλε, καὶ τὸν μέγαν ἐκεῖνον Εὐγένιον μεταπεμψάμενος ἀπὸ Θεσσαλονίκης, ὑπερθαυμάζων καὶ τιμῶν καθίστη διδάσκαλον τῆς ἐν τῇ Κωνσταντινουπόλει σχολῆς, ὥστε ἐπὶ τὸ τρίτον ἔτος τῆς αὐτοῦ πατριαρχείας τὴν παροικίαν τοῦ Φαναρίου Ἀθηνόπολιν κατεστήσατο. Ἐκεῖ γὰρ Εὐγένιος ὁ πολὺς ἦν τότε θεολογῶν, ἐκεῖ Δωρόθεος φιλοσοφῶν, ἐκεῖ ῥητορεύων Κριτίας, ἐκεῖ Ἀνανίας τὰς λογικὰς τέχνας διδάσκων, ἐκεῖ ἑσμὸς φιλοσόφων καὶ φιλολόγων σμῆνος, καὶ θεολόγων θίασος, ἐφ' οἷς ἥδετο πᾶς τις φιλογενὴς, μάλιστα οἱ χορηγοὶ καὶ συνίστορες.

Ἐπὶ τοῦ τρίτου ἔτους τῆς πατριαρχείας τοῦ παναγιωτάτου κυρίου Σεραφεὶμ, Κλέρκιός τις ἀπὸ Ἀμστελοδάμου τῶν Βελγικῶν θεολόγος τῶν Ἀσενιστῶν μετὰ τοὺς περὶ αὐτὸν ἐζήτει τὴν ἕνωσιν μετὰ τῆς ὀρθοδόξου καὶ ἀμωμήτου ἀποστολικῆς

ἐκκλησίας, γράφων ὅτι διὰ μεγάλης ἐρεύνης καὶ πολλῆς ἐξετάσεως τῶν θείων Γραφῶν, καὶ τῶν συγγραμμάτων τῶν θεοφόρων πατέρων κατενόησε καὶ διέγνω, ὡς ἡ διδασκαλία τῆς νῦν δυτικῆς ἐκκλησίας περὶ ἐκπορεύσεως τοῦ παναγίου πνεύματος, οὐ μόνον ἐστὶν ἀσύμφωνος ἀλλὰ καὶ ἐναντία ἐκ διαμέτρου τῷ ὀρθῷ δόγματι καὶ τῇ θεοπαραδότῳ διδασκαλίᾳ καὶ ἑρμηνείᾳ τῶν Γραφῶν· ἐπηπόρει δὲ περί τινων ἄλλων καὶ ἐζήτει τὰς λύσεις, πρὸς ἃ ἐπιλυσάμενος ἀπεκρίνατο ὁ πολὺς Εὐγένιος.

Κατ' αὐτὸ δὴ τὸ ἔτος τῆς ἑορτῆς τοῦ πρωτοκλήτου τῶν ἀποστόλων ἁγίου Ἀνδρέου κυκλουμένης, καὶ ἀργείας ἐνδιατάκτου καὶ κανονικῆς κηρυττομένης, ἔδοξε τῷ παναγιωτάτῳ κυρίῳ Σεραφεὶμ καὶ τῇ περὶ αὐτὸν ἱερᾷ συνόδῳ λαμπροτέραν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐν τῷ ἰδίῳ κλήρῳ ποιῆσαι τὴν ἑορτὴν τοῦ Ἀποστόλου, καὶ συνῆλθον ἐν τῇ πανηγύρει ἅπαντες οἵ τε ἀρχιερεῖς καὶ ἄρχοντες, προητοίμασε δὲ πανηγυρικὸν καὶ ὁ μέγας Εὐγένιος. Πολλοὶ ἐκ τῶν περὶ τὰς Συκὰς τόπων ἵνα καὶ τὴν παρρησίαν τοῦ πατριάρχου ἴδωσι, καὶ τὴν ὁμιλίαν τοῦ διδασκάλου ἀκούσωσι συνεισῆλθον ἑτοίμως, ἐν οἷς μετὰ τῶν περὶ αὐτὸν ἐντίμων συνῆλθε καὶ Ἀβρεσκόφφιος ἁρμοστὴς τῆς εὐσεβοῦς αὐτοκρατορίας τῶν Ρώσσων ἐν κοινῷ σχήματι· ἐγένετο οὖν φαιδροτάτη ἡ πανήγυρις καὶ ἀγαστὴ ἦν τοῖς τε ἐνθέως τελουμένοις καὶ ὁρωμένοις καὶ ἀκουομένοις ἅπασιν· ὥστε ἀπελύοντο ἅπαντες χαίροντες. Συμπανηγυρίσας δὲ εὐσεβῶς καὶ τῆς πνευματικῆς χαρᾶς καὶ χάριτος συμμετασχὼν ὁμοπίστως ὁ ὀρθόδοξος ἁρμοστὴς τῶν Ρώσσων ἐπανῆλθε, μήτε ἰδίᾳ μήτε κοινῇ ἐντυχὼν τῷ παναγιωτάτῳ, μήτε τῷ εὐσεβεῖ πληρώματι τῆς ἐκκλησίας γνωρισθεὶς ὁποῖος ἦν, τῶν δυσμενῶν τὰς ὑπονοίας περιαιρῶν καὶ συνετῶς πάντοθεν φυλαττόμενος τὰς κατὰ τῶν ὁμοπίστων διαβολάς· ἀλλά τις τῶν ἀρχόντων, (ἦν δὲ οὗτος Γεώργιος ὁ τοῦ Σταυράκη, πρωτοσπαθάριος) δυσμενὴς ὢν τῷ παναγιωτάτῳ κυρίῳ Σεραφεὶμ ἐπὶ τῇ τόλμῃ αὐτοῦ καὶ ἀγχι-

νοίᾳ καὶ ἀόκνῳ γοργότητι, καταθαρρήσας, πάντα διανοησάμενος ὡς ἂν λάθοι, καὶ πονηρὰν ὑπόνοιαν τοῖς κρατοῦσιν ὑποβάλοι, καὶ ἔξωσιν τοῦ παναγιωτάτου ἀπὸ τοῦ θρόνου ἐξεργάσειεν, συσκευάζει τοιοῦτον, οἷον οὐδὲ Ἰουδαῖος θεοστυγὴς ἂν ἐτόλμησε· λίβελλον ἀνώνυμον πλασάμενος καὶ γύναιόν τι τῶν περιβλέπτων καὶ πρὸς τὴν τοῦ βασιλέως ἀδελφὴν εἰσδυουσῶν χρήμασι παραπείσας διὰ τῆς βασιλόπαιδος πρὸς τὸν κρατοῦντα διεβίβασε, περιεῖχε δὲ τὸ ψευδόγραμμα, ὡς ὁ πατριάρχης τῶν Ῥωμαίων ἑορτὴν πάνδημον ἀσυνήθως ἐπιτελέσας, καὶ τὸν ἁρμοστὴν τῶν Ῥώσσων προσκαλεσάμενος, λαμπρῶς ἐπελθόντα ὑπεδέξατο αὐτὸν ἐν τῇ ἐκκλησίᾳ ἐνδόξως, καὶ μετὰ μεγάλης οἷα τῶν ἡγεμόνων καὶ τῶν βασιλέων ὑπαντῆς, καὶ δεξιωσάμενος διὰ πολλῶν συνεστήσατο αὐτῷ τὸν λαόν· ὁ δὲ ἀναγνοὺς καὶ τῷ θυμῷ ζέσας πρὸς τὸν ἐπίτροπον τῆς βασιλείας αὐτοῦ αἴφνης ἐπέστη, καὶ τὸν λίβελλον ἐπιδοὺς διηρώτα, εἰ τοῦτον λανθάνει τὰ γενόμενα· ἐκπλαγεὶς δὲ ἐκεῖνος ἐπὶ τῇ ἀπονοίᾳ τοῦ συκοφάντου, ἐπισχεῖν ἐδεῖτο, καὶ τὸν τολμητίαν ὁποῖος ἂν ᾖ ψευδόμενον διήλεγχε, καὶ διέλυσεν ἀποδεικτικῶς τὴν παράνομον συκοφαντίαν, καὶ τὸν κρατοῦντα πείσας εὐλόγως παριδεῖν τὴν γραφὴν, ἐφρόντισε μαθεῖν τὸν συγγράψαντα. Ἐξέστη δὲ ὁ παναγιώτατος κύριος Σεραφεὶμ μαθὼν τὴν κατ' αὐτοῦ ταύτην παράνομον διαβολὴν, καὶ διηπόρει τίς τι παθὼν τοιαῦτα αὐτοῦ κατεψεύσατο, ἀλλ' οὐδὲ συνεικάσαι εἶχε χριστιανὸν εἰς τοσοῦτον ἀτοπίας ἐλάσαντα· ὁ δὲ συνετὸς καὶ πολύπειρος ἐπίτροπος καὶ πᾶν τὸ κράτος τῶν Ὀθωμανῶν ἐπιστημόνως φέρων, ἐπερευνήσας τὸν τολμητίαν κατέμαθεν· ἀλλὰ φίλος τις αὐτὸν περισώσας διὰ πολλῶν χρημάτων ὕστερον τοῦ τότε κατ' ἀξίαν θανάτου ἐρρύσατο.

Μετὰ δὲ τὸ αὐτὸ τρίτον ἔτος, τοῦ περιωνύμου Ἡρακλείας Γερασίμου διὰ τὸ βαθὺ γῆρας παραίτησιν οἰκειοθελῆ βουλομένου ποιῆσαι εἰς τὸν ἀνεψιὸν αὐτοῦ τὸν τότε Μετρῶν ἐπίσκο-

πον Μεθόδιον, καὶ συναίνεσιν καὶ γνώμην καὶ ἐνέργειαν αἰτησαμένου παρὰ τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου Σεραφεὶμ, καὶ αὐτοῦ κατὰ πρῶτον μὴ συναινοῦντος, κλύδων καὶ ταραχὴ κατέλαβε τὴν ἐκκλησίαν, ἕως ὅτου διὰ πολλῶν ἴσχυσεν ἡ γνώμη καὶ θέλησις τοῦ βαρυτίμου γέροντος, καὶ ὁ κὺρ Μεθόδιος διεδέξατο τὴν Ἡράκλειαν. Ἔκτοτε οὖν ὤδινεν ἡ πτῶσις τοῦ κυρίου Σεραφείμ· ὁ δὲ κατολιγωρήσας τῶν ἀντιφερομένων αὐτῷ, τῶν προὐχόντων ἐν δυνάμει καὶ λόγῳ γερόντων ἐκλελοιπότων, ὡς τοῦ μὲν θανόντος, τοῦ δὲ παραιτησαμένου, προῆγε τὴν πατριαρχικὴν ἐξουσίαν ἐπιρρωνύων τῇ ἐπιτρίπτῳ πολιτικῇ, εἴτουν πλεονεξίᾳ τῶν κρατούντων χρῆσθαι μεμαθηκώς, καὶ τὰ ἀρέσκοντα αὐτῷ εὐμαρῶς ἐξετέλει τῶν ἀνθισταμένων περιγενόμενος. Ἐπεὶ δὲ παρὰ τῶν δυναμένων τὴν ἰσχὺν χρήμασιν ἐξωνεῖτο, ἀπαιτήσεις πλείονας ἐποιεῖτο, καὶ τὸ ἔθνος παραμείβων σύμπαντας τοὺς ἐκκλησιαστικοὺς κατεβάρυνεν· ἐντεῦθεν ἤρξαντο διαλοιδορεῖν καὶ καταμέμφεσθαι τοῦτον τῶν τε ἀρχιερέων τινὲς καὶ τῶν ἐκκλησιαστικῶν, καὶ τῶν ἀρχόντων οὐκ ἐλάσσονες· ὁ δὲ τοῖς δυσμενοῦσιν ἀντιφερόμενος παρέκλινεν εἰς τὸ βιαιότερον.

Ὡς δὲ τὰ τῆς ἐκκλησιαστικῆς διοικήσεως εὐθεκάστως ἐδόκει διενεργούμενα ὑπὸ τοῦ παναγιωτάτου κυρίου Σεραφεὶμ, καὶ τὰ τῆς ἀργυρολογίας ἐπληθύνετο· καὶ βίας οὐκ ἐκτὸς ἦν· ἔκτοτε γὰρ καὶ τὰ ἐμβατήκια τῶν ἐκκλησιῶν προσηύξησαν, καὶ αἱ ἔξω ἐπαρχίαι χρέεσι καταβαρύνεσθαι ἤρξαντο· μηκέτι δίκαιον ἀνέχεσθαι ἡγησάμενοι, συνίσταντο ὑπὲρ τῆς ἐκκλησιαστικῆς ἀριστοκρατίας οἵ τε τῶν ἐνδημούντων ἀρχιερεῖς καὶ ἐκκλησιαστικοὶ καὶ τῶν ἀρχόντων οὐκ ἐλάσσονες, καὶ ὁμονοήσαντες ἀμεταθέτως ἀπὸ κοινῆς γνώμης κατεψηφήσαντο καὶ διέπραξαν τούτου τὴν ἔξωσιν· καὶ δὴ τῇ κϛ΄. Μαρτίου τοῦ ἑξηκοστοῦ σωτηρίου ἔτους δόντες ἀναφορὰν πρὸς τοὺς κρατοῦντας ἐξέωσαν τοῦ οἰκουμενικοῦ θρόνου τὸν παναγιώτατον

κύριον Σεραφείμ, καὶ ἀντ' αὐτοῦ ἐκλεξάμενοι τὸν πρώην Ἰπεκίου τότε προεδρεύοντα Χαλκηδόνος κύριον Ἰωαννίκιον, ἐζήτησαν πατριάρχην, καὶ ἀπέλαβον παραστάντες ὁμοθυμαδὸν τῷ τῆς βασιλείας ἐπιτροπεύοντι.

Ἦν δὲ ὁ παναγιώτατος κύριος Σεραφεὶμ ὁ Β'. Ἠπειρώτης τὸ γένος, εὐσεβὴς ἐξ εὐσεβῶν εὐπατρίδης, φιλογενὴς, φιλότιμος, τολμηρὸς, γενναῖος, νοήμων, εὐμαθὴς μᾶλλον ἢ πολυμαθὴς, ὁρμητικὸς οἷς ἐδόκει συμφέρειν, δυσαπάλλακτος ὧν εἴχετο· ἐν πράγμασιν εὐεπήβολος, εὐμήχανος τὰ ἀρέσκοντα αὐτῷ διαπράξασθαι τὸν ἐπιχωριάζοντα τρόπον· παρεζήλου γὰρ καὶ ἐξέμαθε τῶν κρατούντων τὴν πολιτικὴν καὶ τὸ ἀρχικὸν αὐτῶν ἦθος ἀπεμάξατο. Σύνοιδε μέντοι καὶ τῆς ἰδίας ἀξίας τὰ καθήκοντα, ἐν οἷς καὶ τὰ μέγιστα ἐφιλοτιμεῖτο, καὶ τοῖς εἰλικρινῆ τὴν ἀρετὴν κατορθοῦσιν ἠσμενίζετο, καὶ διάπυρος ζηλωτὴς ἦν τῶν ὀρθοδόξων δογμάτων, καὶ τῶν ἐκκλησιῶν τοῦ θεοῦ κηδεμὼν ἐπιμελέστατος· καὶ εἰ μὴ φίλαρχος καὶ φιλοχρήματος ἦν, οὐκ ἂν βαρὺς καὶ ὑπέρογκος ἔδοξε, καὶ τοῦ παντὸς ἐπαίνου ἦν ἄξιος.

Τὰ μὲν οὖν τῆς ὀρθοδόξου ἐκκλησίας τῆς κατά τε Αἴγυπτον καὶ Ἀσίαν καὶ Εὐρώπην τυραννουμένης ἐπὶ τῆς ἕκτης ταύτης δεκάτης ὀγδόης ἑκατονταετηρίδος τῶν σωτηρίων ἐτῶν, οὕτως ἐν θλίψεσι καὶ ἀνάγκαις καὶ παντοίοις πειρασμοῖς διήγετο· οὐχ ἧττον δὲ κατετυραννοῦντο καὶ ἐδιώκοντο οἱ ὀρθόδοξοι καὶ οἱ ὑπὸ τὴν ἐξουσίαν τῶν παπιστῶν, μάλιστα δὲ οἱ ἐν Λεχίᾳ.

Ἐν δὲ τῇ θεοδοξάστῳ αὐτοκρατορίᾳ τῶν Ρώσσων, τῆς θεοστέπτου Ἐλισάβετ θυγατρὸς τοῦ ἀοιδίμου μεγάλου Πέτρου, τῆς εὐσεβεστάτης ἀνάσσης καὶ θεοσεβεστάτης αὐτοκρατορίσσης, τὰ σκῆπτρα τῆς ὀρθοδοξίας ἐχούσης, ἡμιλλᾶτο ὁ ἔνθεος ζῆλος τῆς ἀρετῆς, καὶ ἐπλατύνετο καθ' ἑκάστην ἐν τοῖς εὐρυχώροις κόλποις ταύτης τῆς μοναρχίας τὸ ἀποστολικὸν κήρυγμα,

καὶ λαοὶ καὶ ἔθνη ἀπὸ σκότους εἰς φῶς ἤγοντο, καὶ μυριάδες ἐπίστευον εἰς Χριστόν. Πολυειδῶς γὰρ καὶ πολυτρόπως τὴν ἐκκλησίαν αὐτοῦ οἰκονομῶν ὁ κύριος τοῖς μὲν οὐ μόνον πιστεύειν εἰς αὐτὸν, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ πάσχειν διαθεῖται, τοῖς δὲ αὐτοῖς πιστεύουσι, καὶ ἄλλους εἰς τὴν πίστιν καλεῖν καὶ φωτίζειν, ἵν' ἀμφοτέρους δοξάσῃ ἐν ἐνθέῳ ἀγάπῃ, ὑπομονῇ τε καὶ καρτερίᾳ, δι' ὧν ἡ πρὸς θεὸν τελεία ἐλπὶς καὶ πίστις γνωρίζεται.

Ἤκμαζον δὲ περὶ τὸ μέσον ταύτης τῆς δεκάτης ὀγδόης ἑκατοντάδος τοῦ σωτηρίου ἔτους ἐπίσημοι ἐν σοφίᾳ καὶ διδασκαλίᾳ.

Παρθένιος πατριάρχης Ἱεροσολύμων, Ἀθηναῖος, ἀνὴρ σοφὸς καὶ πολυμαθὴς, καὶ τὸν ἑρμηνευτικὸν τρόπον τῶν θείων Γραφῶν ἄριστα ἠσκημένος. Διὸ καὶ περιερχόμενος πανταχοῦ διήνοιγε τὰς Γραφὰς ἑρμηνεύων, καὶ διδάσκων ἐστήριζε τοὺς χριστιανοὺς εἰς ὑπομονὴν καὶ καρτερίαν τῶν ἐπικειμένων θλίψεων, διεθέρμαινε τὴν πρὸς τὸν θεὸν καὶ τὸν πλησίον ἀγάπην, ἐκόσμει τὰ ἤθη, καὶ παντὶ τρόπῳ ἐγίνετο ὠφέλιμος, καλλιεργῶν τὴν ἄμπελον τοῦ Χριστοῦ ἀποστολικῶς, καὶ τὴν εὐλογίαν τῶν χριστιανῶν πρὸς τοὺς ἐν Ἱεροσολύμοις ἀδελφοὺς διακονῶν.

Σωφρόνιος Πτολεμαΐδος, Δαμασκηνός, τὸν διδασκαλικὸν τρόπον προῃρημένος καὶ τὰ τῶν θείων πατέρων καὶ διδασκάλων πάντα ἐκμελετήσας, καὶ ἐγκύψας εἰς βάθος τῶν θείων Γραφῶν, ἐδίδασκεν ἀποστολικῶς ἀρξάμενος ἀπὸ Ἱερουσαλήμ.

Σαμουὴλ Δέρκων μητροπολίτης, Βυζάντιος, πάσης ἰδέας λόγου ἔμπειρος, πολυμαθέστατος καὶ λέγειν δεινότατος· συνέγραψεν ὁμιλίας καὶ ἄλλα τινά.

Διονύσιος Ἀδριανουπόλεως μητροπολίτης, Χῖος, πολυμαθὴς καὶ διδασκαλικός· ἐφύλαξε τῶν ὁμιλιῶν αὐτοῦ τινὰς ἐγγράφους.

Καλλίνικος πατριάρχης Κωνσταντινουπόλεως, Θετταλός. συνέγραψε διάφορα.

Δωρόθεος ἱερομόναχος καὶ πρωτοσύγγελος τῆς μεγάλης ἐκκλησίας, ὁ Λέσβιος, φιλόσοφος καὶ ἑλληνικῆς εὐφραδείας καὶ πάσης ἄλλης λογικῆς τέχνης ἐμπειρότατος· συνέγραψε λόγους πανηγυρικοὺς τῶν δεσποτικῶν ἑορτῶν, καὶ ἀρχῶν τῆς περιπατητικῆς φιλοσοφίας κατὰ Νεύθωνα, καὶ τῶν μηχανικῶν φυσιολόγων, περὶ ἐντόμων, καὶ τῶν ἐκ σήψεως γιγνομένων, καὶ ἄλλα τινά.

Μελέτιος καὶ Ἀθανάσιος ἱερομόναχοι, οἱ ἐν τῇ μεγάλῃ μονῇ τῶν Ἰβήρων ἀσκήσει καὶ θεωρίᾳ ἐφησυχάζοντες.

Κοσμᾶς ἱερομόναχος ὁ Λήμνιος, ἀνὴρ πεπαιδευμένος, καὶ τὸν διδασκαλικὸν τρόπον ἐν τῇ ἰδίᾳ πατρίδι ἀσκῶν.

Μπαλάνος ἱερεὺς Ἰωαννίτης, σοφώτατος, συνέγραψε πάμπολλα, μάλιστα μαθηματικά.

Θεοφάνης ἐξ Ἀγράφων ἱερομόναχος καὶ ἐμὸς πρῶτος διδάσκαλος ἐν τῇ πατρίδι τῇ ἐμῇ Φουρνᾷ, πάσης σοφίας καὶ μαθήσεως μεταλλεῖον, ὁσίως τὸν βίον διασκήσας, καὶ εἰς ἀκρότητα ταπεινοφροσύνης ἐληλακώς, θεωρίας εἰς ὕψος ἀνήχθη. Πρόδηλος ἡ αὐτοῦ σοφία ἔν τισιν ἐπιλύσεσι θεολογικῶν ζητημάτων καὶ ἐν τοῖς τρισὶ πανηγυρικοῖς πρὸς τὴν Ζωοδόχον πηγήν.

Παρθένιος ἱερομόναχος Πελοποννήσιος, τὴν εὐαγγελικὴν διδασκαλίαν ἐπανῃρημένος.

Ἀγαθάγγελος Πελοποννήσιος ἱερομόναχος, τὴν εὐαγγελικὴν διδασκαλίαν καὶ τὸν πνευματικὸν τῆς διορθώσεως τρόπον ἐπανῃρημένος.

Ἀγάπιος ἱερομόναχος Αἰτωλὸς, τὴν εὐαγγελικὴν διδασκαλίαν διὰ βίου ἐκμελετήσας.

Βικέντιος ὁ Δαμῳδὸς Κεφαλληνεὺς, πολυμαθέστατος, συνέγραψε πάμπολα ἐπιστημονικὰ θεολογικά, τέχνας λογικάς.

Ἀντώνιος ἱερεὺς ὁ Κατήφορος ἐκ Ζακύνθου, πολυμαθέστατος, συνέγραψε τέχνας λογικὰς καὶ ἄλλα.

Ἱερόθεος μοναχὸς Ἰθακήσιος, πολυμαθής, καὶ τὸν διδα-

σκαλικὸν τρόπον ἐν Σμύρνῃ διὰ βίου διανύσας, πολύχουν τὸν καρπὸν τῆς εὐμαθείας ἤνεγκε.

Εὐστράτιος Ἀργέντης ὁ Χῖος, ἰατροφιλόσοφος, πολυμαθέστατος· συνέγραψε κατὰ λατίνων, καὶ ἄλλα τινά.

Εὐγένιος ἱεροδιάκονος ὁ σοφώτατος καὶ πάσης ἐπιστήμης καὶ μαθήσεως θησαυρός, Κερκυραῖος· συνέγραψε πάμπολλα, ἐπιστημονικά, θεολογικὰ καὶ πάσης ἄλλης ἰδέας.

Κυπριανὸς ἱεροδιάκονος ἐκ Κύπρου, πάσης λογικῆς τέχνης καὶ ἐπιστήμης καὶ τῆς ἱερᾶς θεολογίας ἐμπειρότατος· συνῆν ὑποδιδάσκαλος τῷ μεγάλῳ Εὐγενίῳ ἐν τῇ κατὰ τὸ ἅγιον Ὄρος Ἀκαδημίᾳ, παρ' οὗ πρότερον ἠκροάσατο ἀκριβέστερον ἐπεξιὼν φυσικῶν, μεταφυσικῶν, θεολογικῶν, γεωμετρικῶν μαθημάτων, ἐμβριθὴς ἀνὴρ καὶ βίῳ καὶ λόγῳ ἐν παντὶ διδασκαλικός.

Ἰάκωβος ἱερομόναχος Πάτμιος, διδάσκαλος τῶν λογικῶν τεχνῶν καὶ ἐπιστημῶν ἐν Ἱεροσολύμοις, ἔμπειρος τῆς ἑρμηνείας τῶν θείων Γραφῶν· ἐδίδασκε δὲ καὶ ἐπ' ἄμβωνος διερμηνεύων τὰς ἁγίας Γραφάς, καὶ ὁμιλίας συνέγραψε, βίῳ ἐπακριβώσας ἀρετὴν λογικήν, καὶ λόγον κοσμήσας βίου σεμνότητι καὶ τελειότητι πράξεως.

Ἐφραὶμ ἱερομόναχος Ἀθηναῖος, πολυμαθέστατος καὶ τῶν θείων Γραφῶν μελέτην πολλὴν ἐσχηκώς, καὶ τῶν ἁγίων πατέρων τῆς ἑρμηνείας ἐμπειρότατος, διδάσκαλος πρότερον ἐν Κύπρῳ, διερμηνεύων καὶ ἐπ' ἄμβωνος τὰς ἁγίας Γραφάς, εἶτα ἐν Ἱεροσολύμοις, ἀγαστὸς τῇ τε ἀκριβείᾳ τοῦ λόγου καὶ τῇ τοῦ βίου τελειότητι καὶ ἀμφοτέροις διδακτικὸς ἐπαγωγότατος.

Νεόφυτος ἱεροδιάκονος Πελοποννήσιος, ἀσκητὴς πολυπονώτατος καὶ πολυμαθέστατος, συνέγραψε συλλογὴν ἱερῶν νόμων, λύσεις διαφόρων ζητημάτων νομικῶν, τακτικῶν, ἠθικῶν, δογματικῶν, παρεκβολὰς καὶ ἑρμηνείαν εἰς τὸ συντακτικὸν τοῦ Θεοδώρου Γαζῆ πολυμαθεστάτην καὶ τῇ παρούσῃ ἀνάγκῃ τῆς διδασκαλίας τῶν γραμματικῶν ἐπωφελεστάτην.

Κωνστάντιος Θετταλὸς ἐπίσκοπος Τρίκκης, πολυμαθὴς καὶ τῆς ἑρμηνείας τῶν θείων Γραφάν ἔμπειρος, ἐδίδασκε συνεχῶς διερμηνεύων τὰς ἁγίας Γραφᾶς· συνέγραψε συλλογὰς ἐκ τῶν θείων Γραφῶν καὶ τῶν συγγραμμάτων τῶν θεοφόρων πατέρων, καὶ ἄλλα τινὰ ὑπομνήματα.

Ἀλέξανδρος μαθητὴς τοῦ ἀοιδίμου Μακαρίου, φιλόσοφος, ἐδίδαξεν ἐν Βουκουρεστίῳ λογικά, ἐπιστημονικὰ δι' ἐτῶν, καὶ πολλῆς ἐγένετο τοῖς ἐκεῖ ὠφελείας πρόξενος, πυρσὸν εὐμαθείας ἀνάψας.

Νικόλαος ἐκ Μεσόβου, πρότερον χρηματίσας διδάσκαλος ἐν Τρίκκῃ τῆς Θετταλίας, καὶ μετὰ τὴν ἐπάνοδον ἀπὸ Ἰταλίας σταλεὶς εἰς τὸ ἅγιον Ὄρος καὶ χρηματίσας ἐν τῇ ἐκεῖ σχολῇ διδάσκαλος, κἀκεῖθεν μεταβὰς εἰς Δακίαν καὶ ἐν Ἰασίῳ διδάξας· πολυμαθὴς ὁ ἀνήρ· οὗτος πρῶτος ἐν ἕλλησι μετέφρασε τὰ στοιχεῖα τῆς φυσικῆς τοῦ Νεύτωνος κατὰ Μουσκεμβροέκιον.

Ἰωάννης ὁ ἐξ Ἀγράφων, ὁ χρηματίσας διδάσκαλος τῶν υἱῶν τοῦ αὐθέντου Γρηγορίου Γκίκα βοεβόδα, καὶ διδάσκαλος ἐν τῇ σχολῇ τοῦ Ἰασίου ἅμα τῷ ἀπὸ Μεσόβου Νικολάῳ καὶ ὕστερον ἅμα Νικηφόρῳ τῷ Θεοτόκῃ, ὁ καὶ διὰ χρόνων φιλοπονήσας καὶ μεταφράσας τὸν Θησαυρὸν τῆς Ἑλληνικῆς Γλώσσης Στεφάνου Ἐρρίκου καὶ ἐπεργασάμενος, ἐπιπροσθεὶς καὶ ἄλλας πολλὰς λέξεις, ἐξ ἄλλων τε συλλέξας καὶ φιλοτεχνήσας ἄριστα.

Ἔτ. Χριστ.	ἔτη πατρ.	Μῆνες.	Πατριάρχαι.	ἔτη Χριστ.	ἔτη βασ.	Μῆν.	Ὀνόμ. Βασ.
1748	2	8	Κύριλλος Ε'. ἀπὸ Νικομηδείας α'.				Μαχμοὺτ
1751	1	3	Παΐσιος Β'. τὸ δ'. ἀπὸ Νικομηδείας.				Μαχμοὺτ
1752	4	6	Κύριλλος Ε'. τὸ β'.	1754	24	2	Μαχμοὺτ Ὀσμὰν Γ'.
1757	—	6	Καλλίνικος Δ'. ὁ ἀπὸ πρώην Προϊλάβου.				Ὀσμὰν Γ'.
1757	3	8	Σεραφεὶμ ὁ Β'. ἀπὸ Φιλιππουπόλεως	1757	2	10	Ὀσμὰν Γ'. Μουσταφᾶς Γ'.
1761	2	2	Ἰωαννίκιος Γ'. ἀπὸ Χαλκηδόνος πρώην Ἰπεκίου.				Μουσταφᾶς Γ'.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

Τὰ μὲν τῆς γνώμης τοῦ μονάρχου τῶν Ὀθωμανῶν Μουσταφᾶ, τοῦ καιροῦ προϊόντος ἡμερώτερα ἐγίνετο τῇ ἀγχινοίᾳ τοῦ αὐτῷ ἐπιτροπεύοντος τιθασσευόμενα. Ἀνεκτᾶτο δὲ καὶ ἀνελάμβανε τῇ τούτου φρονήσει καὶ τὰ πεπονημένα τοῦ ἡμετέρου τῶν ὀρθοδόξων γένους ταῖς τῶν λατίνων ἐπηρείαις· πολύπειρος γὰρ καὶ πολυμαθὴς ὢν ὁ τῆς βασιλείας τότε ἐπίτροπος Ραγῆπος, ἐπίστατο τὰς καθ' ἡμῶν ἐξ ἀρχῆς αὐτῶν βλάβας καὶ τὰς τοσαύτας ἐπιβουλάς, καὶ ἐπεὶ κατατρυχομένους τοὺς τῇ Ρώμῃ προσέχοντας τῷ πολέμῳ τοῦ βασιλέως τῆς Προυσίας ἑώρα, κατολιγωρῶν αὐτούς, ἐδικαίου τὰ ἡμέτερα· διὸ καὶ τὰ ἀδίκως ἀφαιρεθέντα, διὰ προσπαθήσεως καὶ διενεργείας, μεσιτείας τε καὶ ἐκλιπαρήσεως τοῦ βασιλέως τῶν Κελτογάλλων καὶ πολλῶν χρημάτων τῶν παπιστῶν, ἐν Ἱεροσολύμοις προσκυνήματα, τοῦ μακαριωτάτου κυρίου Παρθενίου ἐπιμόνως ἐκλιπαροῦντος προσχεῖν τῷ δικαίῳ, διαδικάσας ὀρθῶς, ἀφελόμενος ἐκείνων ἡμῖν ἐπέτρεψε καὶ διὰ βασιλικοῦ διπλώματος, ὡς ἀπ' ἀρχῆς ἦν, ἡμῖν διαμένειν προσεκυρώσατο, καὶ θᾶττον ἐβοήθει, εἰ ἔγνω ἐκ τοὐμφανοῦς ἐπηρεαζομένους· κατεστάλη γοῦν ἡ βακχεία τῶν δυτικῶν κατὰ τῆς ἀμωμήτου ὀρθοδόξου ἐκκλησίας μὴ ἔχουσα συνεργὸν τὴν ἀσέβειαν, διὰ τὴν φρόνησιν τοῦ ἐπιτροπεύοντος, καὶ δολίως ὑφέρπουσα, διενέμετο εἴ τι που σεσηπός· κατεπατεῖτο μέντοι καὶ ἠτιμάζετο καὶ ὑπὸ τηλικούτου δυνάστου, καί γε παράδοξον ἦν, ὅτι καὶ τοὺς ἐκκλησιῶν προστάτας καὶ πατριάρχας προΐστασθαι τῆς ὀρθοδοξίας αὐτῇ λέξει προσέταττε.

Οἱ δὲ ἀρχιερεῖς καὶ κληρικοὶ παραστάντες τῷ ἐπιτρόπῳ τῆς βασιλείας καὶ ἐξαιτήσαντες πατριάρχην τὸν τότε προεδρεύοντα Χαλκηδόνος πρῴην Ἰπεκίου κύριον Ἰωαννίκιον, καὶ

παραλαβόντες τὰ καββάδια ὡς σύνηθες, τῇ εἰκοστῇ ἕκτῃ Μαρτίου τοῦ ἑξηκοστοῦ πρώτου, ἐπανῆλθον ἐνδόξως εἰς τὸ πατριαρχεῖον, καὶ τὸν μὲν κύριον Ἰωαννίκιον, ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου γενομένης τῆς μεταθέσεως ὡς νενόμισται, ἀνευφήμησαν οἰκουμενικὸν πατριάρχην, τον δὲ προοδεύσαντα κύριον Σεραφεὶμ καθαιρέσει ὑπέβαλον, καὶ ἐξορίᾳ κατεδίκασαν· ὁ δὲ λίαν ἐντίμως διελθὼν διὰ τῆς μεγάλης ταύτης πόλεως διὰ ξηρᾶς ἀπῆλθεν εἰς τὸ ἅγιον Ὄρος, εἰς ὃν ὥρισται τόπον. Ἡσύχασαν οὖν οἱ δυσαρεστούμενοι καὶ τυραννίαν τῆς ἐκκλησίας ὑφορώμενοι ἀρχιερεῖς καὶ ἄρχοντες, καὶ περιέποντες τὸν παναγιώτατον κύριον Ἰωαννίκιον τὰ τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν ἐφρόντιζον.

Τὰ μὲν τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας ἥσυχα ἦν· ἐπανῆκε δὲ ἀπὸ τοῦ Σιναίου ὄρους φυγὰς διὰ μυρίων κινδύνων κατελθὼν εἰς Αἴγυπτον καὶ ἐξ Αἰγύπτου εἰς Κωνσταντινούπολιν, ὁ πρῴην πατριάρχης κύριος Καλλίνικος καὶ ἀποκρυβεὶς ἡμέρας τινὰς ἐν τῷ εὐκλεεῖ οἴκῳ τοῦ Χρυσοσκούλου Ῥάλλη, ἀνδρὸς εὐσεβοῦς καὶ φιλοδικαίου, πρώτου ἑρμηνέως τῆς ἀριστοκρατίας τῶν Ἑνετῶν, καὶ διενεργήσας ἑαυτῷ τὴν μετάληψιν τοῦ τῆς ὑπερορίας ὁρισμοῦ καὶ παραγραψάμενος, ἐδικαιολογήσατο περὶ πάντων ὧν κατεῖπον αὐτοῦ οἱ διαβάλλοντες, καὶ τὴν ἄδικον συκοφαντίαν ἀπαλείψας καθάπαξ, καὶ μεταβαλὼν τὴν κατ' αὐτοῦ ψῆφον τῆς ἐκκλησίας, ἀνέγκλητος καὶ ἄμεμπτος γνωσθεὶς τῇ ἱερᾷ συνόδῳ, τὴν δικαιοῦσαν κοινὴν ψῆφον τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας ὑπὲρ τῆς αὐτοῦ ἀθωώσεως παρέλαβεν ἔγγραφον, καὶ δεξιωθεὶς φιλοφρόνως τῷ τε παναγιωτάτῳ κυρίῳ Ἰωαννικίῳ καὶ τῇ περὶ αὐτὸν ἐνδημούσῃ ἁγίᾳ καὶ ἱερᾷ συνόδῳ, καὶ ἐνδιατρίψας ἡμέρας πλείους, ἔλαβεν ἄδειαν, ὅπῃ ἂν βουλομένῳ ἀπελθεῖν ἐπὶ ῥητῇ ἐτησίῳ χορηγίᾳ, ἣν συνοδικῇ διαγνώσει καὶ κοινῇ γνώμῃ ἐκ τοῦ κοινοῦ τῆς μεγάλης ἐκκλησίας λαμβάνειν διέταξαν· ὁ δὲ πρὸ πάσης γῆς τὴν ἰδίαν

πατρίδα προελόμενος ἐκεῖσε ἐντίμως μετέβη, καὶ τὸ λοιπὸν τοῦ βίου ἐν ἡσυχίᾳ καὶ μελέτῃ τῶν θείων Γραφῶν ἀφοσιώσας διάγει ἐν γήρει εὐπαθῶν καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος τὰς ὑψοποιοὺς καὶ θεοειδεῖς.

Κατὰ δὲ τὸ Ἰλλυρικὸν οἱ ὀρθόδοξοι Δαλμάται διενοχλούμενοι ὑπὸ τῶν φρατόρων καὶ μηκέτι φέροντες τὰς αὐτῶν ῥᾳδιουργίας ἤρξαντο δυσπετεῖν ἀστατοῦντες· διαγνοῦσα οὖν ἡ γαληνοτάτη ἀριστοκρατία τῶν Ἐνετῶν τῶν ὑπηκόων τὴν ταραχήν, διεπυνθάνετο τὸν στρατηγὸν ἀνθ' ὅτου δυσχεραίνει καὶ ἀστατεῖ τὸ ὑπήκοον· ὁ δὲ διασαφήσας ὅτι περὶ τὴν πίστιν ἐνοχλούμενοι οἱ ὀρθόδοξοι ὑπὸ τῶν δυτικῶν ἱερέων ταράττονται, προσέθετο ὡς εἰ μὴ ἀρχιερέα τῆς ἀνατολικῆς ἐκκλησίας αὐτοῖς ἐπιστήσουσιν, οὐκ ἂν ἄλλως ἐφησυχάσειεν. Τούτων οὖν γνωσθέντων, τὸ μὲν ἀρχιερέα αὐτοῖς ἀποκαταστῆσαι, διὰ τὴν ἐκ τῆς Ῥώμης ὑλακήν, παρῃτοῦντο· ἐνίοις γοῦν ἐδόκει τὸν ἐκ πολλοῦ καταργηθέντα πρόεδρον Φιλαδελφείας Ἐνετίῃσιν ἀνανεώσασθαι κατὰ τὸ πρότερον, ὥστε ἐνεργοῦντα τὰ τῆς ἀρχιερατείας ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, τοῖς Γραικοῖς προΐστασθαι κηδόμενον καὶ τῶν ὀρθοδόξων ἐν Δαλματίᾳ ἐκκλησιῶν. Ἐπεὶ δὲ ἐν τοιαύτῃ πολυάνδρῳ ὁμηγύρει πολλὰ συγκυρεῖ πάθη τε καὶ διαφέροντα ἴδια, ὑφέρποντα τῷ λογισμῷ, καὶ τῷ κοινῷ συμφέροντι πολλάκις ἀνθιστάμενα, καὶ οὐκ ἐν πᾶσιν ὡς ὤφειλεν ἐπικρατεῖ ὁ ὀρθὸς λόγος, οἱ πλείους τῆς χείρονος ἐγένοντο γνώμης, καὶ οὔτε ἀρχιερέα ἴδιον τοῖς ὀρθοδόξοις Δαλμάταις ἐπιτρέψαι διέγνωσαν, ἵνα μὴ καινὰ ποιοῦντες τὸν Ῥώμης πάπαν λυπήσωσι, μήτε τὸν Ἐνετίῃσι πρόεδρον Φιλαδελφείας ἀποκαταστῆσαι κατὰ τὴν προτέραν ἐλευθερίαν τῆς ἐκκλησίας καὶ τὰ τότε ἐκ δικαιοπραγούσης τῆς γνώμης προσνενεμημένα προνόμια, ἅπερ εἶχον οἱ Φιλαδελφείας πρόεδροι ἐκεῖ πρὸ τοῦ Κακομελετίου Τυπάλδου, ὃν ἀποστατήσαντα τῆς ὀρθοδόξου ἐκκλησίας δικαίως κατεδίκασε καὶ καθαιρέσει παντελεῖ

καθυπέβαλε, καὶ ὡς σεσηπὸς ἀπέκοψε καὶ ἀπέρριψεν ἐν ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ δεκάτῳ δευτέρῳ ὁ παναγιώτατος οἰκουμενικὸς πατριάρχης κύριος Κύριλλος ὁ δ'. γνώμῃ κοινῇ συνοδικῇ καὶ συναινέσει τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Χρυσάνθου, καὶ τῶν παρευρεθέντων ἁπάντων ἁγίων ἀρχιερέων, ἀλλὰ κατασοφίσασθαι τῶν ἀρχομένων καὶ παρεπιδείξασθαι ἀρχιερέα, συναινοῦντα μέντοι τοῖς λατίνοις καὶ τῶν ἀνατολικῶν μὴ ἀποσχοινιζόμενον· καὶ δὴ εὑρόντες τὸν ἐκεῖ ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου ἐφημερεύοντα ἱερομόναχον Γρηγόριον Φατζέα, ἀμφοτεροδέξιον ὡς ἐνόμισαν, τούτῳ περιῆψαν τὴν φενάκην, καὶ τὸ δρᾶμα ἐνεκεχειρήκεσαν, καὶ πρὸς τὴν Κέρκυραν ἀποστείλαντες καὶ συναρπάσαντες τόν τε Κεφαλληνίας καὶ Ζακύνθου ἀρχιεπίσκοπον, καὶ τὸν Λευκάδος καὶ ἁγίας Μαύρας, καί τινα ἕτερον σὺν αὐτοῖς, ἄνευ ἐκδόσεως πατριαρχικῶν καὶ κανονικῶν ψήφων χειροτονοῦσι δι' αὐτῶν ἀρχιερέα καὶ Φιλαδελφείας ἐξονομάζουσι, καὶ πρόεδρον Ἑνετίῃσι καθιστᾶσι, περιμένοντες δῆθεν τὴν ἔκδοσιν καὶ ἐπιβεβαίωσιν τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κατὰ τρόπον πρωθύστερον. Ἀλλ' ἔλαθον ἑαυτοὺς ἀπατῶντες, ἐξαπατᾶν ἄλλους πειρώμενοι· ὥστε ἅμα τοῖς Δαλμάταις τούς τε Ἑνετίῃσιν ὀρθοδόξους καὶ τοὺς ἐν ταῖς Ἑλλαδικαῖς περὶ Ἤπειρον νήσοις συνετάραξαν ἐπὶ τῇ ἐκθέσμῳ δραματουργίᾳ τοῦ καινοφανοῦς αὐτοῖς ἱπποκενταύρου ἀνατολικοδυτικοῦ ἀρχιερέως· τοῦτον γοῦν ὡς ἀλλόκοτον τέρας καὶ μυσαρὸν ἔκτρωμα ἀποστρεφόμενοι οἱ ζηλωταὶ τῆς εὐσεβείας, ἀνήγγειλαν τὴν ἔκφυλον αὐτοῦ φυὴν, καὶ τὴν παράνομον προχείρισιν τῇ τοῦ Χριστοῦ μεγίστῃ ἐκκλησίᾳ, ἐπικαλούμενοι ὡς τάχος τὴν τομὴν, καὶ τὴν ἔνδικον καθαίρεσιν. Ὁ οὖν παναγιώτατος κύριος Ἰωαννίκιος μηδενὶ ἐνδοὺς, οἷς ὁ πρέσβυς ἐν Κωνσταντινουπόλει τῆς γαληνοτάτης ἀριστοκρατίας παρενεγκεῖν ἐσπούδαζεν, ἀλλὰ τοῦ ἐκδοθέντος δεκρέτου ἐπὶ τῇ τοιαύτῃ ἐγκαθιδρύσει τοῦ δισκελοῦς καὶ ἀκεφάλου κο-

λοσσοῦ, ὡς ἀσυστάτου καταψηφισάμενος πρότερον, καὶ κατὰ τὴν προτέραν ἐλευθερίαν, ἣν διὰ χρόνου ἐπεβραβεύσατο ἡ βαθυγνώμων καὶ δικαιοπραγοῦσα τότε ἀριστοκρατία τοῖς ἐκεῖ ὀρθοδόξοις, αἰτησάμενος ψήφισμα, ὡς ἔμαθε τὴν ἄνομον προχείρισιν τοῦ Ψευδοφιλαδελφείας, καὶ τὴν ἐκ συναρπαγῆς χειροτονίαν τοῦ ἥκιστα γρηγοροῦντος Γρηγορίου Φατζέα, τοῦτον συνοδικῇ διαγνώσει κατέκρινε, καὶ καθαιρέσει παντελεῖ κατεδίκασεν, ὡς παράνομον, ἀμφίδοξον, μᾶλλον δ' εἰπεῖν ἑτερόδοξον, ἢ ὅλως ἄπιστον καὶ κακόφρονα· τοὺς δὲ χεῖρα ἐπιθεμένους αὐτῷ ἐπαίδευσεν ὡς μὴ προσέχοντας, οἷς προσέχειν μάλιστα ὀφείλουσι, καὶ ὑποκλαπέντας παραλογισμῷ προφανεῖ, ἢ ἄλλως δι' αἰδῶ ἢ φόβον ὑποστειλαμένους καὶ πρὸς τὴν ἀλήθειαν μὴ εὐδρομοῦντας, ἀλλὰ τῆς βασιλικῆς καὶ κανονικῆς εὐθυπορίας ἐκτραπέντας, καὶ ἀργείαν αὐτοῖς τοῦ ἱεροπρεπεῖν ἐπέθηκεν ἐπιτίμιον, διαρρήδην ἀπελέγξας τὴν πλάνην, καὶ καταστηλιτεύσας τὴν κακοφροσύνην τοῦ τοιούτου ἀσυστάτου δράματος· ὥστε μηδένα τῶν ὀρθοδόξων λανθάνειν, ἀλλὰ φεύγειν καὶ ἀποπηδᾷν ἀπ' αὐτοῦ τοῦ λυμεῶνος καὶ κακόφρονος ἀγρηγόρου Γρηγορίου, καὶ ὡς ἀνιέρου κατολιγωρεῖν, καὶ ὡς ἀπ' ἀλλοτριόφρονος διατειχίζεσθαι.

Προΐστατο τοίνυν γενναίως τῶν ἁπανταχοῦ ὀρθοδόξων ἐκκλησιῶν κηδόμενος ὁ παναγιώτατος κύριος Ἰωαννίκιος. Ἐπεὶ δὲ τὰ τῆς ἀνελευθέρου πολιτικῆς κατεφρόνει, καὶ χρημάτων ἧττον ἐφρόντιζεν, οὐκ ἔτι τοῖς δυνάσταις καταθύμιος, οὐδὲ τοῖς παραδυναστεύουσι προσφιλὴς ἦν, οὐδ' οἷς ἂν ἐπιβάλλοι κατορθωτικός, καὶ ἐπιτυχικὸς ὢν ἐδεῖτο. Ἐντεῦθεν οὖν δυσαρέσκειαι ἀνεφύοντο τοῖς δεομένοις τῆς ἐκτὸς ἐπικουρίας ἐν τοῖς ἐκκλησιαστικοῖς, ὡς ἀμελοῦντος τῶν ἐπιβαλλομένων καὶ τῶν ἀναγκαίων μὴ φροντίζοντος, μεμψιμοιρίαι τε οὐκ ὀλίγαι παρὰ τῶν ἀρχιερέων ἐπληθύνοντο· ἀλλὰ καὶ τῶν εὐγενῶν καὶ ἀρχόντων τῆς μεγάλης ταύτης πόλεως οἱ μὲν τῷ γένει προσήκοντες

μηδὲν ἀποκερδαίνοντες οἷς ἂν ἐλπίσειεν αὐτοῦ πατριαρχοῦντος, ἐδόκουν περὶ ὀλίγου ποιεῖσθαι τὸ οὕτως αὐτοῖς ἄρχειν· οἱ πλείους δὲ ἀντιπολιτευόμενοι ἐκείνους, καὶ μήτε καταθαρροῦντες τῷ παναγιωτάτῳ, οἷς διενοοῦντο, παραφυλαττόμενοί τε οἷς ἐπεχείρουν, καὶ τὸ ὅλον ἀντιπράττοντα διὰ τοὺς συγγενεῖς ὑφορώμενοι, ἠλλοτριοῦντο ἀπ' αὐτοῦ, καὶ ἀποστυγοῦντες τὴν εἰς τὸν θρόνον αὐτοῦ διαμονήν, ταύτην ἰδίαν αὐτῷ καταιτιῶντο τρυφήν. Ταῦτα οὖν κατανοήσας, καὶ περὶ πολλοῦ μάλιστα ποιούμενος τὴν τῶν ἁγίων ἀρχιερέων εὐχαρίστησιν, διεπράξατο τὴν τοῦ οἰκουμενικοῦ θρόνου παραίτησιν. Συνῆλθον γοῦν καὶ συσκεψάμενοι οἵ τε ἐνδημοῦντες ἀρχιερεῖς καὶ οἱ κληρικοί, καὶ ἄρχοντες ὁμοθυμαδὸν ἅπαντες, παραιτησαμένου τὸν θρόνον τοῦ κυρίου Ἰωαννικίου, ἐξελέξαντο καὶ ἐψηφίσαντο πατριάρχην οἰκουμενικὸν τὸν μητροπολίτην Δέρκων κύριον Σαμουήλ.

Ἦν δὲ ὁ παναγιώτατος κύριος Ἰωαννίκιος ὁ Γ'. τὴν πατρίδα Βυζάντιος τῶν εὐγενῶν, Καρατζᾶς τὸ γένος, μεγαλόφρων, μεγαλοπρεπής, φιλέντευκτος, φιλόφιλος, χρημάτων ἀφειδής, φρόνημα ἔχων φύσει τῷ γένει προσῆκον· γενόμενος δὲ ἀρχιεπίσκοπος Ἰπεκίου, καὶ ἐν πολλοῖς φιλοτιμησάμενος καὶ μεγάλα τὸν εὐσεβῆ λαὸν ὠφελήσας ἐν τῇ τότε ἀνωμαλίᾳ τοῦ καιροῦ, καὶ τῷ συμβάντι εὐτυχεῖ τῶν Ὀθωμανῶν κατὰ τῆς Ἀουστρίας πολέμῳ, τέως ἐπανῆκεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ τὸν ἀρχιεπισκοπικὸν Ἰπεκίου θρόνον, εἴτε τῶν κατοίκων ἐκεῖ τὴν ἀγροικίαν ἀηδισάμενος, εἴτε τῶν συγγενῶν τὴν συνδιαγωγὴν προελόμενος, παρῃτήσατο καὶ ἐν τοῖς οἰκείοις διέτριβεν· ὕστερον δὲ προεδρικῶς λαβὼν τὴν ἐπαρχίαν Χαλκηδόνος ποιμένος χηρεύουσαν, ταύτης προΐστατο· γενόμενος δὲ πατριάρχης καὶ δόξας τῶν εἰωθότων ἀντιποιεῖσθαι, μὴ συνεκτείνων πρὸς τηλικοῦτον μέγεθος πραγμάτων τὴν μέριμναν, μηδὲ πρὸς τὰ πολλὰ συμμερίζων τὸν πόνον, ἐξ ὧν ἡ κοινὴ διηχεῖ ἁρμονία, καί τοι φύσει τοιοῦτος ὢν καὶ πλείστοις προτερήμασι διακοσμούμενος,

ἔλαθεν ἥττων τῆς ἀρχῆς φανεὶς καὶ τοσαύτας ὕστερον συναντήσας τὰς δυσχερείας, ἃς συνιδὼν ἑκὼν μετὰ δύο ἔτη καὶ μῆνας δύο τὸν θρόνον παρῃτήσατο, καὶ εἰς Χάλκην νῆσον ἀπῆλθεν ἐν ἰδίῳ οἴκῳ, ὑπὸ ἁδρᾷ τῇ χορηγίᾳ τῆς ἐκκλησίας τὸν ἥσυχον καὶ ἀμέριμνον βίον προελόμενος.

Ἐν ἔτει γοῦν χιλιοστῷ ἑπτακοσιοστῷ ἑξηκοστῷ τρίτῳ μαΐου εἰκοστῇ πρώτῃ, παραιτησαμένου τὸν οἰκουμενικὸν θρόνον τοῦ κυρίου Ἰωαννικίου τοῦ Γ΄. ὡς προείρηται, κοινῇ γνώμῃ καὶ ψήφῳ ἐξελέξαντο τὸν μητροπολίτην Δέρκων κύριον Σαμουήλ, καὶ παραστάντες τῷ ἐπιτρόπῳ τῆς βασιλείας Ραγήπῳ οἵ τε ἐνδημοῦντες ἀρχιερεῖς καὶ οἱ κληρικοὶ μετὰ τοῦ ἐκλεχθέντος πατριάρχου ἔλαβον τὰ καββάδια, καὶ ἐπιστρέψαντες ἐνδόξως εἰς τὸ πατριαρχεῖον, καὶ γενομένης τῆς μεταθέσεως ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ὡς νενόμισται, ἀνευφήμησαν τῇ κδ΄. ἤτοι τῇ 24 Μαΐου οἰκουμενικὸν πατριάρχην τὸν κύριον Σαμουήλ. Ὁ δὲ ἐπὶ τοῦ ὕψους τῆς τοιαύτης περιωπῆς προελθών, συνειδὼς ὅσων καὶ οἵων ὀφείλει διαπράξασθαι ἐπιτετυχηκώς, οὐδὲν μελήσας ἔδειξεν ἐκ προοιμίων ὡς εὐδαιμονοῦσι λαοί, ὅτε οἱ φιλόσοφοι ἄρχουσιν ἢ φιλοσοφοῦσιν οἱ ἄρχοντες· διὸ καὶ κοινὴν ἑορτὴν συνεστήσατο τὴν εἰς τὸν θρόνον αὐτοῦ προαγωγήν, πάντων ἐπ' αὐτῇ ἡδομένων, καὶ τοῦ μὲν τὴν σοφίαν, τοῦ δὲ τὴν φρόνησιν, ἄλλου δὲ τὴν καλοκἀγαθίαν καὶ τὸν ἔνθεον ζῆλον, καὶ πάντων τὴν ἐν πᾶσιν ἰδιάζουσαν κατορθωτικὴν ἐπιμέλειαν τεθηπότος καὶ θαυμάζοντος.

Τῆς μὲν οὖν ἀκροτάτης ταύτης περιωπῆς προηγουμένως ἐπισκοπούσης τὰ θεῖα δόγματα καὶ μυστήρια, ἐν οἷς ὁ κατὰ θεὸν κτίζεται ἔσωθεν ἄνθρωπος, ἑπομένως δὲ καὶ τὰ καλὰ ἤθη, δι' ὧν ὁ τοιοῦτος διαμορφούμενος κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ ποιήσαντος ὡραΐζεται, δευτέρως δὲ πρὸς τὰς ἔξωθεν κατὰ καιρὸν ὠφελείας καὶ χρείας ἐπιβλεπούσης, σύμπαν αὐτοῦ τὸ ἔργον καλῶς ἐπιστάμενος καὶ διακρίνων ἕκαστα ὁ παναγιώτατος κύ-

ριος Σαμουήλ, τῆς μὲν θεοπαραδότου διδασκαλίας καὶ ἀκριβείας τῶν ὀρθῶν δογμάτων καὶ μυστηρίων τῆς ἀμωμήτου τοῦ Χριστοῦ ἐκκλησίας πρώτην ἐποιεῖτο τὴν προσοχήν, τὴν ἐπιμέλειαν, τὴν συντήρησιν, κατὰ τὴν τῶν θείων διδασκάλων καὶ ἀποστόλων ἀπαράτρεπτον καὶ ἀνόθευτον διαδοχήν, ἑπομένως καὶ τῆς εὐκοσμίας τῶν ἠθῶν μάλιστα φροντίζων. Ἐπεὶ δὲ ἑκάτερον συνίσταται ἐκ τῆς ἑρμηνείας τῶν θείων Γραφῶν, ὡμίλει μὲν καὶ αὐτὸς ἐπ' ἐκκλησίας, καὶ ἄλλους διδάσκειν συνέταττε, καὶ σχολεῖα εὐμαθείας συνίστη, καὶ πανταχῇ ἐπιβλέπων, τοῦ παντὸς ἐποιεῖτο τὸν ὀρθὸν λόγον, μυωπίζων συνεχῶς τοὺς προσιόντας διὰ τῆς συμφύτου τῷ γένει φιλοτιμίας, ὅτι ἡμεῖς ἐσμὲν τῶν πάλαι σοφῶν οἱ ἀπόγονοι, εἴπερ ἄρα φιλομαθεῖς καὶ φιλόκαλοι.

Συνορῶν δὲ καὶ τὰς ἔξωθεν χρείας μεγάλας διὰ τὴν τοῦ καιροῦ ἐπήρειαν καὶ κλυδωνιζομένην ἐν αὐτοῖς, οἷον ἐν χειμῶνι βαρυτάτῳ, τὴν ἐκκλησίαν, τῶν σκοπιμωτάτων καὶ πρωτίστων καὶ ἀναγκαίων ἐκείνων οὐδὲ βραχύ τι ἠμεληκώς, πρὸς ταύτας γενναίως ἀνθίστατο, καὶ τῶν δυσχερεστάτων περιεγίγνετο· συνέτεινε γὰρ καὶ συνεκρότει πάντοθεν τὴν ἐπιμέλειαν τῶν ἐκκλησιῶν, καὶ τὰς χρείας τῶν ἁγίων ἀρχιερέων καὶ τῶν ὁμοταγῶν πατριαρχῶν εἰς ἑαυτὸν δεχόμενος, εὐφυῶς διεπέραινε καὶ πάντα ἀόκνως διήνυε, καὶ ἐπιτυχικῶς ἐπεχείρει, οὐδὲν οὐδὲ τῶν μικρῶν παρεῶν ἀτημέλητον· πρῶτος γοῦν ἐξ ἰδίων κατεβάλετο τῆς αὐτοῦ πατριαρχείας τὰ ἔξοδα, καὶ τὸ ἐπικείμενον χρέος τῷ κοινῷ τῆς μεγάλης ἐκκλησίας ἀπεκούφισε, καὶ τὴν εἰς τὰ περιττὰ τῶν ἐκκλησιαστικῶν δαπάνην συνέστειλε· διεκόσμησέ τε καὶ συνέταξεν εὐμελῶς καὶ τὴν περὶ τούτων ληψοδοσίαν, ἵνα καὶ τὴν αἰσχροκέρδειαν κολάσῃ καὶ ἱεροσυλίας πάμπαν διατηρήσῃ ἀμιάντους τοὺς ἐν αὐτοῖς διακονοῦντας, καὶ τὰ τῶν ὀρφανῶν καὶ χηρῶν διασώσῃ ἀκίνδυνα, οἰκονομούμενα τῷ κοινῷ, εἴτουν ὀφειλόμενα· καὶ τοσοῦτον τῆς ἱεροπρεποῦς

ἐπεμελεῖτο εὐταξίας καὶ κοσμιότητος, ὥστε μέχρι καὶ προόδων καὶ περιβολῆς καὶ σχήματος τῶν ἐκκλησιαστικῶν ἐφρόντιζε· τῇ δὲ ἀκριβεῖ διαδικασίᾳ ἀπαραλόγιστον τὸ ἐν τῇ ἀρχῇ ἐκκλησιαστικὸν ἀποδείξας δικαστήριον καὶ καταστήσας δραστικωτάτην καὶ ἄφυκτον αὐτοῦ τὴν ἀπόφασιν ἐν τοῖς βιωτικοῖς καὶ τὸ δίκαιον πάντοθεν ἐνεργόν, οὐ βίᾳ, οὐ χάριτι, οὐ δυσωπίᾳ οἱουδηποτοῦν προσώπου, οὐ χρήμασι καὶ εἰκαίοις παραλογισμοῖς ἀθετούμενον, οὐδένα τῶν διαφερομένων πρὸς ἀλλήλους χριστιανῶν ἀφῆκεν εἰς τὰ ἔξω ἀφορᾶν δικαστήρια· ἀλλὰ καὶ διαφορὰν εἴ ποτέ τις ἔσχε μετ᾽ ἀπίστου, αἱροῖτο ἐκεῖνος τὴν ἐπὶ τοῦ τοιούτου κριτηρίου διαδικασίαν, καὶ τὴν ἀπόφασιν ἔστεργε· πολλάκις δὲ καὶ δι᾽ ὁρισμοῦ βασιλικοῦ προσετάγησαν οἱ διαφερόμενοι περὶ μεγάλων τῇ τούτου εὐθύνῃ.

Ἐν τῷ πρώτῳ ἔτει τῆς αὐτοῦ πατριαρχείας, ὁ πρῴην παναγιώτατος κύριος Κύριλλος ὁ Ε΄. ἐνοχλούμενος ὑπὸ δανειστῶν ἀνῆλθεν ἄνευ ἀδείας εἰς Κωνσταντινούπολιν, καὶ λάθρα εἰσελθὼν εἴς τινα τῶν περιβλέπτων οἴκων (ἦν δὲ οὗτος τοῦ ἐκλαμπροτάτου Μιχαλήκα υἱοῦ τοῦ ἀοιδίμου αὐθέντου Μιχαὴλ Ρακοβίτζα) ἐξῃτεῖτο ἔκ τε τῶν συγγενῶν αὐτοῦ καὶ τοῦ κοινοῦ τὴν τοῦ χρέους αὐτοῦ ἀπαλλαγήν, ὥστε τελείαν καὶ ἀπράγμονα ἔχειν ἐν τῷ ἁγίῳ Ὄρει τὴν ἡσυχίαν. Ὁ οὖν παναγιώτατος κύριος Σαμουὴλ μαθὼν τὴν αὐτοῦ ἄνοδον καὶ ἐπιλογισάμενος τοῦ λαοῦ τὰς περὶ αὐτοῦ προλήψεις, ὑφορώμενος μή τις ταραχὴ ἐπισυμβῇ τῇ ἐκκλησίᾳ, περιελόμενος τὰς προλήψεις καθαιρέσει αὐτὸν ὑπέβαλε, καὶ τῆς πόλεως ἐξελθεῖν βασίλειον ὁρισμὸν αὐτῷ ἐπέσεισεν· ὁ δὲ εἰς τὸ ἅγιον Ὄρος ἐπανῆλθεν, οἰκονομήσας τὰ δάνεια, μικρὰ τῆς καθαιρέσεως φροντίσας· ἦν γὰρ αὐτὸς ἑαυτὸν ἀπογυμνώσας πάσης ἀξίας, τὸ μέγα ἐνδυθεὶς τῆς ταπεινώσεως μοναχικὸν σχῆμα, καὶ τὴν ἥττονα ἑκὼν στάσιν λαβών, ἵνα κατ᾽ ἀξίαν ἐν οὐρανῷ τύχῃ τῆς κρείττονος· ἐπιστρέψας γοῦν εἰς τὸ ἅγιον Ὄρος, πάντα παρωσάμε-

νος καὶ ἀσκητικῶς διανύσας τὸν βίον ἐν οὐρανοβάμονι ἡσυχίᾳ καὶ ὁσιότητι μετὰ δέκατον ἔτος ἐτελειώθη. Ἐπανῆλθε δὲ ἐκ τοῦ ἁγίου Ὄρους καὶ ὁ πρώην παναγιώτατος κύριος Σεραφεὶμ ὁ Β΄. καὶ κρυβεὶς καὶ διενεργήσας τὴν παραγραφὴν τοῦ τῆς ὑπερορίας ὁρισμοῦ, καὶ παρρησιασάμενος καὶ διαλύσας τὰς κατ' αὐτοῦ διαβολὰς ἔλαβε τὴν ἀθώωσιν καὶ ἐκεῖσε ἐπέστρεψε.

Κατ' αὐτὸ δὲ τὸ ἔτος ἀπείρηται μετὰ σφοδρᾶς ἀπειλῆς τῶν κρατούντων, καὶ διεκηρύχθη ἀποτόμως, μηδένα τῶν ὑποφόρων, μάλιστα χριστιανῶν, ἐξωνεῖσθαι αἰχμάλωτον τῶν ἐξ Ἰβηρίας ἁρπαζομένων· τοῦτο γοῦν τοὺς μὲν διὰ χρείας ἀγοράζοντας μετρίως ἐζημίωσε, τοὺς δὲ διὰ ζῆλον εὐσεβείας ἐλευθεροῦντας σφόδρα ἐλύπησε, καὶ πράγματα αὐτοῖς παρεῖχεν ὥστε μηχανᾶσθαι καινὰς ἐπινοίας εἰς πρᾶξιν τῆς φιλοθέου αὐτῶν γνώμης, ὑπὲρ ἐλευθερίας, μᾶλλον δ' εἰπεῖν εὐσεβείας τῶν ἀδελφῶν χριστιανῶν· ἤσχαλον μέντοι μὴ ῥαδίως μηδ' ὅσα σφίσι βουλομένοις διεκπεραίνοντες· οἱ δὲ λίαν εὐλαβεῖς καὶ φιλόθεοι συνορῶντες τὸ ξένον τῆς ἀποτόμου ἀποφάσεως, εἰς ἔσχατον μίσους καὶ ἀπηνείας κατὰ τῶν εὐσεβῶν ἐληλακὸς, λογισάμενοι ὀρθῶς ἐποχὴν ἐλευθερίας τοῦ ὑπ' ἀσεβῶν κατὰ τῶν Ἰβήρων διωγμοῦ, ταύτην τὴν πρᾶξιν διαγνόντες προεῖπον.

Ὁ δὲ ληστρικῶς καὶ παρανόμως πρόεδρος Φιλαδελφείας Ἑνετίησι γεγονὼς, ὡς εἶδε τοὺς ἐκεῖ ὀρθοδόξους, ὡς ἀπὸ λοιμοῦ ἀποπηδῶντας καὶ ὡς ἀνιέρου ὀλιγωροῦντας, διὰ τὴν προγενομένην καὶ διακηρυχθεῖσαν αὐτοῦ καθαίρεσιν, δεινοπαθῶν πάντα ἐποίει, ὥστε λαβεῖν τὴν παρὰ τῆς μεγάλης ἐκκλησίας ἀθώωσιν· συνέπραττον δὲ καὶ οἱ οἰκείως αὐτῷ προσκείμενοι, μάλιστα ἐκ κοινῆς τῆς ἐπιταγῆς ὁ ἐν τῇ Κωνσταντινουπόλει τῆς ἀριστοκρατίας πρέσβυς· διὸ πέμψας αὐτόσε καὶ τὸν πρωτοσύγκελλον αὐτοῦ Ἰωαννίκιον ἐσπούδαζε καὶ διὰ λόγων καὶ διὰ χρημάτων, ὥστε τυχεῖν τοῦ σπουδαζομένου, οἰόμενος προχείρους καὶ τοὺς ἄλλους παρακιβδηλεύειν τὴν πίστιν, καὶ διὰ

μικρᾶς τοῦ ματαίου βίου ὠφελείας ἀθετεῖν τὴν ἀλήθειαν. Ἐλθὼν οὖν ὁ ῥηθεὶς Ἰωαννίκιος εἰς Κωνσταντινούπολιν, καὶ πάντα κατὰ τὸν Πρωτέα γιγνόμενος διηνόχλει τὰς ἀκοὰς τῶν εὐσεβῶν καὶ ἁγίων ἀρχιερέων, καὶ πείθειν μὲν οὐκ εἶχε, ταράττειν δὲ ἤρξατο καὶ τὴν παρὰ τῶν δυναστῶν διὰ τοῦ πρέσβεως καὶ χρημάτων ἐπισείων βίαν. Καταμαθὼν τοίνυν ὁ παναγιώτατος κύριος Σαμουὴλ πάντα ὅσα ἐποίει ὁ ῥηθεὶς Ἰωαννίκιος, πρὸς μὲν τὸν μονάρχην τῶν Ὀθωμανῶν Μουσταφᾶν, ἵνα ἀποστήσῃ τὴν βίαν, ἢ ἄλλως ἐκφύγῃ τὴν ὑφορωμένην διαβολήν· ἐπηπείλησαν γάρ τινες τῶν ἀρχιερέων, μάλιστα ὁ τότε ἀοίδιμος Κυζίκου Γεράσιμος Χρυσοσκουλαῖος ἀμέσως πρὸς αὐτὸν εἶπεν, ὡς εἰ διὰ φόβον, ἢ δι' ἄλλην τινὰ δυσωπίαν ἐνδοίη, καὶ τὸν κατεγνωσμένον δικαίως Κακογρηγόριον Φατζέαν παραλόγως ἐπὶ κατεγνωσμένοις ἀθωώσειεν, ἐν τῷ ἐξενεγκεῖν καὶ ὑπογράψαι τὴν τούτου ἀθώωσιν, εὐθὺς αὐτὸς ἐπιδώσει λίβελλον τῷ μονάρχῃ καθοσιώσεως· διὰ ταῦτα γοῦν ἢ διὰ τὴν ἄλλοθεν ἐνδεχομένην βίαν ἔδωκεν ἔγγραφον διασαφῶν, ὅτι οὐ συμφέρει οὐδὲ τῷ κράτει αὐτοῦ ποιεῖν τὰ τοῖς Ἑνετοῖς ἀρέσκοντα· τὸν δὲ πρωτοσύγκελλον τοῦ Φατζέα Ἰωαννίκιον καθαιρέσει ὑπέβαλε, καὶ τὴν τοῦ παρανόμως ἐπὶ κατεγνωσμένοις προηγμένου προέδρου Φιλαδελφείας ἀγρηγόρου Γρηγορίου Φατζέα δικαίως ἐπενεχθεῖσαν δίκην καὶ παντελῆ καθαίρεσιν ἐπεβεβαιώσατο.

Οἱ μὲν οὖν χριστιανοὶ ὑπὸ τῆς τυραννίας τῶν ἀσεβῶν μυριαχῶς θλιβόμενοι καὶ ποικίλως ἐπηρεαζόμενοι ὑπέμενον δοξάζοντες τὸν θεόν· οὐ μόνον δὲ ἐν ἑκάστῳ ἔθνει, ἀλλὰ καὶ ἐπαρχίᾳ καὶ πόλει καὶ χώρᾳ καὶ προσώπῳ ἑνὶ πολύμορφα καὶ παντοῖα τὰ τῆς ἀσεβείας ἐπινοήματα καὶ ἐπιχειρήματα γιγνόμενα ἐβασάνιζον πολυτρόπως τὰς θεοφιλεῖς ψυχάς, ὑπὲρ ὧν καὶ ἐνδημοῦντες εἰς Κωνσταντινούπολιν πρὸς καιρὸν οἵ τε μακαριώτατοι πατριάρχαι καὶ ἀρχιερεῖς οὐδὲ μικρὰν παῦλαν τῆς μερίμνης καὶ τοῦ πόνου εἶχον· εἰς τοῦτο γὰρ τὰ πολλὰ θαμίζουσιν

ἵνα δύναμίν τινα ἀντιστήσωσι τοῖς κατὰ μέρος τυράννοις καὶ χαλινὸν ἐπιθῶσι τῇ τούτων μανίᾳ. Διαπραξάμενος τοίνυν ἐν τῇ Κωνσταντινουπόλει τὰ δυνατὰ καὶ ὁ μακαριώτατος Ἀντιοχείας κύριος Σίλβεστρος πρότερον, ἐπανῆκεν εἰς τὸν ἴδιον κλῆρον ἐπισκεψόμενος αὐτοπροσώπως ὡς ἀπ' ἀρχῆς τὰ ἴδια· καὶ δὴ ἐπανιὼν συντονωτέρως ἐκαλλιέργει τὴν ἄμπελον τοῦ Χριστοῦ, καὶ πάντα ἐποίει ὑπὲρ τῆς σωτηρίας τοῦ ποιμνίου. Ὁρῶν δὲ ὑλομανοῦσαν ὅλως ἀκάνθας τὴν ποτὲ ἐπ' εὐσεβείᾳ λαμπρὰν Χαλυβῶνα, καὶ τοσούτους λοχῶντας τοὺς μισιοναρίους τῆς δύσεως, καὶ πολλὴν αὐτῶν τὴν ἰοβόλον κακίαν, ἣν ἐπ' αὐτὸν ἕτοιμοι ἦσαν ἐκχέαι, καὶ κατὰ τῶν μητροπολιτῶν τῆς πόλεως πολλάκις ἐξέμεσαν, συμφέρον τοῖς ὑπολοίποις ὀρθοδόξοις λογισάμενος, ταύτην ἀνατίθησιν ὑπὸ τὴν προστασίαν καὶ σκέπην τοῦ οἰκουμενικοῦ θρόνου, ἵνα ἐμφράξῃ κἂν τὰς εἰσόδους τῶν δυτικῶν πρὸς τοὺς ἡγεμόνας, καὶ τὰς ἐξωνημένας διὰ πολλῶν χρημάτων παρ' αὐτῶν κατὰ τῶν ὀρθοδόξων καὶ γνησίων μητροπολιτῶν ἐπηρείας· γράφει οὖν τῷ παναγιωτάτῳ οἰκουμενικῷ πατριάρχῃ κυρίῳ Σαμουὴλ καὶ τῇ ἐνδημούσῃ ἐν Κωνσταντινουπόλει ἁγίᾳ Συνόδῳ, καὶ ταύτην τὴν μητρόπολιν ἀναθεὶς ἐξαιτεῖται τὴν αὐτῆς προστασίαν· ὁ δὲ διαγνώσει συνοδικῇ ἀποδεξάμενος τὴν αἴτησιν τοῦ μακαριωτάτου πατριάρχου Ἀντιοχείας κυρίου Σιλβέστρου, ἐκλέγει διὰ κανονικῶν ψήφων καὶ χειροτονεῖ μητροπολίτην Χαλεπίου τὸν μέγαν πρωτοσύγκελλον κύριον Φιλήμονα· γενόμενος οὖν κανονικῶς ἀρχιερεὺς Χαλεπίου ὁ κύριος Φιλήμων, καὶ διὰ πολλῶν ὀχυρωθείς, καὶ ὁρισμὸν βασιλικὸν παραλαβών, ἵνα ἀποκαταστήσῃ τὸν ἐκεῖ ναὸν τοῖς ὀρθοδόξοις, πάντα ἔχων ἕτοιμον τὸν παναγιώτατον, ἵνα ἀνασώσῃ τὴν οὕτως δεινῶς καταπεπονημένην ταύτην μητρόπολιν, ἀπῆλθεν εἰς Συρίαν.

Οὕτως οὖν τελεσιουργὸς καὶ ἐν τοῖς μάλιστα λυσιτελεστάτη ἐδόκει καὶ τοῖς πόρρω ἡ τοῦ παναγιωτάτου κυρίου Σα-

μουὴλ προστασία καὶ ἐπίσκεψις· διὸ καὶ οἱ πανιερώτατοι ἀρχιερεῖς τοῦ κλίματος Ἰπεκίου συνεννοήσαντες τὰς ἀλλεπαλλήλους αὐτῶν ζημίας, καὶ τὰ ὑπέρογκα χρέη, καὶ τὴν ἄλλην αὐτῶν ἐν ταῖς καιρικαῖς ἀνάγκαις καταδυναστείαν, ἐξ ὧν διεδονεῖτο καὶ ἐταράττετο συνεχῶς, καὶ τὸν ἔσχατον ἠπείλει κίνδυνον καὶ παντελῆ ἀφανισμὸν ἡ ἐκεῖ ἐκκλησία, τῶν ἡγουμένων ἀκαταστατούντων, τῶν δανείων πληθυνομένων, τῶν ἀπαιτήσεων ἐπιπολλαπλασιαζομένων, τῶν βαρβάρων ἐκτεθηριωμένων καὶ τὰ σώματα σὺν τῇ περὶ ἕκαστον περιουσίᾳ λαφύσαι ἐφιεμένων, τῶν εὐσεβῶν πρὸς τὰ τοιαῦτα τῶν κακῶν καταπεπληγμένων καὶ τοῖς ἐκκλησιαστικοῖς ἐράνοις μηκέτι συνεισφέρειν ἐξικνουμένων, ταῦτα πάντα φημὶ συνεννοήσαντες μίαν ἐξεῦρον ὁδὸν τῆς τῶν τοσούτων κακῶν ἀπαλλαγῆς, καὶ τῆς τοῦ ποιμνίου καὶ αὐτῶν σωτηρίας, τὴν προστασίαν τοῦ οἰκουμενικοῦ θρόνου, καὶ τὴν ἐκ τούτου ἄμεσον πρόνοιαν καὶ κηδεμονίαν· καὶ δὴ προσπεφευγότες τῇ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ κοινὴν ἔχοντες ἀναφορὰν καὶ ἱκετείαν, ταύτῃ ὡμολόγουν τὴν ὑποταγὴν, καὶ ὁμοθυμαδὸν ἅπαντες ἐξητοῦντο τὴν προστασίαν, τὴν διαταγὴν, τὴν οἰκονομίαν καὶ συμπεριφορὰν καὶ κοινωνίαν ἐν ταῖς χρείαις μετ' αὐτῆς. Ὁ οὖν παναγιώτατος κύριος Σαμουὴλ πληρεστέραν συγκροτήσας τὴν σύνοδον καὶ συνδιασκεψάμενος, πρὸς μὲν τὴν ἀρχαιότητα ἀπιδὼν ὤκνει καταργῆσαι τὴν αὐτονομίαν τοῦ ἀρχιεπισκοπικοῦ τούτου θρόνου, πρὸς δὲ τὴν παροῦσαν ἀνάγκην ἀποβλέπων, ἀναγκαιοτάτην ἡγεῖτο τὴν τούτου ὑποβολὴν καὶ τὴν εἰς αὐτὸν τοῦ οἰκουμενικοῦ θρόνου προστασίαν ἀπαραίτητον· ἐπεὶ δὲ ἐκλιπαροῦντες προέκειντο οἱ ἐκεῖθεν καταφυγόντες ἀρχιερεῖς, καὶ τῇ ἁγίᾳ καὶ ἱερᾷ συνόδῳ ἐδόκει μετακινητέα τὰ πρότερον τοῦ ἀρχιεπισκοπικοῦ τούτου θρόνου ἔθη· ὥσπερ γὰρ τόδε διὰ τὸ συμφέρον τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ἡ αὐτονομία κεχάρισται, οὕτω καὶ νῦν δι' αὐτὸ τοῦτο ἀφαιρετέα ἂν εἴη, καὶ ἀεὶ ἐν τοῖς τοιούτοις τὸ συμφερώτερον τῇ

ἐκκλησιαστικῇ εὐταξίᾳ καὶ εὐνομίᾳ οἰκονομεῖν δίκαιον· διὰ ταῦτα κοινῇ γνώμῃ καὶ ψήφῳ συνοδικῇ διέγνω καὶ ἀπεφάσισεν ὁ παναγιώτατος κύριος Σαμουὴλ μεταστῆσαι τὴν αὐτονομίαν τοῦ ἀρχιεπισκοπικοῦ θρόνου τοῦ Ἰπεκίου, καὶ μεταλαβεῖν τὸ κῦρος καὶ καθελεῖν τὸ ἀξίωμα, δι' ἥνπερ ἐνήργει τοῖς ἐν ἐκείνῳ τῷ κλίματι μητροπολίταις τε καὶ ἐπισκόποις ἰδίαν ἐξουσίαν, καὶ τούτους ἅπαντας ἀναλαβεῖν ὑπὸ τὴν προστασίαν τοῦ οἰκουμενικοῦ θρόνου, καὶ τοῖς ὑπ' αὐτὸν θεοπροβλήτοις καὶ ὑπερτίμοις μητροπολίταις καὶ ἀρχιεπισκόποις συντάξαι καὶ συνενῶσαι, εἰς μίαν καὶ τὴν αὐτὴν ἀρχὴν ἀναγομένους καὶ ὑπὸ τὴν αὐτὴν κηδεμονίαν, πρόνοιαν καὶ ἐπίσκεψιν ἐπαναπαυομένους, καὶ τῆς αὐτῆς συμμετέχοντας ἐν ταῖς χρείαις κοινωνίας, οἰκονομίας καὶ συμπεριφορᾶς· καὶ δὴ διασαφήσας πρὸς τὸν μονάρχην τὴν αὐτοῦ γνώμην περὶ τούτου, καὶ τὰς αἰτίας δηλώσας ἔλαβεν ἐκεῖθεν τὴν συναίνεσιν, καὶ οὕτως ἐν ἔτει ἑξηκοστῷ ἕκτῳ σεπτεμβρίου ἑνδεκάτῃ διὰ κοινῆς γνώμης καὶ συνοδικῆς πατριαρχικῆς ἀποφάσεως καὶ βασιλικοῦ ὁρισμοῦ ἡνώθη τὸ κλίμα Ἰπεκίου τῷ οἰκουμενικῷ θρόνῳ.

Μετὰ μικρὸν δὲ τὰ αὐτὰ ζηλώσαντες καὶ διαπραξάμενοι οἱ ἀρχιερεῖς τοῦ κλίματος τῶν Ἀχριδῶν ἔτυχον τῶν αὐτῶν· ἡνώθη γοῦν ἐπὶ τοῖς ἴσοις καὶ τὸ κλίμα τῶν Ἀχριδῶν μετὰ τοῦ οἰκουμενικοῦ θρόνου ἐν τῷ ἑξῆς ἑξηκοστῷ ἑβδόμῳ ἔτει ἰανουαρίου δεκάτῃ ἕκτῃ.

Κατὰ ταῦτα γοῦν τὰ δύο ἔτη, τό τε ἑξηκοστὸν ἕκτον καὶ ἑξηκοστὸν ἕβδομον, πολλὰς καὶ μεγάλας πανταχόθεν ἀνεδέξατο μερίμνας ὑπὲρ τῆς τοῦ Χριστοῦ ἐκκλησίας ὁ παναγιώτατος κύριος Σαμουήλ. Τοῦ γὰρ μακαριωτάτου πατριάρχου Ἀντιοχείας κυρίου Σιλβέστρου ἐν πολλοῖς τοῖς ὑπὲρ ἀληθείας ἀγῶσι καὶ ζήλῳ τῆς ὀρθῆς πίστεως ἐν τῷ ἰδίῳ θρόνῳ πρὸς κύριον ἀποδημήσαντος, καὶ τῶν εὑρισκομένων ἐκεῖ ἁπάντων ὀρθοδόξων ἀρχιερέων, ἱερέων, κληρικῶν, καὶ τοῦ γενικοῦ ἐπι-

τρόπου παντὸς τοῦ ὀρθοδόξου ἐκεῖ γένους, καὶ ὡς εἰπεῖν παντὸς τοῦ ἱερατικοῦ καὶ λαϊκοῦ συστήματος συμπάντων τῶν ἐκεῖ ὀρθοδόξων χριστιανῶν τὴν ἐκλογὴν καὶ ψῆφον ἀναθεμένων τῷ οἰκουμενικῷ πατριάρχῃ κυρίῳ Σαμουὴλ καὶ τῷ μακαριωτάτῳ πάπᾳ καὶ πατριάρχῃ Ἀλεξανδρείας κυρίῳ Ματθαίῳ καὶ τῷ μακαριωτάτῳ πατριάρχῃ Ἱεροσολύμων κυρίῳ Παρθενίῳ, καὶ τῇ ἐνδημούσῃ ἐν Κωνσταντινουπόλει ἱερᾷ τῶν ἀρχιερέων συνόδῳ, κοινῇ ἐκλογῇ καὶ γνώμῃ τῶν τριῶν τούτων ἁγιωτάτων πατριαρχῶν καὶ τῆς ἱερᾶς συνόδου κανονικαῖς ταῖς ψήφοις προεβιβάσθη εἰς τὸν ἁγιώτατον οἰκουμενικὸν θρόνον Ἀντιοχείας ὁ κύριος Φιλήμων ἀπὸ μητροπολίτης Χαλεπίου ἐν ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ ἑξηκοστῷ ἕκτῳ ἀπριλίου εἰκοστῇ ἐννάτῃ.

Ἔτι ἐν τῷ αὐτῷ ἑξηκοστῇ ἕκτῳ κατὰ μῆνα Δεκέμβριον τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Παρθενίου παραίτησιν οἰκειοθελῆ διὰ τὸ βαθύτατον γῆρας ποιησαμένου εἰς τὸν θεοπρόβλητον μητροπολίτην Ναζαρὲθ κύριον Ἐφραίμ, προτροπῇ τοῦ παναγιωτάτου κυρίου Σαμουήλ, καὶ γνώμῃ τοῦ μακαριωτάτου πατριάρχου κυρίου Παρθενίου, κανονικῶς γενομένων τῶν ψήφων παρὰ τῶν παρευρεθέντων ἀρχιερέων ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ λεγομένου Μετοχίου, προεβιβάσθη εἰς τὸν ἀποστολικὸν πατριαρχικὸν θρόνον Ἱεροσολύμων ὁ κύριος Ἐφραίμ, ἐν ἀμυθήτῳ χαρᾷ καὶ φαιδροτάτῃ πανηγύρει πάντων τῶν ἁγιοταφιτῶν, εἴτουν ἱερομονάχων, ἱεροδιακόνων, καὶ μοναχῶν τοῦ ἁγιωτάτου αὐτοῦ θρόνου, καὶ πλείστῃ εὐφροσύνῃ καὶ εὐλαβεστάτῃ ὑποδοχῇ ἁπάντων τῶν ὀρθοδόξαν χριστιανῶν τῆς μεγάλης ταύτης πόλεως· γενομένης οὖν τῆς νομίμου μεταθέσεως, καὶ τοῦ βασιλικοῦ διπλώματος, εἴτουν μπερατίου, διὰ τοῦ συνήθους δηλωτικοῦ τῆς πράξεως ἐγγράφου τοῦ παναγιωτάτου κυρίου Σαμουὴλ πρὸς τοὺς κρατοῦντας καὶ τῶν τῆς εἰδήσεως γραμμάτων ἀποσταλέντων εἰς Ἱεροσόλυμα, σφόδρα ἐχάρησαν μαθόντες τὸν προβιβασμὸν αὐτοῦ

οἱ ἐκεῖ ἀρχιερεῖς, καὶ πάντες οἱ ὀρθόδοξοι, ὅτι ἠγάπων αὐτὸν, καὶ αὐτὸν ἤθελον, καὶ εἰς αὐτὸν ἔδωκαν γνώμην· ἔχαιρε δὲ λίαν ἐπὶ τῇ ἀγλαΐᾳ τῶν ἀρετῶν τοῦ καλοῦ διαδόχου, καὶ διῆγε τοῦ λοιποῦ ἀπραγμόνως καὶ ὁ μέγας ἐκεῖνος καὶ πολλὴν τὴν φρόνησιν, τὴν οἰκονομίαν, τὴν ἀρετήν, τὴν ὠφέλειαν ἐπιδείξας πατριάρχης κύριος Παρθένιος, κορυφαῖον κατόρθωμα λογιζόμενος τὴν εἰς τὸν θρόνον τούτου διαδοχήν.

Ἐν δὲ τῷ ἑξῆς ἑξηκοστῷ ἑβδόμῳ συνορῶν ἑαυτῷ ὁ μακαριώτατος πάπας καὶ πατριάρχης Ἀλεξανδρείας κύριος Ματθαῖος ἀσθενούσας τὰς δυνάμεις, ἐπιλογιζόμενος δὲ καὶ τὴν ἀνάγκην τοῦ ποιμνίου, ὅτι ἐν μέσῳ λύκων αἱμοβόρων διάγει καὶ παρόντος χρήζει τοῦ ἀγρύπνως προϊσταμένου, ἐξετάσας ἐπιμόνως καὶ εὑρὼν ἄνδρα κατὰ τὴν καρδίαν αὐτοῦ, ζηλωτὴν τῶν ὀρθῶν δογμάτων, ἐπιστήμονα τῶν θείων Γραφῶν, καὶ τῆς ἔξω σοφίας ἔμπειρον, συνετὸν, μεγαλόφρονα, γενναῖον, ἀπαράτρεπτον, καὶ βίον τὸν πάντα ἐν λόγοις ἠσκημένον καὶ τῇ κατ' ἀρετὴν πράξει ἐπίδηλον, ἄμωμον ἐν πᾶσι καὶ ἀδιάβλητον, τὸν φιλοσοφώτατον διδάσκαλον Κυπριανόν, ἱεροδιακόνου ἔχοντα τάξιν, ὅνπερ οἱ Κύπριοι ἐπεχείρησαν καταστῆσαι σφίσιν ἀρχιεπίσκοπον, καὶ ὁρισμὸν βασιλικὸν ἐπ' αὐτὸ ἔλαβον· ὁ δὲ ἵνα μὴ τὴν καλὴν τάξιν λύσῃ, χειροτονίαν καὶ ψήφους ἐκτὸς τῆς νήσου Κύπρου, οὔσης αὐτῷ ἰδίας πατρίδος, οὐκ ἀπεδέξατο, ἀλλὰ πρὸ τοῦ συμφέροντος τὸ καλὸν θέμενος, ἱεροδιάκονος ἀπῆλθεν ἐκεῖσε, φέρων μεθ' ἑαυτοῦ τὸ βασιλικὸν δίπλωμα ἄπρακτον· ὡς δὲ οἱ ἀστατοῦντες καὶ ἀπαρεσκόμενοι ἡσύχασαν, καὶ τὸν πρότερον ἀρχιεπίσκοπον ἀναλαβεῖν ἔστερξαν, ἀφῆκεν αὐτὸν ἐν ἡσυχίᾳ, καὶ ἐπιδιδοὺς αὐτῷ τὸ βασιλικὸν δίπλωμα, ἐπέστρεψεν εὐχαρίστως εἰς Κωνσταντινούπολιν· τοῦτον εὑρὼν κατὰ τὴν ἔνθεον αὐτοῦ γνώμην ἱκανὸν τοῦ θρόνου καὶ δεξιωσάμενος, καὶ πείσας ἀναδέξασθαι τὸ τηλικοῦτον ἔργον, καὶ τὴν γνώμην αὐτοῦ καὶ ἐκλογὴν τῷ παναγιωτάτῳ κυρίῳ Σαμουὴλ καὶ τοῖς

ἐνδημοῦσιν ἁγίοις ἀρχιερεῦσι καὶ εὐγενεστάτοις ἄρχουσι καὶ ἐπιτρόποις τῶν ὀρθοδόξων χριστιανῶν τοῦ ἀποστολικοῦ τούτου θρόνου κοινολογησάμενος, συναινοῦντας παραλαβών, κοινῇ ἐκλογῇ καὶ γνώμῃ καὶ ψήφοις κανονικαῖς ποιεῖται εἰς αὐτὸν τὴν παραίτησιν τοῦ ἁγιωτάτου ἀποστολικοῦ θρόνου τῆς Ἀλεξανδρείας. Ἐν μηνὶ γοῦν μαΐῳ τοῦ ἑξηκοστοῦ ἑβδόμου ἔτους, γενομένης παμπληθοῦς πανηγύρεως ἐν τῷ ναῷ τῶν Ἀσωμάτων ἐν τῷ Μεγάλῳ Ρεύματι, τὴν ἱερὰν ἐκτελῶν πατριαρχικῶς λειτουργίαν ὁ ἁγιώτατος πάπας καὶ πατριάρχης Ματθαῖος χειροτονεῖ ἰδίᾳ χειρὶ ἀρχιερέα καὶ πατριάρχην τὸν κύριον Κυπριανόν, αὐθαιρέτῳ βουλῇ καὶ γνώμῃ παραιτησάμενος εἰς αὐτὸν τὸν ἀποστολικὸν ἁγιώτατον θρόνον Ἀλεξανδρείας· πάντα δὲ καλῶς διαταξάμενος μετὰ τὴν παραίτησιν, ἀπῆλθεν εἰς τὸ ἅγιον Ὄρος καὶ θεοφιλῶς καὶ ὁσίως ἐπιβιώσας ἐν τῇ μονῇ τοῦ Κουτλουμουσίου ἐτελειώθη.

Ἔτι ἐν τῷ αὐτῷ ἔτει τοῦ μακαριωτάτου πατριάρχου Ἀντιοχείας κυρίου Φιλήμονος πρὸς κύριον ἐκδημήσαντος, διὰ κοινῆς συνδρομῆς τῶν ἐκεῖθεν ὀρθοδόξων χριστιανῶν ἀναφορᾶς τε καὶ δεήσεως, καὶ διὰ γράμματος ἐξονομάζοντος γνήσιον διάδοχον τοῦ ἀποστολικοῦ αὐτοῦ θρόνου τὸν μέγαν πρωτοσύγκελλον τῆς μεγάλης ἐκκλησίας κύριον Δανιήλ, γνώμῃ κοινῇ τοῦ τε οἰκουμενικοῦ πατριάρχου κυρίου Σαμουὴλ καὶ τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Ἐφραίμ, καὶ τῆς ἐνδημούσης ἐν Κωνσταντινουπόλει ἱερᾶς συνόδου χειροτονηθεὶς ἀρχιερεὺς καὶ πατριάρχης εἰς τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον Ἀντιοχείας ὁ κύριος Δανιὴλ προήχθη τῇ ἕκτῃ Αὐγούστου τοῦ ἑξηκοστοῦ ἑβδόμου ἔτους.

Ἐν τοῖς δυσὶν αὐτοῖς ἔτεσι καὶ πολλαὶ μητροπόλεις καὶ ἐπαρχίαι ὑπὸ τὸν οἰκουμενικὸν θρόνον, τῶν γνησίων αὐταῖς ἀρχιερέων εἰς θεὸν ἐκδημησάντων, μερίμνας παντοειδεῖς καὶ παντοδαπὰς φροντίδας προσέθεντο τῇ ἀρχικωτάτῃ ποιμαντορίᾳ τοῦ

οἰκουμενικοῦ πατριάρχου· ἀλλ' ὁ πάντα ἄοκνος καὶ ἄγρυπνος ποιμενάρχης κύριος Σαμουὴλ πάντα εὐμαρῶς ἐξετέλει, περὶ πάντων ὀρθῶς βουλευόμενος καὶ ἐπιτυχικῶς ἐπιβάλλων. Τοσοῦτον γὰρ περιῆν αὐτῷ ἀγχινοίας, ὥστε οὐδὲν ἠπόρει τοῦ πείθοντος λόγου· τοσοῦτον δ' αὖ φρονήσεως, ὥστε καὶ τὰ λίαν δυσέλικτα τῶν πολιτικῶν σοφισμάτων ἐπὶ τὴν ἐσχάτην ἔκβασιν ἐξ ὑπογυίου ἀναλύων, καὶ ὡς ἐξ ἀρχῆς τῆς ἀποβάσεως συνιστῶν ἐκ τοῦ προχείρου καὶ συντιθέναι τὰ ἔργα καὶ κατεπιχειρεῖν καὶ ἐκ τῶν λίαν ἀπόπτων, ὥστε θαῦμα εἶναι, οἷς διενοεῖτο, οἷς ἔπραττεν, οἷς ἔπειθε, καὶ ὅλως φάναι οἷς κατώρθου τὰ ἐπιβάλλοντα· διὸ καὶ παρὰ πάντων ἐθαυμάζετο τῆς ἀμφιλαφοῦς συνέσεως, καὶ βαθυτάτης φρονήσεως καὶ πρὸς πάντα εὐστοχίας· διὰ ταῦτα γοῦν καὶ ὁ μονάρχης τῶν Ὀθωμανῶν τιμὴν αὐτῷ καὶ εὔνοιαν παρεῖχε, καὶ τὰ δοκοῦντα ἐπετέλει, ὅτι κατὰ λόγον αἰτεῖν ἐδόκει. Ἦν γὰρ ἐκεῖνος τοῦ ὀρθοῦ λόγου αἰσθητικὸς καὶ περίεργος, καὶ εἰδέναι πάντα εἴπερ τις τῶν ὁμογενῶν αὐτῷ βασιλέων ἐφίλει, ἀλλὰ πρὶν ἢ μάθοι, γηράσας ἀπῆλθε, μέγα τι ὠφεληθεὶς ἐκ τῆς πολυμαθοῦς γνώσεως, τὸ μὴ πάντα παθεῖν τὰ δεινὰ αὐτόν τε καὶ τοὺς ὑπ' αὐτὸν ἐν τοῖς τοσούτοις τοῦ πολέμου, ὃν αὐτὸς ἐξήγειρεν, ἀτυχήμασιν.

Ἐπεὶ δὲ ὁ σοφώτατος διδάσκαλος καὶ πάντα θαυμάσιος Εὐγένιος ὁ Βούλγαρις ἀπὸ Κωνσταντινουπόλεως κατὰ τὸ ἑξηκοστὸν τρίτον ἔτος ἀποδημήσας, διελθὼν διὰ Δακίας καὶ λίαν φιλοφρόνως δεξιωθεὶς παρά τε τοῦ τότε ἡγεμονεύοντος φιλοχρίστου αὐθέντου Οὐγκροβλαχίας κυρίου Κωνσταντίνου Ρακοβήτζα καὶ τοῦ ἐφεξῆς διαδεξαμένου τὴν ἡγεμονίαν Οὐγκροβλαχίας φιλοχρίστου αὐθέντου κυρίου Στεφάνου Ρακοβήτζα, καὶ τοῦ φιλοχρίστου αὐθέντου καὶ ἡγεμόνος Μολδαβίας κυρίου Γρηγορίου Γκίκα, ἔστη εἰς Σαξωνίαν καὶ ἐν Λειψίᾳ διέτριβε, βουλόμενος ἐπιδεῖξαι καὶ τοῖς πόρρω ὅσην τιμὴν καὶ εὔνοιαν πρὸς αὐτὸν καὶ ἀπόντα διαφυλάττει ὁ παναγιώτατος κύριος

Σαμουὴλ καὶ ὅτι κἂν πόρρω οἰκεῖ, ἔγγιστα αὐτῷ διατελεῖ, ἐν τῷ κλήρῳ τοῦ οἰκουμενικοῦ θρόνου συνέταξε, ρεφερεντάριον καὶ παλατῖνον τοῦ ἁγιωτάτου ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου κοινῇ γνώμῃ καὶ συνοδικῇ διαγνώσει προχειρησάμενος, καὶ τὴν πρᾶξιν ἔγγραφον αὐτῷ ἐπέστειλε, πᾶσι τοιοῦτον γνωρίζων καὶ συνιστῶν· ὁ δὲ δεξάμενος μετὰ τῆς ὀφειλομένης ὑποταγῆς τῷ ἁγιωτάτῳ ἀποστολικῷ οἰκουμενικῷ θρόνῳ εὐχαρίστησε τὸν παναγιώτατον καὶ τὴν ἁγίαν καὶ ἱερὰν σύνοδον.

Τοῦ μὲν παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου περὶ τῶν ἐκκλησιῶν τοῦ θεοῦ ἡ φροντὶς οὕτω μεγάλη καὶ ἀδιάλειπτος ἦν· ἡ δὲ τοῦ κρατοῦντος φιλοχρηματία πάντα παρήλλαξε καὶ μετέβαλλε, καὶ σφόδρα κατέτρυχε τὸν εὐσεβῆ λαόν· ἵνα γὰρ οἱ παραδυναστεύοντες τὸ ἀκόρεστον τουτὶ τοῦ δυνάστου πάθος παραμυθήσωνται, καινὰ ἐπὶ καινοῖς ἐτεχνῶντο πλεοξίας ἐφευρήματα. Τὸ δὲ πάντων φθοροποιὸν καὶ ἐξωλέστατον ὑπῆρξεν ἡ δημοσία πρᾶσις χωρίων, πόλεων, ἐπαρχιῶν ὅλων, ἅς γε ὁ ὠνούμενος διὰ πολλῶν χρημάτων ἐφ' ὅρον ζωῆς ἀδεῶς κατελῄζετο, τοῦ δικάσοντος τὴν ἁρπαγὴν ἀπεμπωλοῦντος καὶ τὴν δίκην μακρὰν τῶν ἀρχομένων ἀπελάσαντος· οἱ γὰρ ἐξωνούμενοι τὰ τοιαῦτα λεγόμενα κτήματα, δεδιότες τοῦ τέλους τὸ ἄδηλον, καὶ ἤτοι ὀφείλοντες τὰ καταβληθέντα χρήματα καὶ παρὰ τῶν δανειστῶν ἀπαιτούμενοι, ἢ μὴ πένητας τοὺς οἰκείους ἀπολιπεῖν βουλόμενοι, κατεπείγοντο πρὸς τὰς ἀναλήψεις καὶ ἐπιπολλαπλασιάζοντες τὰς ἐτησίους συντελείας καὶ μυρίους ἐπινοοῦντες καταδυναστείας τρόπους, εἰς τέλος κατέθλιβον τοὺς ὑποφόρους καὶ τυραννίαν γενικὴν κατειργάσαντο· ἐντεῦθεν γὰρ ἤρξαντο ἐν ἑκάστῃ χώρᾳ καὶ τόπῳ παραφύεσθαι οἱ δυνάσται καὶ βασιλίσκοι, καὶ πανταχῇ τοῦ ὀθωμανικοῦ κράτους ἐκ τῆς πλεονεξίας τοῦ κρατοῦντος πάντων ἐξωνημένων τὰς ἀρχὰς καὶ ἀγοραζόντων τὰς δίκας, ἡ ἁρπαγὴ καὶ βία ἐ-

βασίλευε, καὶ ἐκράτησε διόλου ἡ ἀδικία, μηκέτι μηδὲ τῶν κριτῶν ὑποκρινομένων τὴν δικαιοσύνην, ἀλλὰ ἀναφανδὸν ἀδικούντων· διὰ ταῦτα γοῦν ἐπληθύνοντο αἱ θλίψεις, αἱ συκοφαντίαι, αἱ ἐπιβουλαί, αἱ καταδιώξεις, τὰ βάρη, αἱ κακουχίαι, τὰ χρέη καὶ δάνεια τῶν εὐσεβῶν. Ἐπληθύνθησαν δὲ καὶ τὰ χρέη τῶν ἐκκλησιῶν, τῶν μοναστηρίων, τῶν ἐπαρχιῶν· ὥστε εἰ καὶ τὸ κοινὸν τῆς μεγάλης ἐκκλησίας διὰ τὴν προμήθειαν τοῦ παναγιωτάτου κυρίου Σαμουὴλ ἀνακουφισμὸν καὶ ἐλάττωσιν τοῦ χρέους ἔλαβε, πλείονες μέντοι τῶν ἐπαρχιῶν κατεβαρύνθησαν χρέεσι. Τὰ αὐτὰ δὲ ἔπαθον τό τε κοινὸν καὶ κατὰ μέρος ἕκαστον τῶν μοναστηρίων τοῦ ἁγίου Ὄρους· τὸ δὲ χεῖρον ὅτι παρὰ τὰς ἀπ' ἀρχῆς συνθήκας τῶν πρώτων ὀθωμανῶν βασιλέων καὶ τὰς τόσας ἐγγράφους βεβαιώσεις τῶν ἐφεξῆς, ὑποτελὴς καὶ ὑπὸ δασμὸν ἐγένετο πᾶσα ἡ χώρα καὶ οἴκησις αὐτῶν, καὶ πάντες οἱ ἐν αὐτῷ ὑπόφοροι, καὶ οἱ λίαν ἀκτήμονες καὶ μηδὲν παρὰ τὰ ἴδια σώματα ἔχοντες.

Ἐπενέμετο γοῦν τὰ τῆς ἀρχικῆς πλεονεξίας πᾶσαν χώραν καὶ πόλιν τοῦ ὀθωμανικοῦ κράτους καὶ τὰ τῆς ἀδικίας ἐν τούτοις ἐπληθύνετο, μάλιστα κατὰ τῶν εὐσεβῶν, καὶ προῆγε τὰ δυστυχήματα καὶ τὰ κακὰ ἐπηύξει, ἐφ' οἷς τέως ἐξεγειρόμενος ὁ Ἄρης καὶ ἐπερχόμενος ὁ πόλεμος, οἷόν τι νέφος μέλαν καὶ ζοφερὸν πόρρωθεν ἐπεφάνη βαρύτατον τὸν χειμῶνα καὶ τὸν κλύδωνα φοβερόν, καὶ δυσαπάλλακτον τὸν κίνδυνον, καὶ ὁλικὸν τὸ ναυάγιον ἀπειλοῦν. Οἱ μὲν οὖν πολλοὶ σὺν τῷ χρόνῳ ἐνόησαν τὰς δυσκολίας τοῦ τοιούτου καιροῦ καὶ τῇ πείρᾳ κατέμαθον τὰ δεινά· ὁ δὲ πάντα νοήμων καὶ συνετὸς κύριος Σαμουὴλ ἐν ἀρχῇ κατιδὼν τὸ πέρας τῶν τοιούτων καὶ τοσούτων πραγμάτων καὶ συνεννοήσας τὰ μεταξὺ παντοδαπὰ κακά, καὶ εἴπερ ποτε βαρὺν τὸν καιρὸν ἐπιγνοὺς καὶ τὸν κίνδυνον πάντοθεν αὐτῷ ἐπιτρέχοντα, διά τε τὴν εὔνοιαν τοῦ κρατοῦντος καὶ τὴν μεγάλην τῆς πολυπειρίας καὶ συνέσεως ὑπόληψιν, καὶ

τὴν ἄλλην ἐν τοῖς πρακτέοις δόξαν, διέγνω καὶ ἀπεφάσισεν ὑποχωρῆσαι τοῦ θρόνου τῷ βουλομένῳ ἀξίῳ μέντοι τοιαύτης ποιμαντορίας· καὶ δὴ πόρρωθεν ἀρξάμενος τὰς μὲν ἀναφυομένας δυσαρεστείας ἥκιστα ἐξιᾶτο, ἀλλὰ καὶ παρώξυνε τῇ ὑποβολῇ τινῶν οἰκείων, οἳ καὶ τοὺς ἀντιπολιτευομένους προσεκτῶντο δυσμένειαν κατ' αὐτοῦ εὐφυῶς πλαττόμενοι καὶ λοιδορίας ἐκχέοντες, καὶ πρὸς τὸν λαὸν διαβάλλοντες, ὡς ἐπαρθεὶς πάντων καταλιγώρει καὶ μηδενὸς ἐπεστρέφετο, καὶ μήτε συγγενῶν μήτε φίλων καὶ οἰκείων βουλὴν λαμβάνοι, ἀλλ' αὐθέκαστός τις καὶ ἰσχυρογνώμων καὶ προπετὴς γενόμενος, αὐθεντικῶς ἄγει καὶ φέρει τὰ τῆς μεγάλης ἐκκλησίας, μήτε ὅρους φυλάττων καὶ τὴν ἐνδημοῦσαν σύνοδον ἐξυβρίζων, καὶ ἀνατρέπων τὴν καλὴν τάξιν, ὑπερήφανος, καταφρονητὴς, φιλάργυρος καὶ πλεονέκτης ἀποβὰς, ἑνὸς μόνου φροντίζει, καὶ τούτου ἐρῴη, ἵνα διὰ βίου πατριαρχεύῃ, καὶ τὰς τιμὰς καὶ τὰ κέρδη μόνος ἔχῃ· ταῦτα γοῦν καὶ ἄλλα τοιαῦτα μυρία πλαττόμενοι καὶ εἰς τὰς ἀκοὰς τῶν πολλῶν ἐνσπείροντες διετίθεντο τὸ σφίσι σπουδαζόμενον. Ὁ δὲ δῆθεν ἀγνοῶν καὶ τῇδε κακεῖ κούφως προσκρούων, διηρέθιζε τοὺς ὀκνοῦντας εἰς τὴν ἐξέλασιν· κατέμαθε δὲ καὶ τὸν διαδεξόμενον καὶ γνώμην ἔδωκε καὶ ἐνέκρινε, καὶ περὶ τοῦτον τάχα μὴ εἰδὼς κατεσπούδαζε· ἤρξατο δὲ τὴν τοιαύτην ἔντεχνον αὐτοῦ παραίτησιν, ἦρος φανέντος τοῦ ἑξηκοστοῦ ὀγδόου ἔτους, ἐξ ὅτου πεῖσαι σπουδάζοντας περὶ τὸν τότε Λαρίσσης κύριον Μελέτιον τὸν οἰκουμενικὸν ἀναδέξασθαι θρόνον ἑώρακε, καὶ πολλῶν γενομένων μεταβολῶν καὶ τοῦ πολέμου διακηρυχθέντος, μόλις ἀρχομένου τοῦ νοεμβρίου ἴσχυσε διαπράξασθαι συνεργὸν παραλαβὼν εἰς τοῦτον τὸν τότε μέγαν διερμηνευτὴν Νικόλαον Σοῦτζον, ἤτοι δι' ἔμφρονα λογισμὸν καὶ ἀρχαίαν φιλίαν, ἢ διὰ δυσμένειαν καὶ λύπην, ἣν πρότερον αὐτὸν ἐλύπησεν ἀπελάσας ἐκ τῆς Κωνσταντινουπόλεως εἰς τὴν αὐτοῦ ἐπαρχίαν τὸν τότε Κυζίκου Γεράσιμον προσγενῆ τοῦ ἄρ-

χοντος· ἀλλ' εἰ καὶ δι' αὐτὸ ἐδιώκετο, πρόδηλον ὡς ἑκὼν παρῃτεῖτο· εἶχε γὰρ ἂν ἐν τοσούτῳ τὸ πάθος ἀκέσασθαι.

Οὕτω τοίνυν τοῦ παναγιωτάτου κυρίου Σαμουὴλ ὑπενεργοῦντος καὶ τῶν αὐτῷ ἀντιπολιτευομένων κοινοπραγούντων, κοινῇ πάντων γνώμῃ καὶ ἀρχιερέων καὶ ἀρχόντων καὶ κληρικῶν ἐγένετο ἐκλογὴ καὶ ψῆφοι εἰς τὸν Λαρίσσης Μελέτιον. Τοῦτον οὖν πατριάρχην ἐκλέξαντες, καὶ διενεργήσαντες τὴν συναίνεσιν τῶν κρατούντων καὶ παραστάντες οἱ ἀρχιερεῖς καὶ κληρικοί, ὡς σύνηθες, τῷ ἐπιτρόπῳ μετὰ τοῦ ἐκλεγέντος πατριάρχου, καὶ λαβόντες τὰ καββάδια εἰς βεβαίωσιν τῆς ἐκλογῆς, καὶ ἐπιστρέψαντες εἰς τὸ πατριαρχεῖον, ἐμφανισθείσης τότε ἐγγράφου τῆς παραιτήσεως τοῦ κυρίου Σαμουὴλ, καὶ τῆς μεταθέσεως κανονικῶς γενομένης ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ἀνευφήμησαν τῇ πέμπτῃ Νοεμβρίου τοῦ ἑξηκοστοῦ ὀγδόου ἔτους οἰκουμενικὸν πατριάρχην τὸν κύριον Μελέτιον.

Διετέλεσεν οὖν ἐπὶ τὸν ἁγιώτατον οἰκουμενικὸν θρόνον ὁ κύριος Σαμουὴλ ὁ Α΄. ἐπὶ τῆς πρώτης πατριαρχείας ἔτη πέντε καὶ μῆνας πέντε καὶ ἡμέρας δεκατέσσαρας. Ἦν δὲ ὁ παναγιώτατος οὗτος Σαμουὴλ τὴν πατρίδα Βυζάντιος, φύσεως καὶ τύχης εὐκληρίᾳ πολλὴν συνειλοχὼς ἐκ παιδὸς εὐμάθειαν· γενόμενος δὲ μητροπολίτης Δέρκων, καὶ τὸ περιὸν τῆς φρονήσεως αὐτοῦ καὶ δραστηρίου φύσεως καὶ ἀγχινοίας ἐν πολλοῖς προσμαρτυρήσας, καὶ εὐνοίας τυχὼν παρά τε τῶν τότε βαρυτίμων γερόντων καὶ τῶν εὐγενεστάτων ἐν δυνάμει ἀρχόντων, τῶν ἰδιαιτέρων λόγων καὶ βουλευμάτων αὐτοῖς κοινωνὸς ἦν, καὶ τὸν θρόνον ἑξῆς προβιβάσας, τῶν λίαν ἐντίμων ἁγίων ἀρχιερέων ἐγνωρίζετο· ὁ δὲ τῆς ἐκ τούτων ὠφελείας ἐξ ἀρχῆς παραπολαύων καὶ πολιτικῆς φρονήσεως καὶ πράξεως συλλέγων τὸν καρπόν, οὐδὲ λογικῆς εὐμαθείας καὶ θεωρητικῆς φιλοσοφίας καὶ ἱερᾶς θεολογίας ἀμελῶν, ἀλλὰ καὶ διδασκάλοις ἀδιαλείπτως ὁμιλῶν καὶ ἐν πάσῃ ἐπιστήμῃ ἀτρύτως φιλοπονῶν, μεῖζον ἐφι-

λοτιμεῖτο ἐν αὐτοῖς προέχειν ἢ ἐν ἐκείναις γνωρίζεσθαι, διὸ καὶ τὰ πολλὰ ὑπεκχωρῶν τῶν ἐκκλησιαστικῶν πραγμάτων τῇ θεωρίᾳ καὶ μελέτῃ ἐνησχολεῖτο καὶ τοῖς βιβλίοις προσέκειτο τὴν ἐκ τῆς ἀπραγμοσύνης σπουδὴν τῆς περὶ τὰ βιωτικὰ ἀσχολίας προτέραν ποιούμενος· ὅσον δὲ ὑπεξεχώρει τῆς βιωτικῆς τύρβης τοσοῦτον ἐπεζητεῖτο καὶ τῇ ὑπολήψει ἐνίσχυεν ἐν δέοντι τὰς ἐντεύξεις ποιούμενος. Οὕτως οὖν διὰ χρόνου λόγῳ καὶ βίῳ συγκροτούμενος παρὰ πᾶσιν ἐπίδηλος καὶ ἀγαστὸς ἦν τῆς σοφίας, τῆς φρονήσεως καὶ τῆς ἄλλης ἀρετῆς, καὶ θαμὰ πρὸς τὰς χρείας εἰς αὐτὸν ἀπέβλεπον οἱ ἐνδημοῦντες ἀρχιερεῖς συμβουλῆς καὶ συνδρομῆς χρήζοντες. Ἐπεὶ δὲ ἡ τοῦ Χριστοῦ μεγάλη ἐκκλησία ἐν πολλῇ ἦν τῇ καιρικῇ δυσχερείᾳ, κοινῇ ἐκλογῇ καὶ ψήφῳ τὸν οἰκουμενικὸν διαδεξάμενος θρόνον, ἔδειξε συνεκθέουσαν τοσούτῳ καὶ τηλικούτῳ πλήθει καὶ μεγέθει πραγμάτων τὴν αὐτῷ ἀρετὴν καὶ τῆς τοιαύτης ὑπεροχῆς μάλιστα ἀξίαν. Ἦν γὰρ μεγαλόφρων, μεγαλουργός, καὶ μεγαλεπήβολος, φύσεως καὶ ἕξεως τυγχάνων ἱκανωτάτης, πολύβουλος καὶ βαθυγνώμων, καὶ πρὸς πάντα καὶ λέγειν καὶ πράττειν δεινός· διὸ καὶ ἐν τοσαύταις καιρικαῖς δυσχερείαις πάντα ἐποίει ἑτοίμως, καὶ εὐμαρῶς διήνυεν ὅσα ἐπεζήτει ἡ χρεία τῶν ἐκκλησιαστικῶν, εὔνοιαν καὶ ἀγαθὴν ὑπόληψιν αὐτῷ καὶ παρὰ τῶν κρατούντων διαπραξάμενος, μάλιστα τοῦ μονάρχου· ἐπιτυχικός τε ἦν ὧν ἂν ἐπιβάλλοι, καὶ ὧν ἂν αἱροῖτο κατορθωτικός, γενναῖος ὑπενεγκεῖν, καὶ σφοδρὸς ἀπαντῆσαι ἢ ἄλλως περιαγαγεῖν καὶ ἀντιστῆσαι τὰ ἀντιπίπτοντα, ὀξύς τε ἐπελθεῖν καὶ ἐξακριβῶσαι τὰ καθ' ἕκαστα καὶ μεταβαλεῖν τὰ ἐναντία, τοῖς τε ἁμαρτάνουσι φοβερὸς ἦν καὶ τοῖς κατορθοῦσιν ἐράσμιος, ἐπιεικὴς τοῖς πᾶσι, τῷ πλήθει δημοτικός, τῶν ἐκκλησιαστικῶν μάλιστα κηδεμονέστατος, χρημάτων κρείττων, τῶν ἀλόγων προλήψεων ὀλιγωρητής, τῶν πατρῴων ὀρθῶν δογμάτων διάπυρος ὑπερασπιστής, τῆς εὐσεβείας ζηλωτής, τῆς ἀληθείας προστάτης, τῆς ἀρχαιότητος ἐπαινέτης·

φιλογενὴς μάλιστα καὶ φιλέλλην, καὶ τὴν πᾶσαν τοῦ γένους βελτίωσιν καὶ ἀνάληψιν πάντοθεν περιβλέπων, εἴ ποθεν γένοιτο ἐπιζητῶν καὶ σπουδάζων· εἰ δέ τισιν ἰδόκει καινοτομεῖν, τοῦτο ἦν ἐπὶ τὸν λόγον ἄγειν καὶ τὸ ὀρθὸν διενεργεῖν τὸ ἔθος παραλλάσσοντας· ἐπετεχνᾶτο δὲ καὶ ἐν τοῖς πολιτικοῖς τὰ καινοπρεπῆ καὶ ἀήθη, συγκρύπτων τὸν νοῦν καὶ ἐπισκιάζων τὸ τέλος τοῦ σπουδάσματος, καὶ εἴτε κατωλιγώρει, εἴτε ἐθεράπευε τοὺς δυνατούς, πάντα πρὸς τὸ κοινὸν συμφέρον ἐποίει, τοῦ καλοῦ καὶ δικαίου ἀεὶ φροντίζων, καὶ τῆς ἰδίας ἐξουσίας συναισθόμενος οὐδενὶ ἀκαίρως ὑφίετο, καὶ τοῦ καθήκοντος τῇ μεγάλῃ ταύτῃ ποιμαντορίᾳ οὐδὲν ἐποίει προτιμότερον, ἀξίως τῶν ἁπανταχοῦ ἐκκλησιῶν προϊστάμενος.

Τὸν μὲν οὖν οἰκουμενικὸν θρόνον διεδέξατο διὰ κανονικῶν ψήφων καὶ κοινῆς ἐκλογῆς ὁ παναγιώτατος κύριος Μελέτιος ὁ Β′ ἀπὸ Λαρίσσης προβιβασθείς, καθὰ εἴρηται· ὁ δὲ πρώην πατριάρχης κύριος Σαμουὴλ διὰ βασιλείου προσταγῆς εἰς τὸ ἅγιον Ὄρος ἀπεκομίσθη· ἀλλ᾽ ὁ μὲν διὰ παραιτήσεως εἰς λιμένα ἀπέβη, ὁ δὲ εἰς μέγαν κλύδωνα ἐξορμήσας, εὐθὺς ἐκυμαίνετο ἀλλεπαλλήλαις ταῖς καταιγίσι καὶ δειναῖς ταῖς τρικυμίαις χειμαζόμενος. Ἐξερράγη γὰρ ὁ βαρύτατος κατὰ τῶν ὀρθοδόξων χειμὼν καὶ τὰ τῆς πονηρίας ἐξέμηνε πνεύματα, καὶ πάντοθεν προσέβαλε τὰ δεινά, ἔσχατον ἀπειλοῦντα τοῦ ἡμετέρου γένους τὸν ὄλεθρον· ἐπεὶ γὰρ ἐν Λεχίᾳ ἀρξάμενος ὁ πόλεμος πρόφασιν ἔλαβε τῶν δογμάτων τὴν διαφοράν, καὶ οἱ διαφωνοῦντες τῷ χριστιανισμῷ διέστησαν κατ᾽ ἀλλήλων ὑπὲρ ἐλευθερίας, ἐδόκει ἱερός τις εἶναι καὶ περὶ πίστεως· διῄρει τε ἄρα καὶ συνίστη οὐχ ὅπως τοὺς ἐν Λεχίᾳ, ἀλλὰ καὶ τοὺς ἀνὰ πᾶσαν τὴν Εὐρώπην ὀνομαζομένους Χριστιανούς, καὶ εἰ μὴ τοῖς ὅπλοις, πάντας τῇ γνώμῃ γοῦν κατ᾽ ἀλλήλων ἠρέθιζεν. Ἐκ ταύτης οὖν τῆς ἀδίκου συμπρολήψεως καὶ πονηρᾶς γνώμης τὸ ἔμμονον καὶ τακηρὸν μῖσος οἱ τῆς Ρώμης θιασῶται ἐκκαύσαντες καθ᾽ ἡμῶν,

καὶ πάντα δόλον συσκευάσαντες, ὅτε ἐξώπλισαν παραλαβόντες σύμμαχον αὐτοῖς τὴν ἀσέβειαν, ἄρδην διολέσαι τοὺς διὰ χρόνου μισουμένους Γραικούς, ταύτην αὐτῆς τὴν εὐκαιρίαν ἐνόμισαν, καὶ τί μὲν οὐκ ἐποίουν, τί δὲ οὐκ ἔλεγον, τί δὲ οὐ κετεπεχείρουν διὰ πάσης ἐπιβουλῆς καὶ ἐπιθέσεως παραλογισμοῦ καὶ ἀπάτης, ὥστε εἰς τὰς καθ' ἡμῶν σφαγὰς ἐξορμῆσαι τοὺς κρατοῦντας; διαβάλλοντες καὶ συκοφαντοῦντες καὶ διὰ λόγων καὶ διὰ γραμμάτων ὡς παρεσκευασμένοι εἰς ἐπανάστασιν, σύμμαχοι τοῖς ὁμοδόξοις ἐκ τοῦ παραχρῆμα ἐσόμεθα ὅταν ᾖ ἔγκαιρος ἡ ἐπίθεσις. Τοιαῦτα οὖν λογοποιοῦντες καὶ ὑποβάλλοντες τοῖς Ὀθωμανοῖς, καὶ οἷόν τινα νεφέλην ἐπὶ τῶν ὀρέων τῆς Μυσίας τὴν ἐκεῖ τῶν Δαλματῶν σύστασιν προδεικνῦντες καὶ τὸν στρατηγὸν αὐτοῖς Στέφανον, Πέτρον τὸν δεύτερον αὐτοκράτορα τῆς Ῥωσσίας εἶναι διαθρυλλοῦντες, κακεῖθεν μετακινοῦντες καὶ μετακομίζοντες ὑποκεκρυμμένον καὶ λανθάνοντα εἰς Μακεδονίαν καὶ Θρᾴκην καὶ Βιθυνίαν, καὶ ἁπανταχοῦ γῆς τοῦ Ὀθωμανικοῦ κράτους, τοῖς ὀρθοδόξοις ὁμιλοῦντα, καὶ εἰς ἀνταρσίαν αὐτοὺς ἀναπείθοντα, οὐχ ὅπως τὰς ὑποκένους φρένας καὶ ληρώδεις φαντασίας τοῦ χύδην ὄχλου, ἀλλὰ διὰ τοσούτων φληνάφων καὶ τοῦ περιβομβοῦντος δυσήχου θρύλλου ἐξέβησαν καὶ διέσεισαν καὶ τῶν ἀρχόντων τὰς γνώμας, καὶ μικροῦ πάντας ἐξεπολέμωσαν καθ' ἡμῶν τῶν ὑπηκόων, καὶ εἰ μὴ ὑπελίποντο ὀλίγοι τῆς λύμης ἀνέπαφοι, ὅσοι τὴν διάνοιαν ὀξυδερκεῖς καὶ τὸν τρόπον εὐσταθέστεροι, οἵτινες καὶ τὰς διαβολὰς διεγνώρισαν καὶ πρὸς τὴν τοσούτων κακῶν φορὰν ἀντέστησαν, ἅπασα πόλις καὶ χώρα καὶ γῆς οἴκησις ἀνάστατος ἂν ἐγένετο, καὶ ἀνθρωπίνων αἱμάτων προχοαῖς ἐξελιμνάζετο· ἀλλὰ τὸν μὲν γενικὸν φόνον καὶ τὸν διωγμὸν καὶ τὸν μανικὸν πόλεμον ἀπέσχεν ὁλικῶς καὶ διεκώλυσεν ἡ τῶν εὐσχημόνων βουλευτῶν φρόνησις· τὴν μέντοι πονηρὰν ὑπόνοιαν καὶ τὸ παραφυὲν κακόηθες καθ' ἡμῶν μῖσος καὶ τὰ κατὰ μέρος κακά, καὶ

τοὺς φόνους περιελεῖν εὐθὺς οὐκ ἴσχυσε, διὸ καὶ πάντες ὡς ὑπεναντίοι ὑπεβλέποντο, κατετυραννοῦτο δὲ μᾶλλον ὡς εἴπερ ποτε μισητοί, καὶ ὡς ἀλλοτριοπραγοῦντες κατεδιώκοντο· πολλοὶ δὲ ἐξ ἡμῶν ἀναίτιοι καὶ ἀθῶοι ὑπ' ἀδίκων χειρῶν κατεσφάττοντο, καὶ πάντα ἡμῖν ἦν φόβου καὶ κινδύνου μεστά, καὶ ὡς οὔποτε ὑπῆρξε, πολλάκις διεκπολεμουμένοις τοῖς Ὀθωμανοῖς κατὰ Ρώσσων, οὐδ' ἂν μὴ γένοιτο.

Ἐν τοιούτοις οὖν δεινοῖς συνεχόμενον τὸν λαὸν τοῦ θεοῦ καθορῶν ὁ παναγιώτατος κύριος Μελέτιος ἠγωνία περὶ τῶν ἁπανταχοῦ ὑπὸ τὸ Ὀθωμανικὸν κράτος καὶ τὴν δυτικὴν ὀφρῦν ὀρθοδόξων Χριστιανῶν, καὶ εὐχαῖς ἀδιαλείπτοις καὶ ἐκτενέσι δεήσεσιν ᾐτεῖτο παρὰ θεοῦ βοήθειαν πρὸς κύριον ἐκβοῶν ἰδοὺ δὴ οἱ ἐχθροί σου Κύριε ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν, ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου, εἶπον δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτούς, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα αὐτῶν ἔτι· ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν, διηγήσαντο τοῦ κρύψαι παγίδας τοῖς δούλοις σου, διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν· μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος, μηδὲ ἀποστήσεις τὸ ἔλεός σου ἀφ' ἡμῶν Κύριε· ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου· βοήθησον ἡμῖν ὁ σωτὴρ ἡμῶν ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, ἐξελοῦ ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ῥῦσαι ἡμᾶς ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσον ἡμᾶς, σκέπασον ἡμᾶς ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν· ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις, ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου Κύριε· ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις, ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά, περιβαλλέσθωσαν αἰσχύνην

καὶ ἐντροπὴν οἱ λογιζόμενοι ἡμᾶς ὡς πρόβατα σφαγῆς καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας· ἐπὶ σοὶ Κύριε ἠλπίσαμεν, γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, ὅτι καύχημα τῆς δυνάμεως ἡμῶν σὺ εἶ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρδος ἡμῶν.

Τοιαῦτα οὖν διηνεκῶς ὑπὲρ τοῦ λαοῦ ἐντυγχάνων θεῷ ἐδέετο θερμῶς· προΐστατο δὲ καὶ συνέπραττε ταῖς ἁπανταχοῦ ἐκκλησίαις τοῦ θεοῦ καὶ παρεκάλει γενναίως φέρειν τὰς ἐπιούσας θλίψεις, μεμνημένους τῆς ὑπομονῆς καὶ καρτερίας τῶν ἁγίων καὶ ἐκλεκτῶν τοῦ θεοῦ καὶ πρὸς τὰ ἀποκείμενα ἀγαθὰ τῆς αἰωνιζούσης ζωῆς ἀποβλέπειν, καὶ παρὰ θεοῦ ἀπεκδεχομένους τὴν σωτηρίαν· ᾠκονόμει δὲ καὶ τὰς χρείας κατὰ τὸν καιρὸν καὶ πάντα ἐμφρόνως καὶ νουνεχῶς ἐποίει, ἐπιμένων ἐκτενέστερον ἐν ταῖς προσευχαῖς καὶ τὴν διδασκαλίαν τοῦ θείου λόγου ἀναγκαιοτάτην ποιούμενος· ἐπηγρύπνει δὲ ἐπὶ τὴν φυλακὴν τοῦ ποιμνίου, καὶ τῶν λύκων ἀπεσόβει τὰς ἐπιθέσεις, καὶ τὰς ταραχὰς καὶ πτοίας διεκώλυε, καὶ πανταχοῦ ἠρεμεῖν ἐποίει τῶν λογοποιῶν ὀλιγωροῦντας, εἴτε λυπηρὰ καὶ ἐπίφοβα, εἴτε τἀναντία φαιδρὰ καὶ καταθύμια φημίζωσι· προσέχειν τε νουνεχῶς ἐνουθέτει, ὥστε μηδεμίαν πρόφασιν τοῖς ἐναντίοις διδόναι, γινώσκοντας ὅτι ἐπὶ παγίδων πολλῶν περιπατοῦμεν· ἐθεράπευε καὶ τοὺς ἐν δυνάμει, καὶ τὴν περὶ αὐτὸν ἱερὰν σύνοδον τῶν ἁγίων ἀρχιερέων ἠξίου, ἵνα ἐν ἀγάπῃ ἀντεχόμενοι ἀλλήλων, ἓν πνεῶσι, τὰ αὐτὰ σπουδάζωσι, συνεπιλαμβάνωνται αὐτῷ, καὶ τὰ ἐλλείποντα ἀναπληρῶσι, πρὸς τὰ βραβεῖα τῆς ἄνω κλήσεως ἀφορῶντες, καὶ τὸν παρὰ θεοῦ ἔπαινον· κοινὸς γάρ, ἔλεγεν, ὁ ἀγών, κοινὸν τὸ ἔργον, καὶ μείζων ὁ τὸ πλεῖστον εἰσενεγκών· τοιαῦτα οὖν διενεργῶν καὶ πράττων συνεκρότει πάντοθεν τὰς ἐκκλησίας τοῦ Χριστοῦ, καὶ παρεμυθεῖτο τοὺς τεθλιμμένους, ἀνεκτᾶτο τοὺς καταπεπονημένους καὶ παρεθάρρυνε τοὺς καταπτήσσοντας, καὶ πάντας τοὺς ἐν πτοίαις

σαλευομένους ὑπεστήριζε τὴν πρὸς θεὸν ἐλπίδα λαμπροτέραν αὐτοῖς ἐπιτέλλων.

Ἀλλ' ὁ μὲν παναγιώτατος κύριος Μελέτιος θεοφιλῶς ἠγωνίζετο ὑπὲρ τῶν ἐκκλησιῶν τοῦ θεοῦ· τὰ δὲ κακὰ ὑπὸ τῶν ἀσεβῶν συμπροσίει τῇ ὁρμῇ καὶ συγκινήσει τοῦ πολέμου πληθυνόμενα· οὐ γὰρ ἐπὶ μέτρον καὶ σταθμόν, οὐδὲ κατ' ἔθος καὶ νόμον αἱ δημόσιοι ἀπαιτήσεις ἐγίγνοντο· ἀλλὰ πάντα ἄρδην ἀφαιρεθέντα τὰ τῶν Χριστιανῶν, καὶ τὰ μὴ προσόντα ἀπαιτουμένοις ἐκ δανείων αὐτοῖς, προσετίθεντο ὑπέρογκα καὶ βαρύτατα χρέη κατά τε πόλεις καὶ χώρας καὶ δήμους καὶ λαούς, ὥστε οὐδὲ γυμνὰ ἔχειν ἔτι τὰ σώματα· ἀλλὰ τὸ μὲν δημόσιον οὕτως ἀπογυμνῶσαν τὸν εὐσεβῆ λαὸν πρὸς τὰς μεγάλας δαπάνας τοῦ ἑκατοντάκις μυριαρίθμου στρατοῦ ἐταλαιπώρει ταῖς ἀλλεπαλλήλαις ἐργασίαις, καὶ κοινῶς κατέθλιβε· προσεπεζήτει δὲ καὶ ἕκαστος τῶν στρατευομένων παρὰ τοῦ τυχόντος ὅ, τι ἂν αἱροῖτο, καὶ εἰ τύχοι μὴ εὑρὼν τὸν μὴ ἔχοντα ἀπέκτεινε· ἠδίκει δέ τε ἄλλος ὡς ὀφειλέτην καὶ κατέσπα τὸν ἕτερον, καὶ τὸν ἀδικοῦντα ἐδικαίου ὁ παριστάμενος· ὁ δὲ τὸ προστυχὸν ἥρπαζε καὶ λωποδυτῶν ἀναίδην ἀφόβως ἐλῄστευε· καὶ συλλήβδην οἱ πάντες ἠδίκουν, καὶ ἐπεβούλευον παντοίως ἐπηρεάζοντες· οὕτως ἐπλεόνασε τῶν ἀσεβῶν ἡ πονηρία, καὶ ἡ κατὰ τῶν Χριστιανῶν θηριωδία ἐξέμηνεν· ἐν δὲ σφίσιν αὐτοῖς ἡ φαυλότης ἐξέζεσε καὶ διεχύθη ἡ βδελυρία, ὥστε κατὰ ῥύμας καὶ ἀγυιὰς ἰλαδὸν ἐξυβρίζοντες ὡς εἰς ἀλλήλους ἀσελγαίνοντες, ἐξοιστρούμενοι καὶ χαμαιτυποῦντες ἐν ὁδοῖς ὡς οἱ κύνες ἀναιδέστατα, καὶ εἰς τὰς ἀλλήλων γυναῖκας καὶ θυγατέρας ἐξυβρίζοντες καὶ διαφθειρόμενοι ἐνέπλησαν κακῶν πᾶσαν πόλιν καὶ χώραν καὶ γῆς οἴκησιν· διὸ καὶ τὰς εἰς ἀλλήλους βδελυρίας αὐτῶν ἀποτρεπόμενοι, καὶ τὰς βίας φεύγοντες κατεκρύπτοντο οἱ ὑπόφοροι ἐν ταῖς πόλεσι, καὶ οἱ ἐν ταῖς χώραις εἰς τὰς ἐρήμους ἀπεδίδρασκον, καὶ πάντες ἔφοδον ἀπηνεστάτων καὶ βαρβαρωτάτων

ἐχθρῶν μηδένα νόμον μεμαθηκότων, μηδὲ ὅρον ἀδικίας καὶ ὕβρεως ἐχόντων, τὴν τῶν ἰδίων στρατιωτῶν πάροδον ἐλογίζοντο, καὶ τὴν διαμονὴν ὄλεθρον καὶ δαιμόνων θέαν τὴν αὐτῶν ὅρασιν.

Οὕτως οὖν ἡ ἀδικία, ἡ φαυλότης, ἡ θηριωδία καὶ μυσαρὰ βδελυρία τούτοις κατίσχυε σφόδρα καὶ ἐκρατύνετο· ὑπελθοῦσα δὲ καὶ ἡ καθ' ἡμῶν διαβολὴ καὶ συκοφαντία καὶ ἡ φλήναφος καὶ ληρώδης λογοποιΐα καὶ ἀνύπαρκτος μετωνυμία, καὶ διάκενος μεταμόρφωσις, ὡς εἴρηται, ἐξηγρίου τοὺς καινοφανεῖς κενταύρους καὶ καθ' ἡμῶν ἐξώπλιζεν· ὑπέθραττε δὲ καὶ διεφόβει καὶ ὑφορᾶσθαι ἐποίει τοὺς ἄρχοντας, καὶ προσέχειν εἴ ποθέν τι περὶ αὐτοῦ ἀκούσειαν· καὶ δὴ ἧκέ τις τούτοις φάσις ἐκ τοῦ στρατηγίου, ἔκ τινος διαβολῆς, ἢ ἀγροικίας, ἢ ἄλλης κακομηχάνου μοχθηρίας τῶν παρισταμένων τῷ στρατηγῷ, ὡς ὁ διαδυόμενος καὶ λάθρα περιϊὼν καὶ διασείων τὸ ὑπήκοον Στέφανος ἐφάνη ἐν Ἀρητίῳ τῆς Βιθυνίας φέρων μεθ' ἑαυτοῦ χιλιάδας φλωρίων, καὶ διένειμεν ἐν τῷ ἐκεῖ σχολείῳ, καὶ τὸν θησαυρὸν τῷ διδασκάλῳ παρέδωκε· ταύτης δὲ τῆς ἀγγελίας εἰς τὸν μονάρχην ἀνηνεγμένης, ἀπάγειν εὐθὺς τοῦτον ἐν δεσμοῖς, εἰ δὲ μὴ τόν τε διδάσκαλον καὶ τοὺς ἐν τῇ σχολῇ ἐκέλευσεν. Οὕτω γὰρ εὔπιστοι δειλαὶ φρένες· παραλαβόντες οὖν ἔγγραφον τὸν ὁρισμὸν οἱ προστεταγμένοι ὡς ἐπὶ μέγα τὸ θήραμα ἔκ τε τῆς βασιλείου θεραπείας καὶ τῆς τοῦ ἐπιτρόπου αὐλῆς, καὶ τῆς τοῦ στρατηγοῦ ἐξοπλίσεως, καὶ εἰς τὴν Ἀσίαν ἐφορμήσαντες, παραλαβόντες καί τινας ἐκ τοῦ ὑπερκειμένου τῇ Ἀρητίῳ κριτηρίου, οἱ μὲν περιέστησαν τὴν πενιχρὰν οἰκίαν τῆς σχολῆς μετὰ φανῶν καὶ ὅπλων, οἱ δὲ εἰσπηδήσαντες ξιφήρεις μετηλλῶντο τὸν θησαυρόν, καὶ ἐζήτουν τὸ μέγα θήραμα· ἀλλ' ἀντὶ θησαυροῦ ἄνθρακάς ποθεν καὶ τούτους λυπροὺς εὗρον, ἀντὶ δὲ τοῦ διοπετοῦς θηράματος, τραγελάφων ἴχνη ἐδίωκον· ἐπιλαβόμενοι οὖν τῶν ἐν τῇ οἰκίᾳ ἀθώων καὶ ἁπλουστάτων καὶ ἀκάκων ἑπτὰ

ἀνδρῶν, πενεστάτων, καὶ δι' ἄσκησιν σώματος ἀπεσκληκότων, ἀντὶ τοῦ βασιλέως καὶ στρατηγοῦ καὶ πολυμόρφου αὐτοῖς Πρωτέως, τούτους οἱονεὶ λῃστὰς καὶ κακούργους δεσμοῖς περιβαλόντες κατήγαγον ὑπὸ πολὺν καὶ δημοχαρῆ τὸν κρότον ὅτι τοὺς συνωμότας καὶ ὑπασπιστὰς τοῦ πολυθρυλλήτου στρατηγοῦ καὶ ἐπιβούλου συνέσχον, καὶ αὐτὸν ὅσον οὔπω συλλήψονται. ἀπαγαγόντες οὖν κατὰ μῆνα Φευρουάριον εις Κωνσταντινούπολιν συνέκλεισαν ἐν δημοσίᾳ τῇ φυλακῇ. Ἦν δὲ τῶν ἑπτὰ συγκλεισθέντων Ἀγάπιος ἱερομόναχος καὶ Διονύσιος μοναχὸς οἱ Πελοποννήσιοι, καὶ ὁ Θετταλὸς Κωνσταντῖνος ὁ τῆς ἐκεῖ σχολῆς διδάσκαλος μετὰ τεσσάρων ἑτέρων. Τούτους γοῦν μεθ' ἡμέρας παραστήσαντες ἐν βαθυτάτῃ νυκτὶ πάντα δείματα διεπυνθάνοντο τὰ περὶ τοῦ φαντασιώδους αὐτοῖς Στεφάνου, πότε καὶ πόθεν ἥκοι, καὶ ὅσα αὐτοῖς παρέθετο χρήματα· οἱ δὲ μήτε ἰδεῖν, μήτε κατ' ὄναρ τοιοῦτόν τινα φαντασθῆναι διαμαρτυρούμενοι, διήλεγχον καὶ περὶ τῶν χρυσίων ὅτι ἀνύπαρκτα καὶ ἀσύστατα τὰ τῆς διαβολῆς· τῶν δὲ παραδυναστευόντων τινὸς προτρέψαντος συνομολογῆσαι αὐτοὺς καὶ ἐπ' ἄλλους ἀναθέσθαι τὰ τῆς συνωμοσίας, καὶ τὰς τῶν χρημάτων παρακαταθήκας, ὡς ἂν τῆς ὀργῆς ἐπ' ἐκείνους δυνατοὺς ὄντας μεταστάσης, αὐτοὶ τῆς βαρυτάτης διὰ βασάνων ποινῆς ἀπαλλάξωνται, ἔμφοβοι γενόμενοι τῷ ἁγνοτάτῳ τοῦ θεοῦ φόβῳ, καὶ βλοσυρῶς περιβλεψάμενοι τὸ πονηρὸν ἐκεῖνο τῆς ἐτάσεως συνέδριον, καὶ καταλιγωρήσαντες τῶν βασάνων καὶ τῶν παρισταμένων δημίων καὶ θανάτου αὐτοῦ, ἐξεβόησαν θαρραλέως: ἡμεῖς ἐσμὲν τέκνα τοῦ εὐαγγελίου τῆς ἀληθείας, καὶ τὸ ψεῦδος ἴσα τῷ διαβόλῳ ἀποστρεφόμεθα· οὔτε ἡμεῖς εἴδομεν τὸν ζητούμενον παρ' ἡμῶν, οὔτε τὰ λεγόμενα χρυσία ἐδεξάμεθα, οὔτε τινὰ ἄλλον ἰδεῖν ἢ δέξασθαι γινώσκομεν, οὔτε δυνάμεθα καταμαρτυρῆσαι ἀδίκως ἀθώων ἀνδρῶν· παίετε, καίετε, τέμνετε, ὅ,τι ἂν ᾖ βουλομένοις ἡμῖν ποιεῖτε, οὔτε εἴδομεν ὅλως, οὔτε γινώσκομεν περὶ ὧν

ἐρωτᾶτε, οὔτε καταμαρτυροῦμεν ἀδίκως, οὔτε καταψευόμεθα ἀθώων ἀνδρῶν· ἡμεῖς τὴν ἀλήθειαν ἐμάθομεν λαλεῖν, καὶ ταύτην ἔχομεν ἐντολὴν παρὰ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν! Ταῦτα οὖν εὐσεβῶς εἰπόντας ἐνώπιον τοῦ ὑπάτου καὶ τῶν παρεδρευόντων, ἀπήγαγον αὐτοὺς βιαίως οἱ δήμιοι παίοντες κατὰ κεφαλῆς· οἱ δὲ τὴν ἐπὶ θάνατον ἀπιέναι λογισάμενοι, ἀναθαρρήσαντες τῷ τῆς ἀληθείας ζήλῳ, τὸ ψεῦδος καὶ τὴν ἄνοιαν καὶ τὴν ἀπάτην ἐπὶ τὴν δυσσέβειαν αὐτῶν προσέτριβον· συνωθοῦντες γοῦν καὶ καθέλκοντες αὐτοὺς οἱ δήμιοι τὸν μὲν κατέσπασαν, τὸν δ' ἕτερον ἀπώσαντο ἄνωθεν τῆς κλίμακος, καὶ οὕτω συντρίψαντες ἀπέρριψαν εἰς φυλακήν, μικρόν τι ἀναπνέοντας, ὥστε ἐπιζῆν εἰκάζειν, καὶ νοσήσαντας οὐκ ἔτι τοῦ λοιποῦ ἀνέκρινον· ἐκ δὲ τῆς νόσου ὁ μὲν διδάσκαλος Κωνσταντῖνος πρὸς κύριον ἐξεδήμησεν, οἱ δὲ ἄλλοι μετὰ τρίμηνον ἐπανῆλθον.

Περὶ δὲ τὰ μέσα τοῦ ἐφεξῆς μαρτίου ἐξέβρασε καὶ ἀπέρρευσε τῆς μεγάλης ταύτης πόλεως ὁ λοιμώδης στρατὸς, καταφοινίξας τὰς στενωποὺς ἐν τῇ ἐξόδῳ ἀθώοις τοῖς αἵμασιν· οἱ γὰρ πράσινοι ἐκβακχευθέντες τῷ συνοίκῳ δαίμονι, εἴ τινα τῶν ὑποφόρων συνήντησαν, ἢ ἐκ θυρίδος καὶ ὀπῆς ἐν ἐργαστηρίῳ καὶ οἰκίᾳ καὶ ἁπλῶς καταλύματι ἐνόντα ὑποτοπάσειαν, ἐφαλλόμενοι μανικῶς τοῦτον κατέσφαττον, καὶ δῆθεν ὁράσει τῶν ἀπόπτων εἴτουν τῇ θέᾳ τῆς σημαίας θανάτου ἔνοχον· συναπῄει δὲ καὶ ὁ ἐγκαυχώμενος Σεναχηρεὶμ τῆς βασιλείας ὁ ἐπίτροπος, λίαν ὑπέροφρυς καὶ βλοσυρὸς, πολλοῖς περιστοιχούμενος τοῖς καταφράκτοις, καὶ τῷ κυμαινομένῳ μυρίων ἐθνῶν ὄχλῳ ἐπιγαννύμενος καὶ κομπάζων πᾶσαν ἅμα ἐπικλῦσαι, εἰ βουλητὸν αὐτῷ, τὴν Εὐρώπην, καὶ ἐκ τοῦ παραχρῆμα ὑπαγαγεῖν τὸ ἀνθιστάμενον· ἐξῄεσαν γοῦν, καὶ λωφῆσαί πως τὸν δεινὸν κλύδωνα ὑπελάβομεν, καὶ σμικράν τινα παῦλαν τῶν κακῶν εὑρεῖν· ἀλλ' ὀλίγαι ἡμέραι παρῆλθον, καὶ κατείδομεν βαρυτέρας τὰς καταιγίδας καὶ τὸν σάλον ἀνύποιστον· ὅσον γὰρ ἐπεκύμαινεν

ἔξω, καὶ τῇ ὕβρει ἐπέκλυζε τὰς χώρας, τοσοῦτον ἐπερρόθει ἐντὸς ὑπὸ τῶν πονηρῶν πνευμάτων συνελαυνόμενος· ἐπανέστη οὖν καὶ κατ' αὐτῆς τῆς ἀκροπόλεως τῶν ἐκκλησιῶν καὶ σκληρῶς προσέρρηξε, καὶ ἐκθορυβήσας τὰς ψυχὰς μικροῦ δεῖν πάντων ἐξέπληξεν· ἡ γὰρ ἐκ διαβολῆς λογοποιΐα, μᾶλλον δ' εἰπεῖν εἰδωλοποιΐα τοῦ παραδυομένου Στεφάνου, παντοίας ἐμποιοῦσα τὰς ὑπονοίας, παντοίας τοῖς κρατοῦσι παρεῖχε τὰς πτοίας καὶ ἀνειδωλοποίει τὰ δείματα, ὥστε τῷ τυχόντι πιστεύειν, εἴ τι ἔχοι περὶ τούτου εἰπεῖν. Καθῆκε τοίνυν ἡ διαβολὴ καί ποθεν αὐτοῖς ἐξεθρόησεν, ὅτι Στέφανος ὁ στρατηγὸς ὁ τὸ ὑπήκοον ἀνασείων συνῆν τῷ παναγιωτάτῳ οἰκουμενικῷ πατριάρχῃ κυρίῳ Μελετίῳ ἐν τῷ πατριαρχείῳ περὶ τῶν ὅλων βουλευόμενος· καὶ δὴ αἴφνης περιστοιχήσας κύκλῳ τὸ πατριαρχεῖον τοῖς στρατιώταις ὁ ἀντιστράτηγος, ὡς μὴ ἐκφύγοι αὐτοῖς τὸ ἴνδαλμα, καὶ ἔνδον πλῆθος εἰσπηδήσαντες καὶ διαχυθέντες εἰς τὰ οἰκήματα, πάντας μὲν κατελάβοντο, διηρευνῶντο δὲ καὶ τῶν οἰκημάτων τὰ ἀπόθετα, καὶ οὐδὲν οὐδὲ τὸ τυχὸν ἀφῆκαν ἀκίνητον· ὡς γοῦν τὰ τῆς ἐρεύνης ἠκρίβωσαν, παραλαβόντες τὸν παναγιώτατον οἰκουμενικὸν πατριάρχην κύριον Μελέτιον μετὰ τῆς θεραπείας καὶ τῶν παρευρεθέντων αὐτῷ κληρικῶν, πάντας εἰς τὴν δημοσίαν φυλακὴν ἀπήγαγον πρῶτον καθείρξαντες (ἀπριλίου η΄. ἡμέρᾳ δ΄.). Ὁ μὲν οὖν εὐσεβὴς λαὸς τὴν ἀδικωτάτην συκοφαντίαν καταμαθών, καὶ τὴν παράλογον ὁρμὴν συνεννοήσας, ἠγωνία σφόδρα συλλυπούμενος καὶ δεδιώς, καὶ γενικὸν τὸ ἔγκλημα λογιζόμενος, καὶ παρὰ Χριστοῦ τοῦ Σωτῆρος Θεοῦ ἀρωγὴν καὶ σωτηρίαν ᾐτεῖτο· οἱ δὲ νυκτὸς ἀπαγαγόντες εἰς τὴν ἐσωτέραν φυλακὴν ὑπὸ τὰ βασίλεια τοὺς καταδίκους, ἐπαρξάμενοι τῆς ἐτάσεως ἐν ἀπειλαῖς καὶ βασάνοις ταῖς βαρυτάταις, ὡς οὐδὲ μικρὰν λαβήν, οὐδὲ φαντασίαν γοῦν τοῦ εἰδωλοποιουμένου σφίσιν αὐτοῖς Στεφάνου ἀνεῦρον, διέγνωσαν ὁπωσοῦν ὅτι συκοφαντία τὸ ῥηθέν, μικρὸν ἀνανήψαντες. Ἀλλὰ τὸ

μὲν γένος εὐθὺς ἀπέλυσε τῆς χαλεπωτάτης ἀδίκου διαβολῆς, τὸν δὲ παναγιώτατον κύριον Μελέτιον. καίτοι ἀνέγκλητον καὶ ἀνέπαφον πάσης πονηρᾶς κατ' αὐτῶν ὑπονοίας, καὶ ταῖς ἀνομωτάταις συκοφαντίαις ἀκριβῶς διαγνόντες, ἥδοῦντο μὲν τῆς ἀρετῆς, ἀποκαταστῆσαι δὲ εἰς τὸ πατριαρχεῖον ᾐσχύνοντο· διὸ ἐπέτρεψαν τῷ γένει ἐκλέξασθαι κατὰ τὸ ἔθος ἄλλον πατριάρχην· καὶ ἐπεὶ ὁ παναγιώτατος κύριος Μελέτιος εἰς φυλακὴν καταδικασθεὶς παραίτησιν τοῦ οἰκουμενικοῦ θρόνου ἐποιήσατο, καὶ τῇ μεγάλῃ ἐκκλησίᾳ ἔγγραφον ἀπέστειλε συνταξάμενος γενναίως καὶ θεοφιλῶς εἰς τὴν ἐπαπειλουμένην ἄδικον σφαγήν· ἐξαιτούμενος τὰς εὐχὰς παρὰ πάσης τῆς ἐκκλησίας καὶ πᾶσιν εὐχόμενος παρὰ θεοῦ σωτηρίαν, συνελθόντες οἵ τε ἐνδημοῦντες ἀρχιερεῖς, καὶ οἱ εὐγενέστατοι ἄρχοντες καὶ κληρικοί, κοινῇ ἐκλογῇ καὶ γνώμῃ πάντων ἐξελέξαντο οἰκουμενικὸν πατριάρχην τὸν Θεσσαλονίκης μητροπολίτην κύριον Θεοδόσιον, καὶ παραλαβόντες παρέστησαν τῷ ἀνθυπάτῳ, καὶ λαβόντες τὰ καββάδια εἰς ἐπιβεβαίωσιν τῆς ἐκλογῆς, ἐπανῆλθον εἰς τὸ πατριαρχεῖον, καὶ γενομένης τῆς μεταθέσεως κανονικῶς ἀνευφήμησαν αὐτὸν οἰκουμενικὸν πατριάρχην τῇ δεκάτῃ πρώτῃ ἀπριλίου τοῦ ἑξηκοστοῦ ἐννάτου ἔτους.

Ἀνεθάρρησεν οὖν ὁ εὐσεβὴς λαὸς ἐπὶ τῇ ἐκλογῇ καὶ ἀναρρήσει τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου Θεοδοσίου, ἐλπίδας δικαιωτέρας λαβὼν καὶ περὶ τῆς ἀθωώσεως τοῦ παναγιωτάτου κυρίου Μελετίου καὶ τῆς ἀπὸ φυλακῆς ἐλευθερίας, ὃς ἔτι παρέμεινεν ἐν τῇ φυλακῇ ἐν ἀνέσει μέντοι, ὁμοίως καὶ οἱ σὺν αὐτῷ ἀπαχθέντες ἅπαντες· τούτων ἀλλ' οὖν οἱ μὲν λοιμικῇ νόσῳ συνεσχέθησαν, οἱ δὲ τῶν βασάνων ἐξιῶντο τὰ τραύματα, οἱ πάντες τῇ προτροπῇ καὶ εὐλογίᾳ τοῦ παναγιωτάτου γενναίως συναθλοῦντες καὶ συναποθανεῖν ὑπὲρ τῆς ἀληθείας ἕτοιμοι ὄντες· ὁ δὲ ἀοίδιμος ἐπίσκοπος Καρύστου Ἰάκωβος, ἐφ' ὃν ἐπέστησαν μείζονας τὰς βασάνους καὶ ἐπέσεισαν

ἀργαλεώτερα τὰ δείματα, δι' ὁμοιότητα τοῦ φανταζομένου αὐτοῖς Στεφάνου, ὡς ἔλεγον, αἰνῶν καὶ εὐλογῶν καὶ δοξάζων ἀπαύστως τὸν δεσπότην Χριστὸν ἐκ κακώσεως ἀφῆκε τὸ πνεῦμα εἰς χεῖρας θεοῦ· τὸν δὲ παναγιώτατον κύριον Μελέτιον τὸν τῇ γνώμῃ καὶ προαιρέσει μάρτυρα καὶ ὁμολογητὴν, ἕτοιμον ἀεὶ ὄντα εἰς θάνατον καὶ γενναίως καὶ περιχαρῶς πάντα παθεῖν ὑπὲρ τῆς ἀληθείας, πάσαις ἀπειλαῖς καὶ βασάνων ὀργάνοις περιστοιχηθέντα, ὅτε αὐτὸν ἐξέδυσαν οἱ δήμιοι, ἐξείλετο τῶν χειρῶν αὐτῶν ὁ Κύριος φειδόμενος ἡμῶν· εἰ γὰρ ἐν βασάνοις ἀπέθνηκεν, ἐδόκει ἂν τοῖς συκοφάνταις ὑπ' αἰτίαν θανεῖν, καὶ παντὶ τῷ λαῷ τοῦ θεοῦ ἀνεξίτηλα ἦν τὰ τῆς διαβολῆς καὶ τῆς ἀνοσίου ἀπεχθείας καὶ δυσθύμου πονηρίας τοῖς ἐχθροῖς προχειρότατα· μεταμεμέληται γοῦν ὁ τύραννος οἷς ἔπραττε, καὶ ὅτε τοῖς βασάνοις τοῦτον παρέστησαν, καὶ ἐγύμνωσαν, τότε μεταβαλὼν ἀπολύειν ἐκέλευσε· διέγνω γὰρ καὶ ἐπιστώσατο διά τε τῶν μαρτυρικῶν τῶν ἔξωθεν καὶ διὰ τῆς χαλεπωτάτης τῶν ἐν τῇ εἱρκτῇ ἔνδον ἐτάσεως, ὅτι ἀθῶος ἐν πᾶσι καὶ ἀνέγκλητος ὁ παναγιώτατος κύριος Μελέτιος ὡς καὶ οἱ λοιποὶ περὶ αὐτόν· καὶ προσεπεξετάσας, καὶ προσβεβαιωθεὶς, καὶ περὶ τοῦ ἐκ Χωροβατίας γράμματος ἐπιμνησθεὶς, ὅτε διὰ τῆς αὐτοῦ προσταγῆς ἀπεστάλη ἐκεῖσε ἐπὶ τοῦ παναγιώτατου κυρίου Σαμουὴλ ὁ ἱερομόναχος, ὃς ἔγραφεν ἀπὸ Δαλματίας τῷ παναγιωτάτῳ περὶ τῶν συμβάντων ἐκεῖ, ὅτι εἴπω ἐδυνήθη εἰς πέρας ἐνεγκεῖν τὰς αὐτῷ ἐντολάς· ὅπερ ὡς εἶπον ἀποκομισθὲν τῷ ἐπιτρόπῳ τῆς βασιλείας ἐν τῷ στρατοπέδῳ κατὰ Ἀδριανούπολιν, ἐπέμφθη εἰς βασιλεύουσαν πρὸς τὸν μονάρχην ἐξετάσεως ἕνεκεν, εἴτε ὂν εἴτε πλαττόμενον· οὐ γὰρ ἐπὶ τῆς πρώτης ὁρμῆς ἔστη τὰ τῆς ἐπιβουλῆς· προεπετίθη δὲ καὶ ἐπηύξει πάντοθεν τὰς ὑπονοίας ἡ κακοήθης καὶ πολεμοποιὸς ἀπέχθεια καὶ ἔμμονος πτοία· ταῦτα γοῦν πάντα ἐπελθὼν καὶ ἐξακριβώσας ὁ δεινὸς μονάρχης, καὶ διὰ πάντων

καταμαθὼν καὶ συνεννοήσας τὴν ἄδικον συκοφαντίαν καὶ διαβολὴν δι' ἡμερῶν πάντας ἐξαγαγεῖν τῆς εἱρκτῆς βασιλικῷ διαγράμματι, ὡς ἀθώους καὶ ἀναιτίους προσέταξε, καὶ τὸν παναγιώτατον κύριον Μελέτιον, ὡς δῆθεν τοῦ ἀναδεχθέντος τὸν θρόνον τοῦτο αἰτήσαντος, εἰς Μιτυλήνην ἐξόριστον ἔπεμψεν (ἀπριλίου ιη'.). Οὕτως οὖν διελύθη ἡ πονηροτάτη καθ' ἡμῶν ἐπιβουλή, καὶ οὐδὲ βραχύ τι κηλῖδος ἀπέλιπεν ἡ ἀδικωτάτη συκοφαντία, μᾶλλον δὲ διεκάθηρε τὰς λήμας ἀπ' ὀφθαλμῶν τῶν κρατούντων, καὶ διεσκέδασε τὴν βαθυτάτην ὁμίχλην, καὶ ἔκτοτε ἤρξαντο διαγινώσκειν τὰς ἔξωθεν καθ' ἡμῶν διαβολὰς καὶ συκοφαντίας καὶ μὴ ῥαδίως πιστεύειν τοῖς λεγομένοις καὶ τοῖς ἐπισυμβαίνουσι μετριοπαθεῖν, τὸ πολὺ τῆς ἀδίκου δυσθυμίας καὶ ἀπεχθείας καθιέντες λογισμῷ τῷ προσήκοντι τοῖς συγκυροῦσι χρώμενοι.

Διετέλεσεν οὖν ἐπὶ τὸν οἰκουμενικὸν θρόνον ὁ παναγιώτατος κύριος Μελέτιος ὁ Β'. μῆνας πέντε καὶ ἡμέρας τέσσαρας. Ἦν δὲ τὴν πατρίδα Τενέδιος, μοναχικῶς δὲ ἐκ παίδων ἀχθεὶς καὶ λόγων εὐμαθείας μετασχὼν καὶ πράξει καὶ γνώσει τῶν καλῶν ἀνδρωθεὶς καὶ ἱερομόναχος γενόμενος ὑπῆρξε πρῶτον πρωτοσύγκελος τοῦ πολύφρονος μητροπολίτου Νικομηδείας Γαβριήλ· τούτῳ τοίνυν συνὼν καὶ πρὸς τὰς ἐκκλησιαστικὰς χρείας πολλὴν ἐμπειρίαν προσκτησάμενος, καὶ τὴν ἄλλην αὐτοῦ ἀρετὴν ἐπιδείξας, τοῦ τε Λαρίσσης Ἰακώβου πρὸς κύριον ἐκδημήσαντος, καὶ τῆς ἐπαρχίας χηρευούσης γνησίου ἀρχιερέως, καταβαρυνομένης μέντοι καὶ καμούσης βαρυτάτοις τοῖς χρέεσι καὶ τῇ ἄλλῃ ἀνοικονομίᾳ, κοινῇ καὶ συνοδικῇ γνώμῃ ἐκλεχθεὶς χειροτονεῖται μητροπολίτης Λαρίσσης· ἀπελθὼν οὖν εἰς τὴν ἰδίαν ἐπαρχίαν κατὰ τὸ πεντηκοστὸν ἔτος, καὶ πάντα καλῶς οἰκονομήσας καὶ τὸ ἐπικείμενον χρέος ἀνακουφίσας, πᾶσιν ἦν ἀγαστὸς καὶ ἐπίσημος καὶ παρὰ πάντων ἐπαινούμενος· ἦν γὰρ φιλάρετος, φιλάγαθος, φιλόμουσος, ἐπιεικής,

πρᾶος, ἀνεξίκακος, ἁπλοῦς, εὐθύς, προνοητικός, διδασκαλικὸς, οἰκονομικὸς μέν, ἀφιλάργυρος δέ, καὶ γενναῖος, κρείττων ἡδονῶν, καὶ τοῦ μοναχικοῦ βίου ἐχόμενος· διὸ καὶ τὰς προσευχὰς ἐπέτεινε καὶ νηστείας ἐφίλει, καὶ περιβολῆς ἧττον ἐφρόντιζε, καὶ τῶν ἱερῶν βιβλίων τῇ ἀναγνώσει ἐπέκειτο· ἤσκει δὲ πρὸς πάντας τὴν ἀγάπην, τὴν ταπείνωσιν, καὶ πολὺν εἶχε τὸν ἔνθεον ζῆλον περὶ τῆς ἀκριβείας τῶν θείων δογμάτων καὶ μυστηρίων, δι' ὃν μαλιστα εἰς τὸν οἰκουμενικὸν θρόνον ἐκάλουν οἱ προτρέποντες καὶ τούτῳ προσχόντες μᾶλλον ἴσχυον· ἀνεδύετο δὲ πρὸς τὸν τοιοῦτον ἀγῶνα, καλῶς ἐπιστάμενος τὸν καιρὸν καὶ συνεννοῶν τὰς δυσκολίας, καὶ διὰ μηνῶν ἓξ, ἐξ ὧν ἐγὼ οἶδα, ἀντέτεινεν ἀποφεύγων παντοίως· καὶ ὅτε ἑκὼν ἀέκων διεδέξατο δακρυρροῶν ἔλεγεν: ἀπέφυγέ με ὅπερ κατέλαβον, καὶ κατέλαβέ με ὅπερ ἀπέφευγον, ἀλλὰ γενέσθω ἐν πᾶσι τὸ θέλημα τοῦ ἁγίου θεοῦ. Γενόμενος δὲ οἰκουμενικὸς πατριάρχης ἐν τοιούτοις καιροῖς οὐδὲν τῶν καθηκόντων τῇ μεγάλῃ ταύτῃ ποιμαντορίᾳ ἠμέλησε, πασῶν τῶν ἐκκλησιῶν τοῦ θεοῦ κηδόμενος καὶ φροντίζων θεοφιλῶς, συντάσσων, διεγείρων, παραμυθούμενος, ὑποστηρίζων, ἐπαμύνων, προϊστάμενος, καὶ κατὰ τὸν Ἀπόστολον τοῖς πᾶσι πάντα γιγνόμενος, ἵνα πάντας ἐν Χριστῷ κερδίσῃ· διὸ καὶ παρὰ πάντων καὶ ἀρχιερέων καὶ ἱερέων, καὶ μοναχῶν, καὶ ἀρχόντων, καὶ κληρικῶν, καὶ παντὸς τοῦ λαοῦ ἠγαπᾶτο· ἐν δὲ τῇ χαλεπωτάτῃ κατ' αὐτοῦ διαβολῇ καὶ συκοφαντίᾳ τὸν περὶ ψυχῆς θέων, διόλου διετέλεσεν ἄτρεπτος καὶ ἀδεής, γενναῖος καὶ περιχαρής, αἰνῶν καὶ εὐλογῶν, καὶ δοξάζων ἀπαύστως τὸν δεσπότην Χριστόν· ἀλλὰ καὶ ἐν τῇ συστροφῇ καὶ σφαγῇ τῶν χριστιανῶν τῇ κατὰ Μιτυλήνην ὕστερον ἐπισυμβάσῃ ἐκ δειματουμένων τῶν Ὀτμάνων, πληγὰς καὶ τραύματα δεξάμενος ἐν πᾶσιν ἐδόξαζεν τὸν θεόν· ἀλλὰ καὶ προσαφαιρεθεὶς πάντα ὅσα εἶχε καὶ ἐν ἐσχάτῃ πενίᾳ ἐπιβιοὺς ἔχαιρεν εὐχαριστῶν τῷ θεῷ.

Ἤκμαζον δὲ ἐπὶ τῆς ἑβδόμης ταύτης δεκάδος τῆς δεκάτης ὀγδόης ἑκατοντάδος τῶν σωτηρίων ἐτῶν ἐν σοφίᾳ καὶ λόγοις ἐπισημότεροι.

Νικηφόρος ἱερομόναχος ὁ Θεοτόκης, Κερκυραῖος, ἐπιστημονικώτατος καὶ πάσης μαθήσεως ἔμπειρος· ἐδίδαξε πρῶτον ἐν τῇ ἰδίᾳ πατρίδι, ἔπειτα ἐν Ἰασίῳ τῆς Μολδαβίας, καὶ πολλὰ μὲν συνέγραψεν, ἐξέδωκε δὲ καὶ τὰ στοιχεῖα τῆς μηχανικῆς φιλοσοφίας ἑλληνιστί, καὶ ἄλλα πολλὰ ἐπιστημονικὰ μετέφρασε.

Διονύσιος ἱεροδιάκονος, Ἰθακήσιος, ἀνὴρ ἐπιστήμων καὶ πολυμαθὴς καὶ τῆς ἑρμηνείας τῶν Γραφῶν ἔμπειρος, καὶ τῶν ὀρθῶν δογμάτων ζηλωτὴς διάπυρος· διδάσκει τὰς λογικὰς τέχνας διερμηνεύων ἐπ' ἐκκλησίας τὰς ἁγίας Γραφὰς ἐν Μύκονι τῇ νήσῳ, ἐχόμενος τοῦ ὀρθοῦ λόγου καὶ διεκδικῶν κατὰ τῶν καινὰ καὶ ἀσύστατα ἐπαγόντων ἐν θεολογίᾳ καὶ ἐν φιλοσοφίᾳ τὰ δόγματα.

Κοσμᾶς ἱερομόναχος ὁ Μπαλάνος, Ἰωαννίτης, ἀνὴρ ἐπιστήμων καὶ πολυμαθής, διδάσκων ἐν τῇ ἰδίᾳ πατρίδι τὰς λογικὰς τέχνας καὶ ἐπιστήμας, καὶ ἐπ' ἐκκλησίας διερμηνεύων τὰς θείας Γραφάς.

Θεόφιλος Ἰωαννίτης, ἐπίσκοπος Καμπανίας, πολυμαθέστατος καὶ τῆς ἑρμηνείας τῶν θείων Γραφῶν ἔμπειρος, ἐπίσημος ἐν ἀρχιερεῦσι διά τε σοφίαν λόγων καὶ ἔργων ὀρθότητα· συνέγραψε διδασκαλίας καὶ χριστιανικὰς εἰσηγήσεις εἰς κοινὴν ὠφέλειαν.

Διονύσιος Λαρισσαῖος, ἐπίσκοπος Πλαταμῶνος, λογικῶν τεχνῶν καὶ ἐπιστημῶν εἰδημονέστατος, ἔμπειρος τῆς ἑρμηνείας τῶν θείων Γραφῶν, ἐπίσημος ἐν ἀρχιερεῦσι διά τε μάθησιν καὶ τρόπων εὐθύτητα, καὶ κηδεμονίαν τοῦ ἰδίου ποιμνίου.

Γεράσιμος Λέριος, Μετρῶν ἐπίσκοπος, πολυμαθέστατος καὶ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων εἰδημονέστατος καὶ τῶν θείων Γραφῶν τῆς ἑρμηνείας ἔμπειρος, ἐπίσημος ἐν ἀρχιερεῦσι διά τε

διδασκαλίαν καὶ τρόπου ἁπλότητα, καὶ φιλάδελφον καὶ συμπαθῆ πρὸς πάντας γνώμην, καὶ ἄκραν ταπείνωσιν, καὶ βίον διόλου ἀνεπίληπτον.

Κοσμᾶς ἱερομόναχος Αἰτωλὸς, ἐπιστήμων καὶ τῆς ἑρμηνείας τῶν θείων Γραφῶν ἔμπειρος· βίον ἐξασκήσας τὸν τελεώτερον, καὶ ζῆλον ἀποστολικὸν ἀναλαβὼν περιήει ἀποστολικῶς διδάσκων ἐκ τῶν θείων Γραφῶν· περιῆλθε δὲ καταρτίζων τὸν λαὸν τοῦ θεοῦ ἐπαρχίας τριάκοντα, ἐν αἷς σχολεῖα συνέστησε δέκα μὲν τῆς ἀρχαίας διαλέκτου καὶ τῶν ἐπιστημῶν, διακόσια δὲ μόνον τῆς ἀναγνώσεως τῶν λεγομένων κοινῶν, συνέτρεχε δὲ πλῆθος ἐκ τῶν πόλεων καὶ χωρίων ὅπου ἂν ᾖ καὶ ἐπηκολούθουν αὐτῷ· ἐτελειώθη δὲ μαρτυρικῶς ἐν Ἀλβανίᾳ, καὶ τοῦτον προσλαβὼν ἐδόξασεν ὁ Κύριος. Προκείσθω δὲ καὶ τὸ παρὸν ὑπόμνημα τοῦ μαρτυρίου αὐτοῦ.

Κοσμᾶς μαθητῶν τοῦ Χριστοῦ ζήλῳ θέων
Ὕδατα πολλὰ ἐκταράσσει τοῦ βίου,
Ὥς φησι θεῖος Ἀββακοὺμ μύστας λόγου·
Ρόῳ περάτῃ δ' ἐκπερᾷ ρόον βίου
Μάρτυς φαεινὸς ὡς ἀπόστολος νέος·
Φερωνύμως γὰρ ἐν λόγῳ κοσμῶν βίον,
Ἄμφωθ' ἱηρᾷ τῇ στολῇ ἐπαξίως
Ἔσπευδ' ἐπελθεῖν καὶ διδάξαι τὸν λόγον
Εἰς πάντα λαὸν, χώραν, ἔθνος, καὶ πόλιν,
Πιστοὺς παραινῶν, νουθετῶν, καὶ προτρέπων,
Λοιμοὺς ἀπείργων, ἀδίκων χειρῶν βίας,
Εἴ πως ἐπιστρέψειεν ἐξ ὁδοῦ πλάνης.
Ἐπαρχίας οὖν ὥστε τρὶς δέκα πάσας
Θείως ἐπελθὼν καὶ διδάξας πανσόφως,
Τέλος κατ' ἴχνος τῶν μαθητῶν τοῦ λόγου,
Μάρτυς τ' ἀληθὴς οὐρανῶν ἤρθη ἄνω·
Ἀπαγχονισθεὶς γὰρ ἐκρύβη ρείθροις ρόου

Γνώμῃ πονηρᾷ καὶ δίκῃ μιαιφόνῳ
Δεινοῦ τυράννου, Ἀλβανῶν τοῦ σατράπου,
Ὁμοῦ δόξαντος συμπράττειν τοῖς Ἑβραίοις,
Ὡς καὶ τάλαντα τάλας αὐτῶν ἐκλάβῃ,
Καὶ γὰρ πρόχειρα τοῖς μιαιφόνοις δῶρα,
Ὡς τ' ἀργύρια κατὰ Χριστοῦ δεσπότου.
Τοίνυν ὁ δεινὸς τύραννος καλεῖ πέμψας
Ὡς αὖθις αὐτῷ ἐντυχεῖν καλῶς θέλων·
Ὅμως κελεύει ἐκτανεῖν ἐρημίᾳ
Ἄγοντας αὐτὸν, καὶ λαθεῖν πανουργίᾳ,
Κτανόντας ῥίψαι ἐν ῥοαῖς τοῦ περάτου·
Φαίνει δ' ἄνωθεν οὐρανὸς πυρὸς στύλον,
Καὶ φῶς κατελθὸν οὐρανοῦ καταυγάζει,
Ὅπου ἔκειτο νεκρὸς ἀθλητοῦ, ξένος,
Εἰς θαῦμα πιστοῖς, τοῖς ἀπίστοις δὲ τρόμον,
Χριστοῦ τὸν αὐτοῦ δοξάσαντος μάρτυρα.

Ἐτελειώθη Αὐγούστου εἰκοστῇ πέμπτῃ τοῦ ͵αψοθ'. τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ἑβδομηκοστοῦ ἐννάτου.

Κοσμᾶς βῆ κατ' Ὄλυμπον ἀναρτηθεὶς ἐπ' ἰτείην.

Χριστόφορος μοναχὸς ἀσκητὴς ἐξ Ἄρτης, τὰς λογικὰς τέχνας καὶ ἐπιστήμας ἀπακριβώσας, τὸν ἥσυχον ἐν ὁσιότητι βίον προελόμενος τῇ διηνεκεῖ μελέτῃ τῶν θείων Γραφῶν σοφίαν ἐκτήσατο.

Βησσαρίων μοναχὸς ἀσκητὴς ἐκ Ῥαψάνης τῆς Θετταλίας, τὰς λογικὰς τέχνας καὶ ἐπιστήμας μετελθὼν, καὶ τὸν ἥσυχον ἐν ὁσιότητι βίον προελόμενος ἐν βαθυτάτῃ ἡσυχίᾳ καὶ διηνεκεῖ καὶ ἀπαύστῳ μελέτῃ τῶν θείων Γραφῶν τὴν θεωρίαν κατέλαβε.

Χρύσανθος ἱερομόναχος Αἰτωλός, ἀδελφὸς τοῦ ἀοιδίμου Κοσμᾶ, ἐπιστήμων πολυμαθής· πάντα δὲ ἀποδοὺς ὑπὲρ τῆς ἐν

Χριστῷ ἀγάπης τῶν ἀδελφῶν, καὶ ἑαυτὸν ἀπέδωκε τῇ χρείᾳ τῶν ἀδελφῶν· καὶ δὴ σχολεῖον κοινὸν ἐν Νάξῳ συστήσας ἀμισθὶ ἐδίδασκε λογικά, ἐπιστημονικά, τὸν εὐαγγελικὸν λόγον προθέμενος, δι' οὗ κατεκόσμει τὰ ἤθη, συνέστη τὰ ὀρθὰ δόγματα, ὑπερεκδικῶν τῆς ἀληθείας καὶ ἐκτίλλων τὰ πονηρὰ ζιζάνια διὰ πάσης ὁμιλίας.

Κύριλλος ἱερομόναχος ἐκ Φουρνᾶς τῶν Ἀγράφων, Θετταλός, εἰδήμων τῶν λογικῶν τεχνῶν καὶ ἐπιστημῶν, ἐκ παίδων μοναχικῶς ἀχθείς, καὶ διὰ βίου ἐν τῇ μελέτῃ τῶν θείων Γραφῶν σχολάσας, διὰ πάσης ὁμιλίας διδάσκων ἐν τῷ κοινῷ τοῦ ἁγίου Ὄρους τὴν πνευματικὴν καταρτίζει οἰκοδομήν, κοινὸς χρηματίζων διδάσκαλος πνευματικός.

Νικόλαος Μπάρκοσις, εἰδήμων πάσης ἐπιστήμης καὶ λογικῆς τέχνης, διδάσκαλος χρηματίσας τῶν υἱῶν τοῦ αὐθέντου Κωνσταντίνου Μουρούζη βοεβόδα.

Ἔτη		Μῆνες	Πατριάρχαι	Βασιλεῖς
1761	2	2	Ἰωαννίκιος Γ. ὁ ἀπὸ Χαλκηδόνος πρώην Ἰπεκίου.	Μουσταφ. Γ'.
1763	5	5,14 ἡμ.	Σαμουὴλ Α. ὁ ἀπὸ Δέρκων	
1768	-	5, 4 »	Μελέτιος ὁ Β'. ἀπὸ Λαρίσσης	
1769	4	7 -	Θεοδόσιος Β'. ὁ ἀπὸ Θεσσαλονίκης	

ΜΕΡΟΣ ΤΡΙΤΟΝ.

Ὁ μὲν οὖν κατὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ μαινόμενος κλύδων οὕτω κορυφωθεὶς καὶ προσρήξας, διερράγη περιθλασθεὶς καὶ κατευνάσας· ὁ δὲ παναγιώτατος οἰκουμενικὸς πατριάρχης κύριος Θεοδόσιος ἐπειλημμένος τῶν οἰάκων τοῦ θεοδμήτου μεγίστου τούτου σκάφους τῆς ἐκκλησίας, ἐν πραΰτητι καὶ ταπεινώσει, δεδοικὼς καὶ τρέμων καὶ ἀεὶ ἀφορῶν πρὸς τὸν κυβερνήτην Χριστόν, καὶ ἐν παντὶ ἐπικαλούμενος τὴν παρ' αὐτοῦ ὁδηγίαν

καὶ ἀντίληψιν, καὶ τὴν ὅλην τοῦ πλοίου σωτηρίαν, διΐθυνεν εἰς τὸν κατὰ σκοπὸν λιμένα τῆς ἄνωθεν κλήσεως ἐπιπλέων εὐμαρῶς τοῦ πολυταράχου τούτου καιροῦ τὰ κύματα· καὶ πρὸς μὲν τοὺς ἀρχιερεῖς ἀπέστειλε δι' ἐγκυκλίων προσέχειν ἐπιμελῶς ἐκ τῶν ποιούντων τὰ σκάνδαλα, τὸν δὲ λαὸν παρῄνει ἐν ὑπομονῇ καὶ τῇ εἰς θεὸν ἐλπίδι ἐργαζομένους τὸ ἀγαθὸν μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσι, καὶ μηδεμίαν διδόναι ἀφορμὴν τοῖς ζητοῦσιν ἡμᾶς κακοποιεῖν· ἐπεμελεῖτο δὲ καὶ τῆς ἄλλης εὐσταθείας τῶν ἐκκλησιῶν, καὶ τὰς χρείας ᾠκονόμει, καὶ πάντα ἐποίει ἐν συνέσει, τὸ εὐθὲς καὶ ἀγαθὸν ἐν πᾶσιν αἱρούμενος.

Ἐπεὶ δὲ ὁ σαλάκων Ἄρης ἐπλήγη καὶ ὁ κομπαστὴς Σεναχηρείμ, ὁ τότε ἀρχιστράτηγος καὶ ἐπίτροπος τῆς βασιλείας, τὴν ἐπὶ θάνατον κατεδικάσθη, συνεπαγόμενος καὶ ἐκ τῶν ἡμετέρων τόν τε μέγαν διερμηνευτὴν Νικόλαον Σοῦτζον μέγαν λογοθέτην τῆς ἐκκλησίας, καὶ τὸν ἡγεμόνα τῆς Μολδαβίας Γρηγόριον Καλλιμάχην, διετάραξε μὲν τὴν ἐκκλησίαν τοῦ Χριστοῦ ἐπὶ μέρος ἡ τοιαύτη ἄδικος περιπέτεια τῶν δύο τούτων λαμπροτάτων ἀνδρῶν, ἀλλ' οὐδένα μῶμον κοινὸν προσέθετο ἡ διαβολή, ὅτι τοῖς ὁμοδόξοις συνέπραττον, προδήλου οὔσης τῆς ἀδικίας ὡς δι' αἰσχύνην ἰδίων ἀτυχημάτων τούτους κατεδίκασαν, τὰ σφίσιν αὐτοῖς ἁμαρτήματα ἐργαζόμενοι· ἐπὶ τούτοις οὖν ἀδίκως θανοῦσι λυπούμενος πατρικῶς συνήργει καὶ συνέπραττεν ὑπὲρ τῆς σωτηρίας τῶν συνειλημμένων τούτοις ὁ παναγιώτατος κύριος Θεοδόσιος, καὶ οὐδὲ χρημάτων, εἴπερ τις ἦν χρεία, ἐφείδετο, καὶ παντὶ τῷ δεομένῳ ἕτοιμος ἦν.

Οἱ δὲ τῆς Ῥώμης θιασῶται τὴν ὕπουλον συμμαχίαν μετὰ τῶν Ὀθωμανῶν κατὰ τῶν ὀρθοδόξων προσχρώμενοι, θάρρει φιλικῷ ἐξῃτήσαντο καὶ αὖθις παρ' ἡμῶν ἀφελέσθαι τὰ προσκυνήματα τοῦ ζωοδόχου Τάφου, ἐλπίσαντες βεβαίως τυχεῖν· ὁ δὲ τῶν Ὀθωμανῶν μονάρχης διὰ τὴν ἐνεργουμένην σύμπνοιαν ἀποδεξάμενος τὴν μεσιτείαν, συνορῶν δ' ἄλλως τὸ βίαιον, καὶ

τὸ τυραννικὸν ἐκκλίνων διὰ τὴν πολλαχόθεν ἀνάγκην, ἐπηρώτα τὸν ἀρχιδικαστὴν καὶ ἀρχίθρησκον αὐτοῖς γνώμην κατὰ νόμον αἰτῶν· ὁ δὲ σκεπτέον εἰπών, καὶ ἐπεὶ ἄλλως οὐκ εἶχε μαθεῖν ἀκριβῶς ἢ παρὰ τῶν ἡμέτερων τὰ ἡμέτερα, ἐπυνθάνετο ἐν ἀπορρήτῳ τῶν αὐτῷ προσιόντων τινὰ εὐσεβῆ ἰατρόν, ὅπως ἡμεῖς ταῦτα κατέχομεν· ὁ δὲ περὶ αὐτῶν ἀκριβῶς εἰπεῖν μὴ ἔχων, προσετάγη μαθεῖν, ἀλλ' ἐν ἀπειλῇ μή τι ἔκπυστα ταῦτα γένηται· προσελθὼν οὖν ὁ εὐσεβὴς ἄρχων τῷ ἁγίῳ Πτολεμαΐδος κυρίῳ Σωφρονίῳ καὶ πάντα διασαφήσας, ἐπυνθάνετο τί ἂν εἴποι ὠφελείας ἐχόμενον· ὁ δὲ κατανοήσας τὴν ἀνάγκην, φρίκῃ συσχεθεὶς καὶ περιδείσας, ἐδεῖτο τοῦ εἰπόντος εὐθὺς ἀπελθεῖν, καὶ πάντα ἐξειπεῖν τῷ μακαριωτάτῳ Ἱεροσολύμων κυρίῳ Ἐφραίμ, καὶ μηδαμῶς φοβεῖσθαι, ὡς ἔκφορα γένοιτο τὰ λεγόμενα, καὶ οἵαν παρ' αὐτοῦ λάβῃ τὴν ἐντολήν, ταύτην ἐντελῶς καὶ προθύμως διενεργῆσαι· ὁ γὰρ κύριος ἐπέβλεψεν ἡμῖν εἰς ἀγαθά, καὶ ματαία ἡ ἐλπὶς τῶν δυτικῶν. Ἀπελθὼν τοίνυν καὶ ἐντυχὼν μόνος μόνῳ τῷ μακαριωτάτῳ πατριάρχῃ, διηγήσατο αὐτῷ ὅσα μυστικῶς ἐνεπιστεύθη αὐτῷ ὁ μεγαλοδωρότατος αὐθέντης καὶ ὑπέρτατος κριτής· ὁ δὲ ἐπὶ τῇ ἀνενδότῳ καὶ ἀναισχύντῳ τῶν δυτικῶν κακονοίᾳ ἐπιστενάξας καὶ τὴν αἴφνης μεταβολὴν τοῦ κρατοῦντος ἐκπλαγείς, κατέφυγεν εἰς θεὸν τὴν ἐξ ὕψους βοήθειαν ἐπικαλούμενος, μὴ δή, λέγων, αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές γε κύριε τῶν δυνάμεων, μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε καὶ τὰ σὰ περιέποντες ἴχνη ὁ θεὸς Ἰσραήλ! τοιαῦτα δὴ προσευξάμενος καὶ ἐπιστήσας, σύννους τε γενόμενος ἐξελὼν ἐκ τοῦ χαρτοφυλακείου τὸν κώδικα ἔχοντα τὰ ἀπ' ἀρχῆς μέχρι καὶ αὐτοῦ τοῦ μονάρχου Μουσταφᾶ βασιλικὰ ἀλληλένδετα γράμματα ἐπικυροῦντα ἡμῖν τὴν κτῆσιν τῶν ἱερῶν προσκυνημάτων ἐν Ἱεροσολύμοις, ἔνεγκε ταῦτα, ἔφη, ἐξ ὧν εἴσεται ὅσα δέοι μαθεῖν ὁ ἐπιεικέστατος ἡμῖν αὐθέντης. Ὅτε οὖν ἀνέγνω καὶ ταῦτα ἐξηκριβώσατο ὁ ἀρχιδικαστὴς

ἔγγραφον ἐποιήσατο τὴν ἀναφορὰν τῷ βασιλεῖ, ἀποφηνάμενος ὡς τὸ ἀφελέσθαι ἀφ' ἡμῶν τὰ ἱερὰ ἐν Ἱεροσολύμοις προσκυνήματα καὶ ταῦτα δοῦναι τοῖς λατίνοις παρ' αὐτῷ κεῖται, πλὴν οὔτε δίκαιον, οὔτε συμφέρον, οὔτε ἔνδοξον αὐτῷ ἐστι τοσούτοις βασιλεῦσι καὶ ἑαυτῷ ἀντιπράττειν. Οὕτως οὖν καὶ αὖθις τῶν ἐλπίδων ἐξέπεσον, καὶ τῶν ἱερῶν προσκυνημάτων ἀπέτυχον οἱ λατινόφρονες.

Ἐπεὶ δὲ τοῦ πρόσω ἀπέτυχε, καὶ Δακίας ἀπωθεῖτο ὁ ὀτμανικὸς Ἄρης, κατὰ Δακῶν παρασπονδήσας ἐξέμηνε, καὶ λεηλατῶν τοὺς ὑποφόρους ἠνδραποδίζετο, καὶ τὰ οἰκεῖα ξένα ποιούμενος καὶ διαρπάζων ὡς ἀλλότρια, τὴν ἰδίαν παράνοιαν ἐπὶ τὴν γνώμην μεθίστη τοῦ πάσχοντος, ἀσίδας ὀνομάζων, καὶ ἀποστάτας συκοφαντῶν· ἐντεῦθεν δὴ πλῆθος ἀθώων εἰς βασιλεύουσαν αἰχμάλωτοι ἤγοντο, καὶ πολλαχοῦ γῆς διεσπάρησαν· ἀλλ' ἐν τοιαύταις ἀνάγκαις καὶ περιστάσεσι τῆς εὐσεβείας ἐνίκα ὁ ζῆλος, καὶ ἡ κατὰ θεὸν ἀγάπη διέλαμπεν· οἱ γὰρ εὐσεβεῖς καὶ ὀρθόδοξοι ὑπὸ τὸ ὀθωμανικὸν κράτος πανταχόθεν θλιβόμενοι ἐπιρρίψαντες εἰς θεὸν πᾶσαν ἐλπίδα, οὐχ ὅπως εἰς τὰς ἀπαιτήσεις τῶν κρατούντων παραδόξως ἐπώρκησαν, ἀλλὰ καὶ θησαυροὺς εἰς τὴν ἐλευθερίαν τῶν ὁμοπίστων ἀδελφῶν ἐξεκένωσαν, καὶ τῶν ἀπαχθέντων αἰχμαλώτων ὀλίγοι διέλαθον, ὑπὲρ ὧν λύτρα οὐ κατεβάλοντο· οὐ γὰρ δὴ τοὺς εἰς ἀγορὰν προβαλομένους ἠλευθεροῦντο, ἀλλὰ καὶ ἐκ τῶν οἴκων ἐλάμβανον ἁδροτέρᾳ τῇ πράσει καὶ πλείοσι χρήμασιν ἐξωνούμενοι· οὐδεὶς γὰρ χρημάτων ὑπὲρ ἐλευθερίας τῶν ὁμοδόξων ἐφείδετο, οὐ πένης, οὐ πλούσιος, οὐκ ἰδιώτης, οὐκ ἄρχων, ἀλλ' ἰλαδὸν ἡμιλλῶντο, καὶ ἰδίᾳ προσεδαπάνει ἑτοίμως ἕκαστος καὶ ὑπερβαλεῖν τὸν ἕτερον κατεπούδαζε, καὶ περιηρεῖτο κόσμια γυναικῶν, καὶ παρθένων ἀγάλματα ἀπεδίδετο, καὶ νηπίων χρυσία ἁπαλαῖς ταῖς χερσὶν ὑπὲρ ἀδελφῶν ὑπὸ ψελλιζούσῃ τῇ γλώττῃ προτεινόμενα μητέρων ὑποθήκαις προσετίθει εὐσέβειαν.

Ταῦτα τοίνυν ὁρῶν κατετέρπετο ὁ παναγιώτατος κύριος Θεοδόσιος, δοξάζων τὸν κύριον καὶ δεόμενος, ἵνα περισσεύῃ τὴν εὐλογίαν αὐτοῦ καὶ χάριν εἰς τὸν εὐσεβῆ λαόν, καὶ τὸν κοινὸν ἔνθεον ζῆλον διεκκαίων τῷ αὐτοῦ ὑποδείγματι, ἕτοιμος ὢν καὶ τὴν ψυχὴν θεῖναι ὑπὲρ τοῦ καλοῦ ποιμνίου ὁ ποιμὴν ὁ καλὸς καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητής.

Τὸ μὲν οὖν ἑβδομηκοστὸν ἔτος προΐει ἀρξάμενον, ἔτος τοῦτο τὸ λαμπρότατον καὶ ἐπίσημον, ἐποχὴ μεγίστων πραγμάτων, ἀφ' ἧς τοσαῦται ἐθνῶν μεταβολαί, καὶ τῆς ὀρθοδόξου ἐκκλησίας περιφανεῖς θρίαμβοι· ἐν δὲ τοῖς Ὀθωμανοῖς μείζων ἦν ἡ συστροφὴ καὶ ἡ ἑτοιμασία τοῦ πολέμου ἐπίλεκτος· πανταχόθεν δὲ καὶ οἱ φόβοι, ὅτι καὶ διὰ θαλάσσης ἥκειν στόλος ἠκούετο, καὶ διὰ ξηρᾶς ἐπήρχετο καὶ ἐφηπλοῦτο θριαμβεύουσα ἡ τῶν Ρώσσων δύναμις· πλείους δὲ καὶ αἱ στρατιωτικαὶ ὕβρεις καὶ ἁρπαγαί, καὶ δύσχρηστοι αἱ ἐλπίδες, καὶ τὸ θράσος διάκενον, ἐξ ὧν ἐν τῷ πρὸ αὐτοῦ ἔπαθον. Ἦρος γοῦν ἐπιλάμψαντος, διήχει ἡ θάλασσα καὶ ἡ γῆ ἔστενε βαρυνομένη τῷ πλήθει τῶν ὅπλων, τῶν ἵππων, τῶν ἀνδρῶν, τῶν πλοίων καὶ τῇ ἄλλῃ παντοδαπῇ παρασκευῇ τοῦ Ἄρεως· ἐσείετο δὲ καὶ ἐθορύβει πᾶσα πόλις καὶ χώρα διά τε τῶν παρόντων τὴν δυσχέρειαν καὶ τῶν ἐπιόντων τὴν προσδοκίαν. Ἀλλ' ἐν πᾶσι τούτοις ἐχόμενος βεβαίας τῆς πρὸς θεὸν ἐλπίδος ὁ παναγιώτατος κύριος Θεοδόσιος, γενναίως προΐστατο τῶν ἐκκλησιῶν τοῦ θεοῦ, καὶ σὺν θεῷ ἀπεσόβει τὰς ἐπερχομένας πάντοθεν βλάβας, μηδαμῶς ἐκταρασσόμενος καὶ καταπτήσσων. Ἀλλ' οὔπω ἐπὶ τῶν Ἑλλαδικῶν λιμένων οἱ νέοι Ἀργοναῦται, καὶ Ἀργοναυτῶν εὐτολμώτεροι Ρῶσσοι προσωρμίσθησαν, καὶ τὰ παραθαλάσσια τῆς Ἠπείρου, τῆς Αἰτωλίας, καὶ Πελοπόννησος πᾶσα ἐπανέστη τὴν φιλτάτην ἐλευθερίαν ἀναζητήσουσα· τοῦτο δὴ συμπεσὸν κατεθρόησε καὶ τὸν παναγιώτατον κύριον Θεοδόσιον, καὶ τὴν μὲν ὀχλώδη καὶ ἀκέφαλον αὐτῶν ἐπανάστασιν εὐθὺς

καταστῆσαι οὐκ εἶχε, τῶν πλειόνων ἐκεῖ ἀρχιερέων τῇ ὁρμῇ τοῦ λαοῦ συναρπαγέντων, τὸ λοιπὸν γοῦν αὐτῶν περισῶσαι ἐσπούδαζεν, ἐπιστείλας εἰς Ἰωάννινα, και Ἄρταν, καὶ Ἀθήνας, ἐπιτιμῶν καὶ ἐλέγχων ἐκείνους τῆς ἀτάκτου ὁρμῆς, καὶ περιστέλλων τούτους εἰς τὰ δέοντα· ἔγραψε δὲ καὶ αὖθις ἐν πάσῃ κύκλῳ ἐπαρχίᾳ προσέχειν ἐπιμελῶς καὶ μὴ ἀνοήτως ἐμβάλλειν ἑαυτοὺς εἰς ἀνοσιώτατον κίνδυνον, ἐλπίσι ματαίαις παραλογιζομένους, μήτε καιροὺς διακρίνοντας, μήτε τοὺς ἐχθροὺς τῶν φίλων, καὶ τῶν ὑποκριτῶν τοὺς ἀληθεῖς διαγινώσκοντας.

Ἀλλὰ Πελοπόννησον ἤδη εἰπὼν πῶς ἂν ἀδακρυτὶ παρέλθοιμοι; τίς δέ μοι θρῆνος, καὶ πηγὴ δακρύων ἄρκιος; τίς δὲ λόγος εἰπεῖν ἱκανὸς, οἷα καὶ ὅσα κατ' αὐτὴν τότε ἐγένετο βαρβαρικῆς θηριωδίας καὶ ἀπανθρώπου ὠμότητος ὑπερβολὴν πᾶσαν παρελάσαντα; Ἡ μὲν οὖν ἀναστάτωσις κατ' αὐτὴν τὴν ἐκ τῆς συμφύτου ὁρμῆς πρὸς τὴν ἐλευθερίαν ἔσχεν ἀρχήν· ταύτην γὰρ κατιδόντες μᾶλλον ἐπίρροπον ἐν αὐτοῖς, δι' ἀφανοῦς σκευωρίας ἠρέθισαν, ὁποῖοι ποτὲ ἦσαν οἱ πρὸς ταῦτα παρορμῶντες καὶ διεγείροντες, φενακισμοῖς καὶ ἀπάταις πάντα λογισμὸν ἔμφρονα παρωσάμενοι καὶ εἰς τηλικοῦτον δολίως ἐμβαλόντες τὸν κίνδυνον· ἡ δὲ τῶν τοσούτων καὶ τοιούτων συμπάντων κακῶν ἡ καταβολὴ τὴν λῃστρικὴν καὶ ἀπηνεστάτην γνώμην τῶν Μανιατῶν οἶδε πηγήν. Τῶν γὰρ Ῥωσσικῶν βάρεων εἰς Ἀβαρῖνον περιπλεουσῶν καὶ πανταχόθεν περιόπτων οὐσῶν, σύμπας ὁ λαὸς ἅμα συνεκινεῖτο καὶ ἐθορύβει, καὶ ὡς εἶχεν ὡπλίζετο, χειρῶν μέντοι ἀδίκων οὐκ ἦρξεν, ἀλλὰ τῆς ἰδίας ἐλευθερίας ἐρῶν ἡγεμόνος ἐδεῖτο, καὶ στρατηγοῦ σώφρονος, ὥστε ἢ τὰ ἐπιόντα κακὰ ἐκφυγεῖν, ἢ τὸ ἐφιέμενον διαπράξεσθαι· ἀλλ' οἱ μὲν διαταράξαντες ἐπίβουλοι μᾶλλον φανέντες ἀπῴχοντο· οἱ δὲ συνίσταντο συστρεφόμενοι ἀκέφαλοι καὶ ἄναρχοι, καὶ ὅλως ἀσύστατοι, μηδέπω μεμαθηκότες μήτε ὧν δέοι φυγεῖν, μήτε ἅπερ ὤφειλον ἐξεργάσασθαι· πολλοὶ δὲ καὶ τῶν συνετῶν καὶ

πλουσίων καὶ ἀρχιερέων αὐτῶν, ἰδόντες τὴν ἄλογον καὶ ἀσύστατον τούτων ὁρμὴν φυγῇ εἰς τὰς νήσους διεσώθησαν· κατεβόων δὲ αὐτῶν καὶ οἱ ἐν τῇδε τῇ χερρονήσῳ Ὀθωμανοί, ἡγεμόνα ζητοῦντες ᾧ ἂν δόντες καὶ λαβόντες πιστὰ ὑποταγείεσαν· ἀλλ' ὁ ὄχλος οἰστρούμενος τῷ μύωπι τῆς κακεντρεχοῦς ἀλογίας, μηδένα χαλινὸν ἔχων, διέθεεν ὡς ἵππος ἐν πεδίῳ κροαίνων, ἀπολυθείς, μᾶλλον δ' εἰπεῖν διατεμὼν τοὺς δεσμοὺς τῆς ἐξουσίας, καὶ μήτε τὸ παρὸν συντάττειν ἐπίστατο, ἀνδρῶν στρατηγῶν μὴ παρόντων, μήτε τὸ ἐσόμενον ἐπισκέψασθαι οἷός τε ἦν· μετεφέρετο οὖν συμπίπτων, καὶ συνέθεε κυμαινόμενος, καὶ ἠστάτει συναθροιζόμενος, καὶ οὐδὲν τῶν δεόντων ἐποίει, οὐδὲ ποιεῖν εἶχε, πλὴν ἔχαιρεν ἐλευθερίας δῆθεν τυχών· ἐδόκει γὰρ ταύτης ἀπολαύειν, τῆς ἐξουσίας οὕτως ἀπολυθεὶς καὶ ἀφηνιάσας παραλογώτατα· ἐν δὲ τῇ τοιαύτῃ συστροφῇ καὶ ἀταξίᾳ εἰσπεσόντες οἱ Μανιᾶται ἀρχηγοί, οὐκ ἐλευθερίας ἀλλὰ κακῶν ἁπάντων ἐγένοντο, βαρβαρικὴν ὠμότητα καὶ λῃστρικὴν θηριωδίαν κατὰ τῶν Ὀθωμανῶν ἐπιδείξαντες, ἀνιλεῶς κατακόπτοντες, καὶ βαρβαρικῶς καὶ ἀπανθρώπως διατέμνοντες, καὶ κατασφάττοντες γέροντας ἀσθενεῖς, γυναῖκας ἐγκυμονούσας, παρθένους ἁπαλάς, νήπια ὑποτραυλίζοντα, πᾶσαν ἡλικίαν καὶ τάξιν, καὶ τῷ καθ' αὑτοὺς ὑποδείγματι πολλοὺς τῶν ἄλλων πράττειν τὰ ἴσα παρορμήσαντες.

Ἐντεῦθεν τοίνυν μανικὴ καὶ θηριώδης ἡ συστροφὴ καὶ ἡ ἐπανάστασις προώλης καὶ ἐξώλης ἐν τῇ Πελοποννήσῳ ἐγένετο· ταύτῃ δὲ προσχὼν ὁ τοῦ βασιλικοῦ στόλου τῶν Ρώσσων ἡγεμὼν Ἀλέξιος Ὀρλόφιος, ἐπειράσατο χρήσασθαι κατὰ τῶν ἐχθρῶν, ὑπὲρ τῆς τῶν ὁμοπίστων ἐλευθερίας· ὡς δὲ ταύτην ὀχλώδη καὶ ἀσύστατον κατέμαθε, δυσχρηστήσας παρῆκε, τὸν ἐχθρικὸν στόλον ἀναζητῶν. Οἱ δὲ τῶν κενῶν ἐλπίδων ἐκπεσόντες, οἱ μὲν Μανιᾶται εἰς τὰ ἴδια σπήλαια καὶ τοὺς δυσάντεις αὐτῶν αἰγίλωπας κατέφυγον, συνεπαγόμενοι πολλοὺς ἐκ τῶν

ἔξωθεν· οἱ δὲ εἰς τὰς Ἠπειρωτικὰς νήσους καὶ Κυθήραν ἐσώθησαν, οἱ πλείους δὲ ὡς πρόβατα, φεῦ μοι, σφαγῆς ἀπελείφθησαν. Οἱ γὰρ Ὀτμανοὶ ἐκ πάσης Ἀχαΐας καὶ Θετταλίας, συμπάσης Ἠπείρου καὶ τῆς ἐπέκεινα Ἰλλυρίδος ἀγεληδὸν συῤῥεύσαντες, μηδενὸς ἀνθισταμένου καὶ ἀντιβαίνοντος κατά τε τὸν Ἴσθμὸν καὶ τὴν παραλίαν ἑκατέρου τοῦ κόλπου, ὡς λύκοι αἱμοβόροι πολλῷ τῷ μέτρῳ ὑπερήλασαν τῶν Μανιατῶν τὴν ὠμότητα· οὐ γὰρ τοῖς μιαιφόνοις ἀπῆν ὅσα ποτὲ ἐφάνη χαλεπωτάτης ἀπηνείας καὶ ἀπανθρώπου γνώμης ἐπινοήματα, ἀλλὰ καὶ ὅσα οὐδέπω ἐν ἐφόδῳ ἐχθρικῇ χειρὸς καὶ γνώμης ὑπῆρξε τολμήματα προσεπενοεῖτο καὶ ἐξευρίσκετο, καὶ οὐδὲ κόρον εἶχε λαφύσσον αἱμάτων τὸ βάρβαρον· ἐλύσσα δὲ καὶ χρημάτων, καὶ τοῖς προκειμένοις μὴ ἐπαρκούμενον, ἀνερευνῶν τοὺς ἔχειν τι ὑπονοουμένους κατέκαιέ τε καὶ ὠβελίζετο ὡς μή τι λάθῃ κρυπτόμενον. Τοσαύτῃ γοῦν μανίᾳ τῶν ἀπανθρωποτάτων τελχίνων καταπορθουμένης πάσης πόλεως καὶ χώρας καὶ ἁπλῶς οἰκήσεως τῶν ἐν Πελοποννήσῳ χριστιανῶν, οὐδὲ τῶν ὀρέων τὰ κρησφύγετα καὶ ἀπόκρυφα ἄντρα καὶ διασφάγας καὶ μυχοὺς γῆς ἀνερευνήτους παρῆκαν, ἀλλὰ πάντα λεηλατοῦντες καὶ ληϊζόμενοι, ὅτε ἐκ πάσης ἡλικίας καὶ τάξεως αἱμάτων πλειόνων ἀθώων τοῖς ῥείθροις τὴν γῆν ἔβαψαν, καὶ πάντα πλοῦτον φανερὸν καὶ ἀφανῆ ἔκ τε τῶν ἱερῶν, καὶ τῶν ἁπλῶς οἴκων καὶ ἐξ ἑνὸς ἑκάστου συνήθροισαν ἔσχατον ἠνδραποδίζοντο. Ἀλλὰ ἐν οἷς φιλοχρηματοῦντες μᾶλλον ἐφιλανθρωπεύοντο οἱ βάρβαροι, τούτοις μᾶλλον οἱ δυστυχοῦντες ἐπωλοφύροντο, πατέρες τέκνων διαχωριζόμενοι, καὶ ἀνδρῶν τιμίων σώφρονες γυναῖκες ἀποσπώμεναι, ἀδελφοὶ τ' ἀδελφῶν στερούμενοι, καὶ νεογνὰ τέκνα τῶν μητρικῶν ὠλένων ἁρπαζόμενα, παρθένοι τε τρυφεραὶ τῶν θαλάμων ἐκπίπτουσαι, ὑπὸ χειρῶν βαρβάρων ἑλκόμεναι, συγγενεῖς συγγενῶν καὶ φίλοι φίλων καὶ οἰκείων οἰκεῖοι χωρὶς ἀπαγόμενοι καὶ καταδουλούμενοι· οὐ γὰρ ἐλύπει αὐτοὺς τὸ θανεῖν,

ὡς τὸ ἀπ' ἀλλήλων εἶναι καὶ παθεῖν τι τῆς εὐσεβείας ἀνάξιον, ὑπὲρ ἧς πάντα δεινὰ ἐκαρτέρησαν· οὐδὲ γὰρ ἐν τοσούτοις μυρίοις θανοῦσι τῆς εὐσεβείας τις ἐκπέπτωκεν.

Ἵνα δὲ μὴ τέλεον ἐρημώσῃ τὴν γῆν ἡ τῶν Ἀλβανῶν ἀπήνεια, ἀπέστειλεν ὁ βασιλεὺς ἀπολύων τὸν λαὸν τῆς ἐνοχῆς, ὥστε μηδένα τοῦ λοιποῦ ἐγκαλεῖν, ἀμνηστείαν συμπάντων τῶν κακῶν διακηρύττων καὶ βεβαιῶν· ἀπέστειλε δὲ καὶ ὁ παναγιώτατος κύριος Θεοδόσιος νέους ἀρχιερεῖς εἰς πάσας τὰς ἐπαρχίας τῆς Πελοποννήσου, διὰ βασιλικῶν γραμμάτων συνιστῶν εἰς περιποίησιν τοῦ ὑπολειφθέντος εὐσεβοῦς λαοῦ, καὶ ἀξιόλογον προστασίαν καὶ ὑπεράσπισιν ἰσχυράν, ὥστε καθ' ἕνα ἀποκαθιστάνειν εἰς τὰ οἰκεῖα, ἐξαιρουμένης τῆς βίας καὶ πλεονεξίας καὶ τῆς ἄλλης ἁρπαγῆς καὶ ἀδικίας τῶν Ὀθωμανῶν. Ταῦτα μέντοι καὶ ὅσα ἐφεξῆς ἐπηκολούθησεν ἐν τῇ ἐθνικῇ καὶ πολιτικῇ ἱστορίᾳ πάντα ἀκριβῶς καὶ εἰς πλάτος συγγέγραπται· τοσοῦτον δὲ ἐπὶ τῶν παρόντων εἰπεῖν ἄξιον, ὅτι ἐκ τῆς Μαΐνης πρῶτον ἀρξαμένης τῆς ἀδικίας κατ' αὐτὴν ὕστατα ἡ ἐκδίκησις γέγονεν· ἐντεῦθεν γὰρ παρορμηθέντες οἱ λοιποὶ Πελοποννήσιοι ἐλευθερίας μὲν ἀπέτυχον, ἔβλαψαν δὲ τοὺς συνοίκους Ὀθωμανούς· οἱ δὲ τοὺς Ἀλβανίτας ἀποδεξάμενοι καὶ δι' αὐτῶν πέραν τοῦ δικαίου τιμωρήσαντες, ὕστερον ὑπ' Ἀλβανιτῶν τὰ χείριστα ἔπαθον· τούτων δ' αὖ τελευταῖον διεφθορότων, καὶ ὑπὸ τῶν χριστιανῶν καὶ τῶν ἐκτὸς Ὀσμανλίδων κατακοπέντων καὶ λαβόντων τῆς κακίας αὐτῶν τὰ ἐπίχειρα, ὑπὸ ποινὴν ἔσχατον καὶ οἱ Μανιᾶται ἐγένοντο. Οὕτω τῆς δίκης ἐπὶ πάντα ὑβριστὴν ἐπεξεσιούσης, πᾶσα ἀνομία καὶ ἀδικία τιμωρεῖται καὶ κολάζεται πρὸς σώφρονα βίον τῶν συμβιούντων ἐθνῶν.

Κατ' αὐτὸ τὸ ἑβδομηκοστὸν ἔτος ἐν μηνὶ ἀπριλίῳ τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Ἐφραὶμ πρὸς κύριον ἐκδημήσαντος, συναινέσει, γνώμῃ, καὶ σπουδῇ, καὶ συνδρομῇ ἁπάντων τῶν ἁγιοταφιτῶν ἐκλεχθεὶς πατριάρχης ὁ μη-

τροπολίτης Πτολεμαΐδος κύριος Σωφρόνιος προεβιβάσθη εἰς τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον Ἱεροσολύμων, γενομένης κανονικῆς τῆς μεταθέσεως, καὶ φαιδροτάτης τῆς πανηγύρεως τῶν εὐσεβῶν χριστιανῶν· ὅσον γὰρ ἐλύπησε τοὺς ὑπὸ τὸν ἀποστολικὸν ἁγιώτατον θρόνον τῶν Ἱεροσολύμων εὐσεβεῖς, καὶ τοὺς ἐν τῇ μεγαλοπόλει ταύτῃ καὶ πολλοῖς ἄλλοις μέρεσιν ἡ στέρησις τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἀοιδίμου πατριάρχου Ἐφραίμ, τοσοῦτον εὔφρανεν ἡ κατὰ κοινὴν συναίνεσιν ἐκλογὴ καὶ διαδοχὴ τοῦ ἀποστολικοῦ τούτου θρόνου ἡ εἰς τὸν μακαριώτατον κύριον Σωφρόνιον, ἐπειδὴ ἀμφότεροι καὶ εἰς ἀρετὴν καὶ εἰς μάθησιν τὸ ἶσον εἶχον κλέος, καὶ πολλῆς τῆς εὐλαβείας καὶ ἀγάπης ἠξιοῦντο παρὰ πάντων τῶν εἰδότων, ἢ καὶ ἁπλῶς ἑωρακότων αὐτούς· οὕτω γὰρ κατάδηλος ἦν αὐτοῖς ἡ ἀρετὴ καὶ θαυμαστὴ ἡ περικεχυμένη χάρις.

Ἐπὶ τοῦ αὐτοῦ ἔτους ἦσαν οἰκοῦντες ἐν τῷ ὄρει τοῦ Ἄθωνος πρώην πατριάρχαι τρεῖς, ὅ, τε παναγιώτατος κύριος Κύριλλος ὁ Ε', καὶ κύριος Σεραφεὶμ ὁ Β', καὶ κύριος Σαμουὴλ ὁ πρῶτος· ἀλλ' ὁ μὲν παναγιώτατος κύριος Κύριλλος ἦν ἐφησυχάζων ἐν τῇ σκήτῃ τῆς ἁγίας Ἄννης καὶ ὁσίως ἐπιβιῶν καὶ ἀναβάσεις προβαίνων τὰς ὑψοποιοὺς εἰς θεόν· ὁ δὲ παναγιώτατος κύριος Σαμουὴλ δι' ἀδείας βασιλικῆς ἐπανῆλθεν εἰς Κωνσταντινούπολιν· ὁ δὲ κύριος Σεραφείμ, εἴτε φόβῳ τῆς κατ' αὐτοῦ γενομένης ἐν τῇ πατριαρχείᾳ διαβολῆς, εἴτε παραλογισμῷ ἑτέρῳ μὴ καθήκοντι, δραπέτης γενόμενος κατέφυγεν εἰς τὸν βασιλικὸν στόλον τῶν Ῥώσσων, ὅτε τὸ Αἰγαῖον περιέπλεε πέλαγος· ἀπελθὼν οὖν καὶ ἐντίμως ὑποδεχθεὶς ὑπὸ παντὸς τοῦ φιλοχρίστου στρατοῦ, καὶ δεξιωθεὶς ὑπὸ τῶν ναυάρχων καὶ τοῦ ἡγεμόνος, οὐκ ἐν τοῖς ἰδίοις ὁρίοις διέμεινεν, οὐδ' ἐπὶ τῶν αὐτῷ καθηκόντων ἔστη, ἀλλ' ἐγκυκλίους ἐπιστολὰς ἀνακλητικὰς εἰς τὴν ἀπ' ἀρχῆς ἐλευθερίαν καὶ προτρεπτικὰς εἰς ἀνταρσίαν ἐπιπέμψας εἰς τὰς κύκλῳ πόλεις καὶ νήσους διηρέθιζε τὸ ἑλληνι-

κὸν εἰς ἀποστασίαν, μηδαμῶς λογισάμενος ὡς ἀνοίκεια καὶ ἀπᾴδοντα τοῦ ἐπαγγέλματος αὐτῷ ἐποίει, καὶ τοῦ χαρακτῆρος ἀλλότρια, εἰς σφαγὰς καὶ φόνους διεγείρων τὸν λαόν, καὶ τοιαῦτα οἷα οὐδεὶς τῶν πρὸ αὐτοῦ ὀρθοδόξων καὶ ἀποστολικῶν πατριαρχῶν πώποτε τετόλμηκεν, οὐδὲ τολμῆσαι ἂν τὴν ἰδίαν ἀξίαν καὶ τάξιν τηρήσειεν, τῆς εἰρήνης διδάσκαλος καὶ τοῦ πραέος Χριστοῦ μαθητὴς γνωριζόμενος. Τί γὰρ καινὸν ξίφει καὶ πνεύματι; ἢ τί καὶ γραμμάτων τοιούτων ἔδει; ἔδει στρατηγοῦ ἡγεμόνος δικαίου καὶ σώφρονος, καὶ τύχῃ χρῆσθαι εἰδότος ἢ μαθεῖν θέλοντος· τοιαύτης γὰρ Ρωσσικῆς δυνάμεως καὶ ἑλληνικῆς ὁρμῆς εὐτυχήσας, πλείω καὶ μείζω ἂν ἐκατόρθωσεν· οὐκ ἔδει οὖν ἐκ μηδενὸς τρόπου τοιαῦτα γράφειν καὶ ἐπιστέλλειν τὸν κύριον Σεραφείμ, ἐπιλογισάμενον τὴν ἐκ τούτων καὶ ταῖς λοιπαῖς ἐκκλησίαις βλάβην· ὁ δὲ μηδὲν περὶ τούτων ὀρθῶς νοήσας, καὶ κακῶς βουλευσάμενος ἀπέστειλεν.

Ἧκον δὴ τὰ γράμματα καὶ εἰς Εὔριπον καὶ εὐθὺς λαβών τις ἀνήνεγκε τῷ τότε μητροπολίτῃ Εὐρίπου Γεδεών· ὁ δὲ περικλείσας τάχιστα δι' ἡμερῶν τεσσάρων ἀπέστειλεν εἰς Κωνσταντινούπολιν· λαβὼν οὖν ταῦτα ὁ παναγιώτατος κύριος Θεοδόσιος καὶ προσγράψας καταφορὰν προσήκουσαν κατὰ τοῦ Σεραφεὶμ ἀπέστειλε τῷ μεγάλῳ λογοθέτῃ τῆς βασιλείας, δι' αὐτῆς δηλοποιήσας τῷ κράτει, ὅτι ὁ κατεγνωσμένος καὶ απόβλητος τῆς πατριαρχείας Σεραφεὶμ ὁ ὑπὸ παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, μάλιστα παρὰ τῶν ἀρχιερέων μισούμενος διὰ τὴν πλεονεξίαν καὶ τὰς ἁρπαγὰς καὶ τὸν διάκενον αὐτοῦ τύφον εἰς ἔπαρσιν, τοιαῦτα κατεπεχείρησεν ἀνοηταίνων καὶ μάτην δοξομανῶν· ἀλλ' ἐκ τῶν τοιούτων αὐτοῦ ἐπιχειρημάτων οὐδεμία ταραχὴ καὶ βλάβη ἂν γένοιτο· καὶ περὶ τούτου αὐτὸς μετὰ τῆς περὶ αὐτὸν συμπάσης τῶν ἀρχιερέων συνόδου πάρεστιν ἐγγυητὴς ὑπὲρ παντὸς τοῦ εὐσεβοῦς λαοῦ ἐν τῇ νομίμῳ ὑποταγῇ. Ταῦτα τοίνυν μαθὼν ὁ πολυπράγμων μονάρχης,

ἐπῄνεσε τῆς ἀγρύπνου προσοχῆς τὸν παναγιώτατον κύριον Θεοδόσιον ἀποδεξάμενος τὴν παρ' αὐτοῦ περὶ τοῦ λαοῦ μαρτυρίαν· οὐ γάρ ποθεν πρότερον περὶ τούτου ἔλαβεν οὐδὲ μικρὰν εἴδησιν· τῇ δ' ἐφεξῆς πολλοὶ ταχυδρόμοι ἐφοίτων, καὶ μυρίαι ἀγγελίαι ἐπήρχοντο, καὶ κατεβόων τοπάρχαι, φρουράρχαι, δεκατευταί, κριταί, ὑποστράτηγοι, στρατηγοί, ἔπαρχοι, ἀνθύπατοι, σατράπαι καὶ ἡγεμόνες τοῦ πατριάρχου τῶν Ρωμαίων, μηδὲ εἰδότες οἱ πλείους διακρίνειν τὸν γράψαντα, ὅτι ἀνταρσίαν γενικὴν διεγείρει, καὶ τὸν λαὸν ἀποστατεῖν ποιεῖ διὰ γραμμάτων· ἀπέστειλε δὲ ὁ παναγιώτατος κύριος Θεοδόσιος καὶ ἐγκυκλίους ἁπανταχοῦ νουθετικὰς ἐπιστολὰς προτρέπων τὸν λαόν, ὥστε προσέχειν νουνεχῶς ἐκ τῶν ἀνοήτων τολμημάτων τῶν ἀπονενοημένων προσώπων, ἐξ ὧν ἕνα καὶ τὸν πατριαρχεύσαντα Σεραφεὶμ γινώσκοντας, ἀπορρίπτειν καὶ ἐξουθενεῖν, καὶ παρρησίᾳ κατακαίειν, εἴπου εἰς τὸ φανερὸν ἔλθωσι, τὰς διασπαρείσας ἀποστατικὰς αὐτοῦ ἐπιστολάς· συνεπέστειλε δὲ καὶ τὴν καθαίρεσιν αὐτοῦ, δι' ἧς ὡς ἀποστάτην καὶ ταραχοποιὸν καὶ δημεγέρτην καὶ ἄνδρα αἱμάτων ἡ ἐνδημοῦσα ἐν Κωνσταντινουπόλει ἱερὰ τῶν ἁγίων ἀρχιερέων σύνοδος μετὰ τῆς αὐτοῦ παναγιότητος ἀπεγύμνου πάσης ἱερατικῆς ἀξίας καὶ τάξεως καὶ ὅλως καθῄρε· καὶ ἐν ταῖς ἐκκλησίαις τῆς μεγάλης ταύτης πόλεως ἐδημοσίευσε καὶ προσέταξεν ἐν παντὶ τόπῳ ἀναγνωσθῆναι, ὥστε ἰδιώτην διόλου γινώσκοντας κατολιγωρεῖν, καὶ ἐξουθενεῖν ἀνυποστόλως, εἰ ἔτι διαταράττειν ἐπιχειροίη. Οὕτως οὖν συνετῶς οἰκονομήσας σὺν θεῷ διεσκέδασε καὶ τὴν ἐκ τῶν γραμμάτων τοῦ προπατριαρχεύσαντος Σεραφεὶμ κατὰ παντὸς τοῦ γένους βλάβην ὁ παναγιώτατος κύριος Θεοδόσιος.

Ἐκ δὲ τῆς τοιαύτης φυγῆς τοῦ πατριάρχου Σεραφεὶμ ἐζημιώθη καὶ τὸ κοινὸν τοῦ ἁγίου Ὄρους, τοῦ βασιλέως ἐκεῖ ἀποστείλαντος, καὶ τὴν ἀκίνητον περιουσίαν τοῦ φυγόντος ἐκτιμήσαντος, καὶ πρόστιμον οἱονεὶ ἀπροσεξίας τοῖς ἐκεῖ παροι-

κοῦσι θεμένου· οὐ γὰρ εἶχον καιρὸν ἐξωνεῖσθαι οἰκίας καὶ λίθων οἰκοδομάς· διότι κατεβαρύνοντο χρέεσι, συνεισφοραῖς τε καὶ ἀπαιτήσεσι, καὶ μυρίαις τῶν Θεσσαλονικέων Ὀθωμανῶν καταδυναστείαις. Ἀλλ' οἱ μὲν ἐν μοναστηρίοις οὕτως ἀπαιτούμενοι καὶ ἅπερ οὐκ εἶχον, ἐταλαιπώρουν, μηδ' ἐξιέναι καὶ ὡς ἔθος ἐλεημοσύνας παρὰ τῶν χριστιανῶν λαμβάνειν δυνάμενοι· οἱ δὲ ἐν ταῖς σκήταις διεφέροντο διά τινα μικρὰν μὲν κατ' αρχὰς ζήτησιν, ὕστερον δὲ διαφορὰν καὶ ταραχὴν οὐ μικρὰν καὶ σχίσμα ἐμποιοῦσαν.

Αὕτη δὲ ἦν περὶ κολύβων καὶ μνημοσύνων μερικῶν. Εἰώθεσαν γὰρ οἱ ἔξω τοῦ Ὄρους χριστιανοὶ τὰς ἐλεημοσύνας αὐτῶν διανέμοντες εἰς πτωχοὺς καὶ εἰς ἐκκλησίας καὶ μοναστήρια, διδόναι καί τινας εἰς τὰς σκήτας, ὑπὲρ ὧν οἱ ὁσίως ἐκεῖ βιοῦντες, ἀμειβόμενοι τῆς καλῆς γνώμης, προσευχὰς καὶ δεήσεις ποιοῦνται πρὸς κύριον, καὶ θανόντων τῶν ἐλεησάντων ὀνομαστὶ αὐτῶν μνημόσυνα. Ταῦτα γοῦν τὰ μνημόσυνα ἐποίουν οἱ ἀσκηταὶ ἀπ' ἀρχῆς ἐν σαββάτῳ, ὅτε ἡ ἐκκλησία καθόλου ἐνδιατάκτως ἐκτελεῖ τὰ κοινὰ τῶν ἐν εὐσεβεῖ τῇ πίστει τελειωθέντων μνημόσυνα, προθέντες τὰ νενομισμένα κόλυβα, καὶ ὀνομαστὶ μνημονεύοντες τῶν ἐλεημόνων ἐκείνων θανόντων καὶ ἰδίᾳ ὑπὲρ αὐτῶν εὐχὰς ποιοῦντες· ὤφειλον δὲ συνέρχεσθαι πάντες, καὶ μηδένα τῶν ἐλεημοσύνην λαβόντων ἀπιέναι, ὡς κατ' ὀφειλὴν συνερχόμενοι· ἐπεὶ δὲ ἐν σαββάτῳ συνέβαινεν ἀπεῖναι πολλούς, ὅτι ἐν τούτῳ καὶ εἰς Κάρας ἀπιέναι καὶ τὸ ἐργόχειρον τῆς ἑβδομάδος ἀπεμπωλεῖν εἰώθασιν, ἔδοξε τισι μεταθεῖναι τὰ μερικὰ μνημόσυνα, καὶ μετὰ τὴν συμπλήρωσιν τῆς θείας λειτουργίας ἐν τῇ κυριακῇ, ὡς ἐπὶ θανόντος ἀδελφοῦ προσεπιψάλλειν νεκρώσιμα, προτιθεμένοις κόλυβα, καὶ ὀνομαστὶ μνημονεύειν τοῦ προθανόντος ἐλεήμονος χριστιανοῦ εὐχομένοις ὑπὲρ αὐτοῦ· τοῦτο γοῦν καινοτομία τοῖς ἄλλοις ἐδόκει, καὶ τῆς καλῆς τάξεως ἀνατροπή. Εἶτα τῆς συζητήσεως προαγομένης,

οὕτως ἁμαρτῶδες καὶ ἔνοχον κρίματος, ὡς καὶ αἱρετικοὺς ὑπολαμβάνειν τοὺς τὴν τάξιν μεταποιοῦντας καὶ τὰς ἡμέρας τῶν μνημοσύνων ἐναλλάσσοντας.

Ἐντεῦθεν δὴ ἀρξάμενον τὸ ζήτημα ἐκοινοῦτο ἐν παντὶ ἡσυχαστηρίῳ, καὶ κατεθρόει πάντων τῶν ἐν τῷ ἁγίῳ Ὄρει τὰς ἀκοὰς καὶ διΐστη ἀπ' ἀλλήλων καὶ διεχώριζεν· ὥστε τοὺς μὲν σαββατίνους καὶ κολυβιστὰς ὀνομάζεσθαι· διεφέροντο δὲ περὶ αὐτῶν καὶ οἱ λογιώτεροι, καί τινες σοφιστικοῖς τοῖς ἐπιχειρήμασιν ἀντετοξεύοντο, καὶ γραφῆς ἐπειρῶντο καὶ παραλογισμῶν βάραθρα κατωρύσσοντο, καὶ διαβολῶν ὑπεφύοντο ἄκανθαι, καὶ φορά τις ζιζανίων παρέβαλλε, καὶ ἑσμὸς ἦν κακῶν· οὐ γὰρ ἐφ' ἑνὸς ἵσταντο τοῦ ζητήματος, ἀλλ' ἐν τοῖς κολύβοις τὰ πολλὰ συγκυκῶντες καὶ τὰ κόλυβα αὐτῶν διαποικίλλοντες, δικαίως κολυβισταὶ ἐκαλοῦντο, καὶ τῇ ἑτεροφυεῖ ἐπιμιξίᾳ αἱρετικῆς παροινίας παρεῖχον ὑπόνοιαν· τούτων οὖν οὕτως διαφερομένων ἔγραψαν οἱ τῶν ἱερῶν μοναστηρίων ἡγούμενοι καὶ προηγούμενοι καὶ ἱερομόναχοι καὶ ἁπλῶς ἅπαντες οἱ ἐν τῷ ἁγίῳ Ὄρει ἐφησυχάζοντες τῷ παναγιωτάτῳ οἰκουμενικῷ πατριάρχῃ κυρίῳ Θεοδοσίῳ καὶ τῇ περὶ αὐτὸν ἱερᾷ καὶ ἁγίᾳ συνόδῳ, δηλοποιοῦντες τὴν διαφορὰν τινῶν ἀσκητῶν περὶ τῶν μερικῶν μνημοσύνων, καὶ ἐπερωτῶντες ὅπως δεῖ ποιεῖν· ἀπεκρίνατο γοῦν ὁ παναγιώτατος διαγνώσει συνοδικῇ καὶ γνώμῃ τοῦ μακαριωτάτου Ἱεροσολύμων κυρίου Σωφρονίου, ὡς οἱ ποιοῦντες τὰ μνημόσυνα τῶν κεκοιμημένων ἐν σαββάτῳ καλῶς ποιοῦσιν, ἀλλὰ καὶ οἱ ἐν κυριακῇ ἐπιτελοῦντες οὐχ ἁμαρτάνουσι· καὶ νουθετῶν πατρικῶς παρεκελεύετο παύσασθαι τῶν ἀλυσιτελῶν διενέξεων, καὶ μὴ ἀκαίρως διαταράττειν τῶν εὐδρομούντων τὴν ἡσυχίαν, ἐπιχειροῦντας διόλου χωρίζειν τὴν μνήμην τοῦ θανάτου καὶ τῆς ἀναστάσεως ἀπ' ἀλλήλων· ὁ γὰρ θάνατος τοῖς εὐσεβέσιν ἐπ' ἐλπίδι ἀναστάσεως καὶ ἐκ θανάτου ἡ ἀνάστασις.

Εἰ δὲ καὶ ἡ ἀποστολικὴ θεόσοφος ἐκκλησία τὰ νοητὰ ἐν τοῖς φαινομένοις μυστήρια ἐν σοφίᾳ διδάσκουσα ἐπὶ τὰς ἡμέρας ἀνήγαγε τὰς μνήμας, καὶ τῶν κεκοιμημένων τὰ μνημόσυνα ἐν σαββάτῳ ποιεῖν εἴωθε, λῆξιν μὲν τῶν βεβιωμένων ἐν σαββάτῳ ὑπογράφουσα, ἀρχὴν δὲ τοῦ ὀγδόου, ὡς μετὰ τὸν ἑβδοματικὸν, τὸν λυόμενον τοῦτον καὶ μηδέποτε ἱστάμενον, τοῦ μὴ λυομένου καὶ ἀεὶ ἱσταμένου αἰῶνος τὴν ἑξῆς ἡμέραν τῆς ἀναστάσεως ποιουμένη, ἀλλὰ καὶ ταύτην τῇ ἑβδομάδι συντάττει, ἔτι ἐν ἡμῖν ἐνεργουμένην τὴν φθορὰν ὑποδεικνύουσα, οὐδ' ἀμιγῆ, οὐδὲ τελείαν ἔννοιαν τῆς ἀναστάσεως, εἴτουν ἀκαταλύτου ζωῆς, ἀλλ' ἐπ' ἐλπίδι ἔχουσιν· ὥστε ἐν τῷ παρόντι αἰῶνι, ἐν ἑορτῇ καὶ μνήμῃ τῆς τοῦ Κυρίου ἐκ νεκρῶν ἐγέρσεως ἐπισυντρέχει ἡ μνήμη τῶν ἐν εὐσεβεῖ τῇ πίστει τελειωθέντων ἐπ' ἐλπίδι τῆς κοινῆς ἀναστάσεως, καὶ ἐν τῇ καταπαύσει τοῦ βίου καὶ τῇ μνήμῃ τοῦ σαββατισμοῦ τῶν ἐν εὐσεβεῖ τῇ πίστει κεκοιμημένων, ἐπανατέλλει ἡ μνήμη τῆς ἐκ νεκρῶν τοῦ Κυρίου ἐγέρσεως, καὶ δι' αὐτῆς τῆς κοινῆς ἀναστάσεως· ὥστε οὐκ ἔστιν ἁπλῶς τὸ ἕτερον χωρὶς τοῦ ἑτέρου· διὰ τοῦτο καὶ ἐν σαββάτῳ ἐπὶ τῶν κεκοιμημένων μνήμῃ τῆς κυριακῆς ἀναστάσεως καὶ ἐν τῇ κυριακῇ οὐκ ἀπεικὸς ἐν τῇ μνήμῃ τῆς τοῦ Κυρίου ἐξεγέρσεως, ἀνάμνησις τῶν ἀπὸ βίου ληξάντων ἐπ' ἐλπίδι τῆς ἐκ νεκρῶν ἀναστάσεως διὰ τὴν Κυρίου ἀνάστασιν. Διὰ ταῦτα οὖν ἡ τοῦ Χριστοῦ ἐκκλησία ἔγραψε πρὸς τοὺς ἐν τῷ ἁγίῳ Ὄρει, ὅτι οἱ ποιοῦντες τὰ μνημόσυνα ἐν σαββάτῳ καλῶς ποιοῦσι καὶ οἱ ἐν τῇ κυριακῇ μετὰ τὴν ἑορτὴν τῆς ἀναστάσεως ἐπιτελοῦντες οὐχ ἁμαρτάνουσιν· ἀρχὴ γὰρ καὶ μέσον καὶ τέλος τῆς ἡμῶν ἀναστάσεως ἡ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν ἐκ νεκρῶν ἀνάστασις ἡ ζωηφόρος καὶ ζωοποιὸς πᾶσιν ἀνθρώποις.

Ἐν δὲ τῷ ἁγίῳ Ὄρει τῆς κοινῆς σχολῆς τῶν ἐπιστημῶν, ἐξ ὅτου ὁ μέγας Εὐγένιος ταύτην παρῃτήσατο, ὑποφθινούσης καὶ τῶν λογιωτάτων διδασκάλων καὶ φιλομαθῶν ἐν Κωνσταν-

τινουπόλει ἔρανον ποιησαμένων ὑπὲρ συστάσεως τῆς κοινολαμποῦς ταύτης λυχνίας, πολλὴν κηδεμονίαν καὶ πρόνοιαν καὶ προθυμίαν ἐπεδείξατο καὶ ὁ παναγιώτατος κύριος Θεοδόσιος, καὶ τὸ διδόμενον τῇ μεγάλῃ ἐκκλησίᾳ ἐτήσιον τοῦ ἐπισκόπου Ἐρισσοῦ καὶ ἁγίου Ὄρους τῇ σχολῇ αὖθις ἀπέδωκε, καὶ καθ' ἕκαστον ἔτος ἀποδίδοσθαι προσεκυρώσατο· ἠγάπα γὰρ τοὺς ἐναρέτους καὶ διὰ πολλῆς εἶχε τιμῆς τοὺς σοφούς, καὶ τὴν ἐκ τῶν καλῶν μαθημάτων καὶ τῆς σπουδῆς ὠφέλειαν κατώρθωσεν ἂν παντὶ τῷ γένει, εἰ μὴ ἐν δεινοῖς οὕτω καιροῖς τὰ τῆς ἐκκλησίας διέπων, παντοδαπαῖς ἀνάγκαις καὶ χρείαις περιεσπᾶτο.

Ἀλλ' εἰ καὶ αἱ χρεῖαι τῆς ἐκκλησίας πάμπολλαι ἦσαν καὶ αἱ δαπάναι συνεχεῖς διὰ τὸν καιρὸν, καὶ τὰ χρέη τῆς μεγάλης ἐκκλησίας ἐπληθύνθησαν εἰς χίλια τάλαντα, ἀλλὰ πάντα συνετῶς καὶ μετὰ φρονήσεως οἰκονομῶν ὁ παναγιώτατος κύριος Θεοδόσιος ἔφθασεν ἐπαρκῶν παντὶ τῷ δεομένῳ τῆς κοινῆς βοηθείας, καὶ τὸ κοινὸν χρέος ὑφῆκε μέχρι τῶν ἑπτακοσίων ταλάντων ἐλαττώσας, καὶ ἐπαινετὸς ἦν τῆς καλῆς οἰκονομίας, μάλιστα ἐν τοιούτοις καιροῖς, ὅτε τὰ εἰσοδήματα καὶ αἱ πανταχόθεν ἐκκλησιαστικαὶ εἰσφοραὶ τῶν ἐπαρχιῶν, αἱ μὲν ὠλιγώθησαν, αἱ δὲ πάντῃ ἐξέλιπον· καὶ πολλῷ μᾶλλον ἐπαινούμενος ἦν, ὅτι οὐδένα κατεβάρυνε τῶν ἀρχιερέων ἢ ἱερέων ἐν ἀπαιτήσεσι, οὐδὲ ἐλύπησε τῶν δεομένων ἐν χορηγίᾳ, ἀλλὰ τοὺς μὲν παρακαλῶν ἑτοίμους εἶχεν εἰς τὸ ἀγαθοποιεῖν, τῶν δὲ καταμαλάσσων τὴν σκληρότητα, συμπαθεῖν τοῖς δεομένοις ἐποίει, ἄλλοις δὲ τοῦ κοινοῦ τὴν χρείαν ὑποδεικνὺς ἐκίνει τούτους εἰς βοήθειαν, καὶ πάντας παντοίως συντελεῖν ἑκόντας τῷ κοινῷ παρεσκεύαζε, πᾶσι πράως ἐντυγχάνων καὶ πατρικῶς ὁμιλῶν καὶ μειλιχίως προσδιαλεγόμενος, ἐν ἁπλότητι καὶ ἀληθείᾳ τὸ κοινὸν συμφέρον διενεργῶν, ἕνα σκοπὸν ἔχων κατὰ θεὸν τοῦ κοινοῦ τὴν ὠφέλειαν· οὐδὲ γὰρ ἠγανάκτει, οὐδὲ κατωργίζετο τῶν ἀπολιπομένων ἐν τῇ κοινῇ συντελείᾳ, ἀλλὰ τῶν μὲν τὴν

ἰδίαν πτωχίαν, τῶν δὲ τοῦ καιροῦ τὴν ἀνάγκην αἰτιώμενος, πράως ἔφερε, παρακαλῶν αὐτοὺς ἐκ τῶν ἐνόντων συμπράττειν τῷ κοινῷ, καὶ μὴ τῆς κοινῆς ὠφελείας ἀμελεῖν· προσαπεπλήρου δὲ καὶ τὸν φόρον τῷ Ὀθωμανικῷ κράτει ὧν ἐπαρχιῶν καὶ μητροπόλεων ἐκράτησαν τὰ ἀήττητα καὶ ἀεὶ νικηφόρα ὅπλα τῶν Ῥώσσων νῦν, ὅτε καὶ διὰ θαλάσσης καὶ διὰ ξηρᾶς κατὰ κράτος ἐνίκησαν τὸν ἐχθρόν, καὶ ὁ μὲν σταυροφόρος καὶ θεοδόξαστος στόλος ἐμπρήσας καὶ καταποντίσας, ὑπαγαγὼν καὶ αἰχμαλωτίσας τὸ πολυπληθὲς καὶ πολύανδρον σμῆνος τῶν Ὀθωμανικῶν πλοίων, κύριος ἐγένετο τοῦ Ἀρχιπελάγους, καὶ πᾶσαν πέριξ νῆσον εἶχεν ὑφ᾽ ἑαυτόν, καὶ θαλάσσης ἐκτὸς Ἑλλησπόντου ἐκράτει· ὁ δὲ ἀρχιστράτηγος κόμης Ῥωμάνσοφος, ὁ ἥρως τοῦ νῦν αἰῶνος, τὸ μέγα θαῦμα τῶν ὁπλομάχων, ὁ φλογώδης κεραυνὸς καὶ ἄληκτος τρόμος τῶν ἀσεβῶν, καταπροπώσας τριάκοντα μυριάδας ἐπιλέκτων Ὀθωμανῶν δι᾽ ὀλίγων χιλιάδων ἀνδρῶν Ῥώσσων, κατεβύθισε καθάπαξ εἰς τὸν Ἴστρον τὸ βαρβαρικὸν θράσος, καὶ παρ᾽ ἑκάτερα τούτου ἔστησεν αἰωνίου δόξης τρόπαια· τότε ἄρα αἵ τε παρίστριοι ἐπαρχίαι, καὶ αἱ ἐν τῷ ἀρχιπελάγει τῆς τυραννίας τῶν Ὀθωμανῶν ἐλεύθεροι ἦσαν καὶ οὐκ ἔτι ὑποτελεῖν φόρους ὤφειλον· ἀλλ᾽ ἵνα μὴ σκανδαλίσῃ τὸν δεινὸν ἀπαιτητὴν ὁ παναγιώτατος, τὸν συνήθη φόρον ἀπεδίδου, μηδὲν παρὰ τῶν ἐκεῖ ἀρχιερέων λαμβάνων, μηδ᾽ ἀπαιτῶν, ἀλλὰ τὰ πάντα ἐν φρονήσει οἰκονομῶν· διὸ καὶ ὑπερεθαυμάζετο τῆς οἰκονομίας, καὶ τῷόντι ἐπαίνων τῆς ἀρετῆς ἦν ἄξιος.

Οὕτως οὖν καλῶς ᾠκονόμει τὴν ἔξω περιφορὰν τῶν ἐκκλησιῶν ὁ παναγιώτατος κύριος Θεοδόσιος· ἐπεμελεῖτο δὲ μάλιστα τῆς ἔνδον καλλονῆς, τῆς ἀκριβείας τῶν ὀρθῶν δογμάτων καὶ θεοπαραδότων μυστηρίων φροντίζων, καὶ τῶν ἀρίστων ἠθῶν τὴν διδασκαλίαν διενεργῶν. Ἐπεὶ δὲ τῇ εὐνοίᾳ τῶν δυναμένων τοῦ γένους ἐνισχύων ἦν ὁ τότε μητροπολίτης Προύσης Μελέ-

τιος, πρωτεύειν λόγῳ καὶ ἔργῳ ἤθελεν, ἤρξαντο καὶ αὖθις παραφύεσθαι σκάνδαλα, τῶν μὲν ἀπαρεσκομένων τῇ τούτου ἀκαίρῳ ὑπεροχῇ καὶ μὴ ἀνεχομένων τοῦ τύφου καὶ τῆς βαρύτητος τοῦ ἀνδρὸς, τῶν δὲ καὶ ἐγκαλούντων καὶ μεμφομένων, οἷς κατ' αὐτῶν εἶπε καὶ ἔδρασε, τῶν δὲ καὶ δεδοικότων, οἷς ἂν κατεπιχειρήσειεν, καὶ λοιδορούντων, οἷς ἐφωράθη προσπταίων· διενοοῦντο οὖν καὶ ἐσκέπτοντο οἱ ἀρχιερεῖς, ὅπως τοῦ οὕτω κοινοπραγεῖν τοῦτον ἐκστήσαιεν, καὶ κατ' αὐτὸν συστείλαντες μηκέτι ἐῷεν ὑβρίζειν, τὸ πολὺ τοῦ βάρους ἀφελόντες, καὶ τὸ περιττὸν τοῦ φυσήματος ἐκκεντήσαντες· καὶ δὴ τὴν σύντομον καὶ προδηλοτάτην ἰόντες, τὸν παναγιώτατον κύριον Σαμουὴλ ἐπεκαλοῦντο διά τε τὴν παροῦσαν χρείαν, καὶ τὴν ἐσομένην ὠφέλειαν· συνίσταντο γοῦν γνωμοδοτοῦντες οἵ τε ἐνδημοῦντες ἀρχιερεῖς, καὶ τῶν εὐγενῶν ἀρχόντων καὶ κληρικῶν οἱ πλείους, καὶ ποιήσαντες τὴν ἐκλογὴν κοινῇ γνώμῃ διέθεντο τὰ τῆς νέας πατριαρχείας πρὸς τοὺς κρατοῦντας, παραλαβόντες τοὺς οἰκείους αὐτῷ καὶ συγγενεῖς συνεργούς· ὁ δὲ μαθὼν τὴν κοινὴν ταύτην σπουδὴν καὶ γνώμην περὶ αὐτοῦ, καὶ τὸν ἥσυχον καὶ ἀπράγμονα τοῦ λοιποῦ βίον αἱρούμενος, λαθὼν ἐκρύβη ἐπὶ ἡμέρας· οἱ δὲ ἀναζητήσαντες καὶ εὑρόντες, καὶ τὴν κοινὴν σπουδὴν καὶ γνώμην καὶ ἐκλογὴν μὴ παριδεῖν ἱκετεύσαντες, ἀναγκαίαν καὶ ἀπαραίτητον αὐτῷ τὴν ἀνάληψιν τοῦ οἰκουμενικοῦ θρόνου ἀποδείξαντες παρέλαβον ἑκόντα ἀέκοντα καὶ συνοδεύσαντες παρέστησαν τῷ ἀνθυπάτῳ, λαβόντες τὰ συνήθη καββάδια, καὶ ἐπιστρέψαντες εἰς τὸ πατριαρχεῖον ἀνευφήμησαν τὸ δεύτερον οἰκουμενικὸν, πατριάρχην τὸν παναγιώτατον κύριον Σαμουὴλ τῇ δεκάτῃ ὀγδόῃ Νοεμβρίου τοῦ ἑβδομηκοστοῦ τρίτου ἔτους, παραιτησαμένου ἐγγράφως τὸν οἰκουμενικὸν θρόνον τοῦ κυρίου Θεοδοσίου, καὶ ἐγγὺς τοῦ πατριαρχείου ἐν τιμῇ καὶ ἀνέσει καὶ χορηγίᾳ ἐκ τοῦ κοινοῦ τῶν ἐξόδων κατ' οἶκον ἴδιον ἐφησυχάσαντος.

Ἦν δὲ ὁ παναγιώτατος κύριος Θεοδόσιος τὴν πατρίδα

Κρὴς, ἐκ παίδων τὸν μονήρη βίον ἀχθείς· γενόμενος δὲ ἐν τῇ ἰδίᾳ πατρίδι ἡγούμενος ἔν τινι μονῇ καὶ δυσαρεστήσας τῇ μοχθηρίᾳ τῶν κακεντρεχῶν ἐκ τῆς πίστεως ἐκεῖ ἀποστατῶν, ἀνεχώρησεν εἰς Κωνσταντινούπολιν καταφυγών. Ἐν ταύτῃ δὲ προεστὼς γενόμενος τῆς κατὰ Ἀδριανούπολιν ἐκκλησίας τοῦ ἁγίου Γεωργίου, καὶ τῆς συνέσεως καὶ εὐλαβείας καὶ ἄλλης αὐτοῦ ἀρετῆς πεῖραν δοὺς καὶ εὐδοκιμήσας, ἐπίσκοπος Ἱερισσοῦ καὶ ἁγίου Ὄρους χειροτονεῖται· ἔνθα διὰ πολλῶν χρόνων θεοφιλῶς ποιμάνας τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, πᾶσιν ἦν ἀρεστὸς τοῖς τε ἐκτὸς καὶ ἐντὸς τοῦ ἁγίου Ὄρους καὶ παρὰ πάντων ἐπαινούμενος· ἐπεὶ δὲ ἡ μητρόπολις Θεσσαλονίκης βαρυτάτοις τοῖς χρέεσιν ὑπέπεσε καὶ χηρεύουσα ἦν, καὶ ἀνδρὸς ἐδεῖτο ἐν ἀγαθῇ ὑπολήψει καὶ ἁδρᾷ τῇ χειρὶ οἰκονομήσαντος, ἐκλογῇ δικαίᾳ μητροπολίτης Θεσσαλονίκης γέγονεν· οἰκονομήσας δὲ καὶ τὰ τῆς μητροπόλεως θεαρέστως ἐν ἱκανῷ χρόνῳ καὶ τὰ χρέη ἐλαττώσας, πλείονα εἶχε τὸν ἔπαινον παρὰ τῶν αὐτοῦ ἐπισκόπων καὶ χριστιανῶν ἁπάντων ὑπεραγαπώμενος· ἐπανελθὼν δὲ εἰς τὴν Κωνσταντινούπολιν ἐντίμως καὶ τὸ εὐθὲς καὶ ἄπλαστον ἐν ἔργοις ἀγαθοῖς καὶ λόγοις φρονήσεως ἐπιδείξας, πᾶσιν ἀγαστὸς ἦν καὶ περισπούδαστος· διὸ τοῦ παναγιωτάτου κυρίου Μελετίου ἀπὸ φυλακῆς παραιτησαμένου τὸν οἰκουμενικὸν θρόνον, ἐκλογῆς προταθείσης, πάντες κοινῇ γνώμῃ οἵ τε ἐνδημοῦντες ἀρχιερεῖς καὶ οἱ εὐγενέστατοι ἄρχοντες καὶ κληρικοὶ τοῦτον πρὸ παντὸς ἄλλου προείλοντο οἰκουμενικὸν πατριάρχην ἐκλέξαντες· γενόμενος δὲ πατριάρχης ἐν τοιούτοις καιροῖς πᾶσαν ἐξέφυγε ταραχὴν καὶ ζημίαν, καὶ ὡς ἐν βαθυτάτῃ εἰρήνῃ διετέλεσε διενεργῶν τὰ καθήκοντα τῇ μεγάλῃ ταύτῃ ποιμαντορίᾳ καὶ ἡσύχως καὶ πράως οἰκονομῶν τὰ συμφέροντα μεγάλως ὠφέλησε τὸ κοινόν· ἦν γὰρ συνετὸς καὶ φρόνιμος καὶ βαθὺς τὴν γνώμην μᾶλλον ἢ ἐδόκει· ἁπλοῦς καὶ εὐθὺς τὸν τρόπον, φιλοδίκαιος, φιλάρετος, φιλάγαθος, ἄτυφος, ἀνεξίκακος,

πραότατος, πᾶσι πατρικῶς ὁμιλῶν καὶ ἀγαθοποιὸς εἶναι μᾶλλον ἢ δοκεῖν θέλων, λαμβάνων ἀλύπως καὶ δαπανῶν εἰς δέοντα, ἑτοιμότατος, φαιδρός, εὔελπις, εἰς θεὸν ἔχων πεποίθησιν ἀγαθήν, ἥσυχος, ἀτάραχος, περὶ πάντων τῶν ἀνηκόντων ταῖς ἐκκλησίαις ἐπιμελῶς φροντίζων· ἠγαπᾶτο γοῦν παρά τε τῶν ἀρχιερέων, καὶ ἱερέων, καὶ μοναχῶν, καὶ παντὸς τοῦ εὐσεβοῦς λαοῦ διά τε τὴν εὐθύτητα τοῦ τρόπου καὶ λόγων ἁπλότητα, μάλιστα διὰ τὴν ὑψοποιὸν ἰδιάζουσαν αὐτοῦ ταπείνωσιν, καὶ θεοφιλῆ πρὸς πάντας ἀγάπην, καὶ ἐν παντὶ δικαιοπραγίαν καὶ πρὸς τοὺς ἐν ἀνάγκαις φιλανθρωποτάτην συμπάθειαν καὶ εὐεργετικὴν προθυμίαν· διετέλεσεν οὖν ἐπὶ τὸν οἰκουμενικὸν θρόνον τέσσαρα ἔτη καὶ μῆνας ἑπτά, καὶ παραιτησάμενος μόνος παρέμεινε τῇ μεγάλῃ ἐκκλησίᾳ παροικῶν ἡσύχως, καὶ τὸ λοιπὸν ἐν ἀγάπῃ καὶ τιμῇ παρὰ τῶν ἐφεξῆς διαδόχων τοῦ οἰκουμενικοῦ θρόνου καὶ τῶν ἐνδημούντων ἁγίων ἀρχιερέων ἐπιβιούς.

Ἀναλαβὼν δὲ τὸ δεύτερον τὸν ἁγιώτατον ἀποστολικὸν οἰκουμενικὸν θρόνον ὁ παναγιώτατος κύριος Σαμουὴλ τῇ δεκάτῃ ὀγδόῃ τοῦ Νοεμβρίου τοῦ ἑβδομηκοστοῦ τρίτου ἔτους, ὡς εἴρηται, ἐπειρᾶτο κατὰ τὴν συνήθη αὐτῷ μεγαλουργίαν καὶ δραστηριότητα ἐκτελεῖν τὰ ἐπιβάλλοντα τῇ μεγάλῃ ταύτῃ ἀξίᾳ· καὶ δὴ ἐπιστείλας τὰς ἐγκυκλίους τῆς εἰδήσεως προὐκαλεῖτο πάντας ἀρχιερεῖς, ἡγουμένους καὶ ἁπλῶς τῶν κοινῶν φροντιστὰς ἐπιμελεῖσθαι τῶν καθηκόντων αὐτοῖς, καὶ εἴ τινος δέονται βοηθείας καὶ συνδρομῆς, θαρρούντως ἐξαιτεῖν, ὡς ἑτοίμης οὔσης ἐν πάσῃ κοινωφελεῖ πράξει, πάντων τὰς χρείας εἰς ἑαυτὸν ἀναδεχόμενος ὡς δυνάμενος ἐκπληροῦν· ἀπεώσατο δὲ καὶ τοῦ κοινοῦ τῆς μεγάλης ἐκκλησίας τοὺς δοκοῦντας φροντιστὰς καὶ κηδεμόνας, καὶ τὸν Προύσης Μελέτιον συνέστειλε, τὴν καλὴν τάξιν τηρῶν, καὶ μηδένα ἐῶν ὑπερπηδᾷν τῶν ἰδίων ὁρίων, καὶ ἑνὶ λόγῳ εἰπεῖν ὡς ἐπὶ τῆς πρώτης αὐτοῦ πατριαρχείας πάντα ποιεῖν ἤρξατο, καὶ τὰς ἴσας περὶ παντὸς ἐδίδου

ἐλπίδας, ἀγαθὴν ὑπόληψιν ἔχων, καὶ εὐνοίας ἀξιούμενος παρὰ τοῦ μονάρχου, ὥστε δυνατὸς εἶναι διενεργεῖν τὸ παριστάμενον· ἀλλ' οὔπω παρῆλθε δίμηνον, καὶ τοῦ βασιλέως τῶν Ὀθωμανῶν Μουσταφᾶ τοῦ γ΄. ζῆν λήξαντος ἰανουαρίου ι΄. τοῦ ἑβδομηκοστοῦ τετάρτου ἔτους, μοναρχήσαντος ἔτη δεκαὲξ καὶ μῆνας σχεδὸν τρεῖς, καὶ διαδεξαμένου τὸ κράτος τοῦ ἀδελφοῦ αὐτοῦ Ἀπδουλ-Χαμίτου, εὐθὺς πράγματα εἶχεν ὁ παναγιώτατος κύριος Σαμουήλ, ἐπί τε τῇ ἐναλλαγῇ τῶν νεωστὶ παραδυναστευόντων καὶ τῇ ἀστάτῳ καὶ ἀπαγεῖ τοῦ ἰσχύοντος ἐξ αὐτῶν ἐκδηλότητι· πάντα γὰρ εὐρίπιστα καὶ εὐμετάβλητα ἦν, ἔξωθεν τῷ ἀτυχεῖ αὐτοῖς πολέμῳ μεταρριπτούμενα καὶ ἔσωθεν τῇ γνώμῃ καὶ τῷ τρόπῳ τοῦ μονάρχου μεταβαλλόμενα καὶ πανταχόθεν ἀστατοῦντα. Τούτων οὖν οὕτως ἔτι φερομένων, ἐφρόντισεν ὁ παναγιώτατος τῶν νεωστὶ δυνατῶν παρὰ τὸν νέον δυνάστην τὴν εὔνοιαν ἐπισπάσασθαι, καὶ τοῦ ἔξω ἐν τῷ στρατοπέδῳ ἐπιτρόπου τῆς βασιλείας, καὶ γενικοῦ στρατηγοῦ θεραπεύειν τὴν γνώμην, ἀμελήσας τῶν πρότερον μάλιστα ἰσχυρῶν, ἐν οἷς ἦν καὶ ὁ τῆς βασιλείας ἀντικαγγελάριος· ἀλλ' ἐν οἷς ἐδόκει κατὰ λόγον ποιεῖν, ἐν τούτοις ἐσφάλη παρὰ λόγον ἀτυχήσας· προσδεῖ γὰρ πάντως καί τινος εὐκληρίας ἐν ἔργοις· ὁ γὰρ μέγας οὗτος τῆς βασιλείας λογοθέτης οὐχ ὅπως τὴν ἰδίαν ἀρχὴν τετήρηκεν, ἀλλὰ καὶ μείζονα δύναμιν παρὰ τῷ νέῳ βασιλεῖ προσεκτήσατο, καὶ πρακτικὸς ὢν καὶ πανοῦργος ἐν νεαραῖς καὶ ἀδιδάκτοις φρεσὶ τῶν νεωστὶ παραδυναστευόντων, πάντα ἦγε καὶ ἔφερε, καὶ δυσπετήσας τῆς ἐπὶ μικρὸν ὀλιγωρίας ἀδιαλλάκτως ἐπολέμει καὶ δολίως ἀντέπραττε πρὸς τὸν παναγιώτατον· τούς τε γὰρ ἐξ ἡμῶν ἄρχοντας, ὅσοι μάλιστα αὐτῷ προσέκειντο, κατ' αὐτοῦ τοῦ πατριάρχου ἐξεπολέμωσε, τάς τε πρὸς αὐτὸν ἀγομένας ἐκκλησιαστικὰς χρείας διέστρεφε καὶ τὰς δυνάμεις παρέλυε, καὶ κατελάλει εἴπου ἔτυχε, καὶ ἐβδελύσσετο ὁ βέβηλος τὸ σεμνὸν ὄνομα· τοιούτῳ τοίνυν συμπλακεὶς πο-

νηρῷ δαίμονι ὁ κύριος Σαμουὴλ κατεπάλαιε συνεχῶς καὶ ὡς οὐκ ἄλλος ἀντέτεινε σὺν Ἀθηνᾷ ἀντιτασσόμενος· ἤσχαλλε μέντοι καὶ σφόδρα ἐλυπεῖτο, ὅτι ὁ πονηρὸς τὰ βέλη ἐκ τῶν οἰκείων ἐτοξεύετο, καὶ περινοήσας πάντοθεν τὴν ἀνάγκην, ὡς ἀποστῆσαι οὐκ εἶχε, καίτοι καὶ χρήματα πάμπολλα δαπανήσας, ὀλιγωρεῖν ἐξεβιάζετο, καὶ δυσνοεῖν τῷ ἐπιτρόπω τῆς βασιλείας τοῦτον εἰδώς, ἐκεῖθεν ἀπέβλεπε τοῦ κοινοῦ ἐχθροῦ ἐπελθεῖν τὸν ὄλεθρον· καὶ διαθλήσας ἑξάμηνον, ὅτε ἡ κοινὴ εἰρήνη ὑπέλαμψε, καὶ εἰρηνοποιὸς ὁ ἐπίτροπος ἤρχετο, τότε μᾶλλον ἤλπισεν ἢ συντριβὴν τοῦ σκανδάλου, ἢ ἔλασιν τοῦ κακοῦ δαίμονος· ἀλλ' ἐλπίδες κεναί· διότι καθ' ὁδὸν μὲν ὁ ἐπίτροπος τέθνηκε, καὶ ὁ δυσμενὴς πάντα ἴσχυε καὶ κατεκράτει ὁ πολέμιος, καὶ οἱ συνεργοὶ κατελάλουν ἀνόσια καὶ ἀδίκως συνεκίνουν πάντας, ὥστε διεπράξαντο καὶ τοῦ οἰκουμενικοῦ θρόνου ἐξέωσαν αὐτὸν μετὰ ἔτος ἓν καὶ μῆνα ἕνα.

Κατ' αὐτὴν οὖν τὴν δευτέραν πατριαρχείαν οὐδὲν μέγα οὐδὲ τῆς αὐτοῦ φύσεως καὶ μαθήσεως ἄξιον κατώρθωσεν ὁ παναγιώτατος κύριος Σαμουὴλ, ἢ ὅτι πρὸς τοιοῦτον ἰσχυρότατον καὶ πανουργότατον τῶν μεγιστάνων ἀντιτασσόμενος, καὶ ἐν μησὶ δέκα ὑπ' αὐτοῦ δολίως καὶ πολυτρόπως διωκόμενος οὐδὲν φαῦλον ἔπαθε, πάντοθεν ἐκφεύγων τὰς ἐπικαιρείους λαβάς, οἷόν τις πολύτλας ἀθλητὴς καὶ γενναῖος ἀντίπαλος· κατεδαπάνησε μέντοι χρήματα πάμπολλα καὶ κατεβάρυνε τοὺς ἁγίους ἀρχιερεῖς ἔρανον πολυτάλαντον παρ' αὐτῶν συναλίσας, καὶ τελευταῖον ἔδοξεν ἡττηθῆναι καταστρατηγηθεὶς τῇ ἐκλογῇ τοῦ διαδόχου· οὐ γὰρ ἂν περιεγένοντο τῆς κοινῆς εὐλαβείας καὶ ὑπολήψεως τοῦ λαοῦ οἱ τούτῳ διαμαχόμενοι, οὐδὲ βέβαια καὶ συντελῆ ἦν αὐτοῖς τὰ ἐπιχειρήματα, εἰ μὴ τὸν μακαριώτατον Ἱεροσολύμων κύριον Σωφρόνιον ἀναδέξασθαι τὸν οἰκουμενικὸν θρόνον κατέπεισαν. Τούτου γὰρ διαδεξαμένου τὸν οἰκουμενικὸν θρόνον μετὰ τὸν Σαμουὴλ, ἐφησύχασαν ἅπαντες καὶ

ἀρχιερεῖς καὶ ἄρχοντες καὶ κληρικοὶ καὶ ὁ εὐσεβὴς λαός, καὶ αὐτὸς οὐκ ἔτι ἀντιπράττειν βουλόμενος ἡσύχως παρῴκησεν εἰς Χάλκην μίαν τῶν Κυανέων νῆσον, ἔνθα μικρὸν ἐπιβιοὺς πρὸς κύριον ἐξεδήμησεν ἀπαλλάξας τοῦ δέους τοὺς αὐτῷ ἀντιπολιτευομένους· διὸ καὶ μετὰ τὴν ἔξωσιν οὐκ ἐπαύοντο καταλαλοῦντες καὶ δι' ἀναφορῶν πρὸς τοὺς κρατοῦντας τὰ χείριστα ἀνοσιωτάτως καταψευδόμενοι, δεδοικότες μὴ καὶ αὖθις ἐπανέλθῃ εἰς τὸν θρόνον καὶ ἀδίκου χειρὸς καὶ γλώττης δίκας ἐκτίσωσιν.

Οὕτως οὖν καταπολεμηθεὶς ὁ παναγιώτατος κύριος Σαμουὴλ ἐξώσθη τοῦ οἰκουμενικοῦ θρόνου τῇ εἰκοστῇ τετάρτῃ τοῦ Δεκεμβρίου τοῦ ἑβδομηκοστοῦ τετάρτου ἔτους· οἱ δὲ ἐνδημοῦντες ἀρχιερεῖς καὶ εὐγενέστατοι ἄρχοντες καὶ κληρικοὶ συνελθόντες κοινῇ γνώμῃ ἐξελέξαντο οἰκουμενικὸν πατριάρχην τὸν μακαριώτατον Ἱεροσολύμων κύριον Σωφρόνιον, καὶ ἀπελθόντες οἱ πρόκριτοι τῆς ἱερᾶς συνόδου καὶ τῆς εὐγενοῦς ὁμηγύρεως προσεκύνησαν, τὴν κοινὴν ψῆφον καὶ γνώμην πάντων καὶ ἐκλογὴν διαγγέλλοντες· ὁ δὲ διαταραχθεὶς ἐπὶ τῇ ἀγγελίᾳ καὶ δακρύσας, μὴ ἱκανὸν ἑαυτὸν ὡμολόγει πρὸς τὴν τοιαύτην ὑπεροχὴν καὶ ἐδέετο πρὸς ἄλλον ἀπιδεῖν, καὶ αὐτὸν ἀπολῦσαι ταύτης τῆς ψήφου, καὶ διαριθμῶν τὰς κεφαλαιωδεστέρας χρείας τοῦ οἰκουμενικοῦ θρόνου πρὸς οὐδεμίαν αὐτάρκην ἑαυτὸν ἔλεγε, φύσεως καὶ ἀγωγῆς καὶ τρόπου μὴ λαχὼν πολυπράγμονος· οἱ δὲ προσκείμενοι καὶ ἐκλιπαροῦντες ἱκέτευον μὴ παριδεῖν τὴν κοινὴν ἐκλογήν, ὡς ἀνάγκης ἐπικειμένης καὶ πρὸς τὰς χρείας ἑαυτοὺς αὐτῷ ἔδιδον, ὑποσχόμενοι πάντα ὑπουργεῖν, συνεργεῖν καὶ ἐν ἅπασι χρῆσθαι, ὡς ἂν δέοι, διὰ τὴν κοινὴν ἁπασῶν τῶν ἐκκλησιῶν ὠφέλειαν· ἐπεὶ δὲ κατενόησεν ὡς διὰ πολλοῦ ἐξητασμένη καὶ κοινοπραγὴς ἦν ἡ ἐκλογή, καὶ ἐξειργασμένη ἡ κοινὴ ψῆφος, καὶ ἡ γνώμη ἀνηνεγμένη τῷ κράτει, καὶ ἡ ἀπόφασις ἀπαραίτητος, κατένευσεν ἐπειπὼν γε-

νέσθαι τὸ θέλημα τοῦ κυρίου· μέμνησθε δ' οὖν ὅσα ἤδη ἐτάξατε· οὐ γὰρ ἐμοὶ ἀλλὰ θεῷ τὰς ὑποσχέσεις ἐποιήσατε! Τοίνυν παραλαβόντες αὐτὸν οἱ ἀρχιερεῖς καὶ κληρικοὶ τῇ ἐφεξῆς εἰκοστῇ πέμπτῃ Δεκεμβρίου, πρώτῃ δὲ καὶ ἀρχῇ τοῦ ἑβδομηκοστοῦ πέμπτου ἔτους, ἀφ' ἧς τῶν σωτηρίων ἐτῶν ἀνατέλλει ἡ κοσμοχαρμόσυνος ἡμέρα, παρέστησαν τῷ ἐπιτρόπῳ τῆς βασιλείας, καὶ λαβόντες τὰ συνήθη καββάδια ἐπέστρεψαν εἰς τὸ πατριαρχεῖον μετὰ πολλῆς συνδρομῆς τοῦ λαοῦ, καὶ ἀμυθήτου κοινῆς χαρᾶς, καὶ γενομένης τῆς μεταθέσεως ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ὡς νενόμισται, ἀνευφήμησαν αὐτὸν οἰκουμενικὸν πατριάρχην.

Μετατεθέντος δὲ εἰς τὸν οἰκουμενικὸν θρόνον ἀπὸ Ἱεροσολύμων τοῦ κυρίου Σωφρονίου, ψήφων κανονικῶν γενομένων, κοινῇ ἐκλογῇ, γνώμῃ, συναινέσει καὶ σπουδῇ τῶν ὑπὸ τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον τῶν Ἱεροσολύμων μητροπολιτῶν καὶ ἀρχιερέων, πρωτοσυγκέλων καὶ ἱερομονάχων καὶ μοναχῶν καὶ ἁπλῶς ἁπάντων τῶν ἁγιοταφιτῶν ἐκλεχθεὶς προεβιβάσθη εἰς τὸν ἁγιώτατον ἀποστολικὸν τοῦτον θρόνον ὁ πανιερώτατος καὶ θεοπρόβλητος μητροπολίτης Καισαρείας τῆς Παλαιστίνης κύριος Ἀβράμιος ἐν μηνὶ Ἰουνίῳ τοῦ ἑβδομηκοστοῦ πέμπτου ἔτους.

Ὁ μὲν οὖν εὐσεβὴς λαὸς ἔχαιρε καὶ ἠγαλλιᾶτο σφόδρα ἐπὶ τῇ μεταθέσει καὶ ἀναρρήσει τοῦ παναγιωτάτου κυρίου Σωφρονίου ἐπὶ τὸν ἁγιώτατον ἀποστολικὸν οἰκουμενικὸν θρόνον, λίαν τεθηπὼς ἐπὶ τῇ ἀγλαΐᾳ τῶν αὐτοῦ ἀρετῶν, καὶ ὁρᾷν καὶ ἀκούειν διψῶν καὶ ἐφιέμενος, ἐκπληττόμενος ἐπὶ τῇ συνέσει τῶν αὐτοῦ λόγων καὶ θελγόμενος τῇ αἱμυλίᾳ καὶ ἡδύτητι τῆς διδασκαλίας καὶ παραινέσεως· εἶχον δὲ καὶ οἱ ἅγιοι ἀρχιερεῖς χρηστὰς τὰς ἐλπίδας περί τε τοῦ κοινοῦ, καὶ ἐπαρχίας ἑκάστης, καὶ ὅλως εἰπεῖν περὶ πάσης ἐκκλησίας καὶ παροικήσεως, ἀφορῶντες εἴς τε τὸ παντελῶς ἀκτῆμον καὶ τὸ εὐθὲς τοῦ τρό-

που καὶ τὸν ἀπ' ἀρχῆς ἔνθεον ζῆλον τοῦ ἀνδρὸς πρὸς διδασκαλίαν καὶ νουθεσίαν καὶ κατάρτησιν ὁλικὴν τῶν εὐσεβῶν· συνέχαιρον δὲ καὶ τῶν εὐγενῶν καὶ ἀρχόντων ὅσοι ἄγευστοι ἦσαν τοῦ δολεροῦ κράματος καὶ καθαροὶ τὴν γνώμην καὶ ἄμεμπτοι τὴν προαίρεσιν, καὶ προσεδόκουν ἰδεῖν ἐν τῇ ἐκκλησίᾳ χρηστότερα· διὰ μακροῦ γὰρ ἐπὶ τὸν οἰκουμενικὸν θρόνον οὐχ ἑωράκασιν ἄνδρα τοιοῦτον ὅσιον, ἄκακον, πρᾶον, ἀκτήμονα, διδακτικόν, σοφὸν καὶ ἐπιστήμονα, πάντοθεν διὰ βίου ἀρετῇ συγκεκροτημένον καὶ διόλου ἀπροσπαθῆ, καὶ πάντες εὐλόγως ἤλπιζον ἐν τῇ ἐκκλησίᾳ τὰ χρηστότερα, δι' ἃ καὶ αὐτὸς ὁ παναγιώτατος κύριος Σωφρόνιος ἐπείσθη ἐνδοὺς τῇ κοινῇ προσλιπαρήσει καὶ τὸ τηλικοῦτον ἀνεδέξατο βάρος πεισθεὶς τοῖς λόγοις καὶ ταῖς ὑποσχέσεσι, μάλιστα τῶν προσκειμένων καὶ ἐκλιπαρούντων ἀρχόντων, συνορῶν τοσαύτην προθυμίαν, σύμπνοιαν καὶ συνδρομὴν πάντων τῶν δυνατῶν καὶ πλουσίων καὶ δόξας ταύτην κατὰ θεὸν καὶ ὑπὲρ τῆς ἐκκλησίας εἶναι· ἀλλ' ἔλαθεν ἐμπεσὼν ἐν πονηρῷ ἀμφιβλήστρῳ, καὶ ἑάλω δικτύοις, οἷς καὶ σοφὸς ὢν οὐκ ἠνόησε, καί γε οὐκ ἀπεικός· σοφώτεροι γὰρ οἱ υἱοὶ τοῦ αἰῶνος τούτου ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς ἐν τῇ γενεᾷ αὐτῶν· συνῆκε μὲν οὖν, ἀλλ' ὀψέ, ὅτε πάντοθεν συνεσχέθη, καὶ ἄνευ κακῶν διαρρήξας τὰς σχοίνους αὐτῶν οὐκ εἶχε· οὐδὲ γὰρ ῥᾳδίως ἄν τις ὑπολάβοι τοσούτους εὐσέβειαν ὑποκρινομένους, ὅτε περὶ τῶν συμφερόντων ταῖς ἐκκλησίαις ἡ πᾶσα μέριμνα ἦν, καὶ αἱ ὑποσχέσεις ἐνώπιον θεοῦ· καὶ ταῦτα ἀνέκαθεν αὐτῷ εὐλάβειαν ἐπιδεικνύμενοι καὶ ἀγάπην προσμαρτυροῦντες διεβεβαιοῦντο ἐνόρκως πᾶσαν ἔχειν σπουδὴν διὰ τὴν κοινὴν ὠφέλειαν, ἧς κατὰ θεὸν ἐρῴη καὶ συμπράττειν διακελεύοιτο.

Ὑπὲρ ταύτης γοῦν τῆς κοινῆς ὠφελείας φροντίζοντες δῆθεν, διεῖλον εἴς τε τὸ ἐξωτερικὸν καὶ ἐσωτερικὸν τὴν πατριαρχικὴν διοίκησιν, νέον ἐξευρόντες τὸ σύστημα, καὶ τὸ μὲν ἐσω-

τερικὸν παρῆκαν τῷ παναγιωτάτῳ, τὸ δὲ ἐξωτερικὸν ὡς ἂν εἶπον, καθ᾽ ἑαυτοὺς ἀναλαβόντες οἱ καλοὶ ζηλωταί, ἵνα τῶν περιττῶν ἀπαλλάξωσι τὸν παναγιώτατον, ἐψηφίσαντο καὶ κατέστησαν ἐπιτρόπους τοῦ κοινοῦ ἔκ τε τῶν δημοτικῶν καὶ ἀρχόντων καὶ ἀρχιερέων εἴκοσι, καὶ τούτους ὀνομαστὶ κατεγράψαντο· τοιοῦτον ἄρα διαπλάσαντες ἄγαλμα καὶ διαγράψαντες τὸ ἐφεύρημα καὶ παντοίαις ἔξωθεν εἰς κάλλος ἐπιχρώσαντες ταῖς βαφαῖς, παρέστησαν τῷ παναγιωτάτῳ καὶ τῇ ἁγίᾳ καὶ ἱερᾷ συνόδῳ, αἰτούμενοι τὴν ἀποδοχὴν καὶ καθίδρυσιν καὶ ἰσχὺν παρ᾽ αὐτῶν καὶ κυριότητα. Διημφισβήτουν οὖν οἱ ἅγιοι ἀρχιερεῖς καὶ ὑπώπτευον τὸν δούρειον, καὶ ὤκνουν μὲν συγκαταθέσθαι καὶ ἀποδέξασθαι οἱ πλείονες, ἀπειθῆσαι δὲ ἢ διασμιλεῦσαι τὸ κίβδηλον, ἢ περιελεῖν τὴν φενάκην ὅλως οὐκ ἀπετόλμων· οἱ δὲ τὰς ἐκ τοῦ τοιούτου συστήματος ὠφελείας καταλέγοντες καὶ τὴν ὅλην τῆς ἐκκλησίας πλαττομένην βελτίωσιν, πολέμιον τοῦ κοινοῦ καὶ ἐχθρὸν προδηλότατον ἀπεφαίνοντο τὸν διασεῖσαι τοῦτο πειρασόμενον, ἢ ἀπωθῆσαι καὶ μὴ παραδέξασθαι τολμήσοντα, ἐπαπειλοῦντες, ὡς εἴ τις φωραθείη ἐναντιούμενος τούτῳ πολεμίῳ χρήσονται, ὡς προδήλως μαχομένῳ τῷ κοινῷ συμφέροντι. Ἐκ τούτων οὖν διέγνωσαν, καὶ οὐκ ἔτι ἐδίσταζον τί ποτ᾽ ἂν ᾖ τὸ ὑψούμενον ὀχύρωμα, ἀκρόπολιν τυραννίας καθορῶντες· ἀλλ᾽ ἀντισχεῖν τῇ τοσαύτῃ ὀχλώδει ὁρμῇ μὴ δυνάμενοι, τοῦ παναγιωτάτου μὴ συνεξορμῶντος, καὶ τοῦ τότε Νικομηδείας Νικηφόρου καὶ Προύσης Μελετίου καί τινων ἄλλων συναινούντων τοῖς ἀρχιτεκτονοῦσιν ἄρχουσιν, ἄκοντες μέν, πλὴν κακῶς ἐνέδωκαν στέρξαντες καὶ ἀποδεξάμενοι τὰ προβαλόμενα.

Ἐπὶ τούτοις οὖν προέτεινον συγγράψαντες οἱ φαινόμενοι ζηλωταὶ καὶ εἰς ἄρθρα διελόντες συμφωνητικὸν γράμμα, ἐν ᾧ παρῃτοῦντό τινας ἀπαιτήσεις παρὰ τῶν ἁγίων ἀρχιερέων, δηλονότι ἐράνους καὶ συνεισφοράς, ἵνα τι καὶ χαρίζειν αὐτοῖς δό-

ξωσι δελεάζοντες· ἀλλὰ τὴν πᾶσαν δολίως παρ' αὐτῶν ἀφελόμενοι δύναμιν καὶ ἐνέργειαν περιῆψαν τοῖς προχειρισθεῖσιν ἐπιτρόποις, ὡς ἠθέλησαν· τοῦτο δὴ ὑπογράψαντες πρῶτον οἱ ἀρχιερεῖς, προδήλως ἑαυτῶν ἀναξιότητα καὶ ἀμέλειαν καὶ βλακίαν κατηγοροῦντες, παρῃτήσαντο τὴν οἰκονομίαν τῶν ἐκκλησιαστικῶν τοῖς λαϊκοῖς, οὐχ ὡς τοῖς κληρικοῖς ἐπιτρέπουσι, τῆς ἐξουσίας ἀεὶ παρ' αὐτοῖς μενούσης, ἀλλὰ κηδεμόνως τῶν κακῶν προσμαρτυροῦντες ἱκανοὺς διοικεῖν τὰ τῆς ἐκκλησίας πράγματα, προβεβλημένους ὑπὸ παντὸς τοῦ εὐσεβοῦς λαοῦ, καὶ πρόσωπον φέροντας τοῦ κοινοῦ, καὶ δύναμιν καὶ ἐνέργειαν ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι γενικήν, ἐκ γνώμης καὶ συναινέσεως πάντων, τοῦ τε παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου καὶ τῶν θεοπροβλήτων ἁγίων ἀρχιερέων, καὶ τῶν ἐκλαμπροτάτων καὶ ἐνδοξοτάτων καὶ εὐγενεστάτων ἀρχόντων καὶ παντὸς τοῦ ὑπὸ τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον τῆς Κωνσταντινουπόλεως εὐσεβοῦς λαοῦ· διὸ καὶ τὰς ὑπογραφὰς αὐτῶν ἐν τούτῳ καταστρώσαντες διέθεντο ἐφεξῆς τὰς τῶν ἀρχόντων καὶ κληρικῶν· καὶ προσκυρώσαντες ταῖς τῶν ἁπάντων ὑπογραφαῖς προσήνεγκον καὶ ἐνεφάνισαν τῷ κράτει ἐκλιπαροῦντες καὶ δεόμενοι, ἵνα λάβῃ τὸ βέβαιον καὶ ἀμετάθετον· ὡς δὲ κατὰ γνώμην κοινὴν καὶ συναίνεσιν παντὸς τοῦ ὑπηκόου λαοῦ γενόμενον, προσεκυρώσατο ἰσχυροποιήσας κρατερῶς ὁ μονάρχης, καὶ κατ' αὐτὸ ἐξέδωκε βασιλικὸν δίπλωμα.

Οὕτως οὖν περιποιησάμενοι ἑαυτοῖς δύναμιν καὶ ἐξουσίαν οἱ ῥηθέντες τοῦ κοινοῦ ἐπίτροποι, ἤρξαντο κατ' αὐθεντείαν πρῶτον μὲν διοικεῖν τὸ χρηματικόν, ἐκθέμενοι φοινικοβαφεῖς κώδικας καὶ νοτάριον ἐπιδείξαντες καὶ ἱερὸν φίσκον ὅ ἐστι κορβανᾶν ἐγκαθιδρύσαντες, καὶ πρόπολον αὐτοῦ καὶ δᾳδοῦχον καὶ θεραπευτὴν ἐκ τῶν ἀγοραίων ἐγκαταστήσαντες, ἀποσεμνύνοντες διὰ τούτων τὸ βῆμα τῆς ἐπιτροπικῆς, ἔπειτα καταγράψαντες ἐκ κωδίκων εἰς κώδικας νέους τὸ χρέος τοῦ κοινοῦ,

ὅπερ τότε μέχρι τῶν ἑπτακοσίων ταλάντων προΐη, ἐζήτουν παρὰ τῶν ἁγίων ἀρχιερέων ἁπασῶν τῶν ὑπὸ τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον τῆς Κωνσταντινουπόλεως τοῦ χρέους τὴν καταγραφήν. Εὐθὺς οὖν ἀνεφύησαν μέμψεις καὶ δυσαρέσκειαι, βίαι καὶ ἐπιτιμήσεις, διαλοιδορούντων τινῶν ἀρχιερέων τοὐπιχείρημα· ἔλεγον γάρ, ὡς πολλαχῶς ἡμῖν οὐ συμφέρει ἵνα πασίδηλος ᾖ ἡ χρηματικὴ τῶν ἐκκλησιῶν οἰκονομία καὶ ἀπηριθμημένη ἡ πρόσοδος· εἰ δὲ κατιδεῖν καὶ ἀριθμῆσαι καὶ ὅλως καταγράψαι ἐπάναγκες, ἀρκεῖ τῷ παναγιωτάτῳ καὶ τοῖς προκρίτοις τῶν ἀρχιερέων ἐπισκέψασθαι καὶ κατά τινας ὅρους καὶ κανόνας διενεργεῖσθαι ἔξωθεν παρὰ τῶν ἐπιτρόπων· ἀρκεῖ γὰρ πάντας εἰδέναι, ὅτι κατάχρεως πᾶσα μητρόπολις, καὶ μὴ προσόδους λογίζεσθαι τὰ παρὰ τῶν χριστιανῶν τοῖς ἀρχιερεῦσι διδόμενα, κἂν πολλὰ κἂν ὀλίγα δίδωται εἰς ἐλεημοσύνην καὶ χρείας αὐτῶν· οἱ δὲ διορισθέντες ἐπίτροποι ἀναλογιζόμενοι, ὅτι τοῦ καιροῦ προϊόντος ἐπαύξῃ τὰ χρέη τῶν ἐπαρχιῶν, καὶ περὶ τῶν δανείων, ἅπερ ἕκαστος αὐτῶν καὶ τῶν ἄλλων εὐγενῶν καὶ πλουσίων ταῖς ἐπαρχίαις ἐνεχυριάζει φροντίζοντες, βουλόμενοι εἰδέναι ἀπηριθμημένα ἑκάστης ἐπαρχίας τὰ χρέη καὶ στῆσαι τὴν εἰς τὸ πρόσω φορὰν ὑπισχνούμενοι, ἐπέκειντο ἀπαιτοῦντες καταλόγους καὶ τὴν καταγραφὴν ποιοῦντες ἀπαραίτητον, μηδεμίαν βλάβην ἐπιγενέσθαι λέγοντες κἂν ἔκφορα καὶ ἔκπυστα ταῦτα γένηται. Ἴσχυσαν τοίνυν καὶ πάντα τῶν ἐπαρχιῶν τὰ χρέη κατέγραψαν, ἅπερ ἐπιλογισάμενός τις εὕροι ἂν ἀπὸ τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ πεντηκοστοῦ ἔτους καὶ ἑξῆς μέχρι τοῦ ἑβδομηκοστοῦ πέμπτου, ἐν εἴκοσι πέντε ἔτεσι τριπλάσια ἤ περ ἦσαν γενόμενα· οὕτω χαλεπῇ καὶ πέρα τοῦ εἰκότος ἀμετρίᾳ αἱ ἐκκλησίαι κατεβαρύνθησαν, καὶ τὸ ἱερατικὸν σύμπαν ἐδυστύχησε· διαγνωσθέντος δὲ καὶ καταγραφέντος τοῦ χρέους, ἔδοξε πρῶτον μὲν μηκέτι ἐξεῖναι οἱανδήτινα χηρεύουσαν ἐπαρχίαν καὶ μητρόπολιν τὸν νεωστὶ διαδεχόμενον ἀρχιερέα ἐπιφορ-

τίζειν παρ' ὃ ἔφθασε δέξασθαι καὶ οἰκονομῆσαι τὸν προκάτοχον τῆς ἐπαρχίας χρέος, δεύτερον δὲ ἕκαστον μητροπολίτην καὶ ἀρχιεπίσκοπον καὶ ἐπίσκοπον κατ' ἔτος ἐκπίπτειν τοῦ ἐπικειμένου χρέους τὸ διορισθὲν ἀνάλογον, ὡς ἂν οὕτω καὶ τῆς ἐπαρχίας ἄνεσίν τινα δεχομένης, καὶ τῆς μεγάλης ἐκκλησίας ἔχειν ὕστερον λαμβάνειν τι εἰς δαπάνην τῶν κοινῶν ἐξόδων.

Κατησχολοῦντο οὖν περὶ τὸ χρηματικὸν, καὶ συνερχόμενοι θαμὰ περὶ κοινῶν φροντίζειν ἐσκήπτοντο οἱ ἱεροὶ ἐπίτροποι, καὶ κατ' ἐξουσίαν ἐπετέλουν τὰ δόξαντα, μικρὰ τῆς ἱερᾶς συνόδου φροντίζοντες· ὁ δὲ παναγιώτατος οἰκουμενικὸς πατριάρχης κύριος Σωφρόνιος, ἀπηλλαγμένος δῆθεν τῆς περιττῆς μερίμνης, μᾶλλον δ' εἰπεῖν ἀπεωσμένος, ὡς ὕστερον ἐφάνη, τῆς καλῆς στάσεως, ἐμερίμνα περὶ τῶν πνευματικῶν, πανταχῇ ἐπιστέλλων καὶ νουθετῶν, καὶ καθ' ἑκάστην καὶ ἐν ταῖς ἐκκλησίαις καὶ ἐν παντὶ τόπῳ διδάσκων· οὕτω γὰρ ἦν διδακτικός, ὥστε ἅπας αὐτοῦ καὶ λόγος καὶ τρόπος ἐν παντὶ διδασκαλία τις ἦν· ἀλλ' ὅσον διέλαμπεν αὐτοῦ ἡ ἀρετή, καὶ ἡ κατὰ θεὸν σπουδὴ καὶ ἐπιμέλεια τῶν ἐκκλησιῶν, τοσοῦτον διέφαινεν ἡ τυραννία, καὶ ἡ μελανία τοῦ ἐγειρομένου συστήματος ἐπεσκότει τὴν ἐκεῖθεν λαμπρότητα, ὡς νέφος ζοφερὸν ἐπισκιάζον ἡλίου αὐγάς· ὁ μὲν γὰρ κοινὸς λαὸς μηδὲν ὑφορώμενος κακόν, ἀποδεχόμενος δὲ καὶ τὰ γιγνόμενα ὡς συμφέροντα, ἵστατο τεθηπὼς τῇ αὐτοῦ ἀκροάσει καὶ θέᾳ, καὶ πολλὰ ἐποίει διδασκόμενος· οἱ δὲ κατάστασιν κοινὴν συνιδεῖν οἷοί τε ὄντες, οἱ μὲν εὐλαβέστεροι ἐσκανδαλίζοντο, οἱ δὲ προπετέστερον ἤρξαντο λοιδορεῖν μυρία καταμεμφόμενοι· συνήλγει δὲ καὶ αὐτός, τῶν ἰδίων κακῶν συναισθανόμενος, καὶ στένων ὠδύρετο, ὁρῶν τὸν βόθρον εἰς ὃν κατέωσαν, καὶ ὡς ἐκ λάκκου τῶν λεόντων ρυσθῆναι ἐδέετο.

Οὔπω δὲ παρῆλθεν ἑξάμηνον, ἐξ ὅτου ἔστη τὸ καλὸν τοῦτο σύστημα, καὶ τῆς τυραννίας τὰς ἀποδείξεις ἱκανὰς παρασχεῖν συνεκίνησεν εἰς ἄμυναν τοὺς ὑβριζομένους ἀρχιερεῖς·

καὶ δὴ συνελθόντες, ἐποδυρόμενοι τῆς κοινῆς συμφορᾶς διαλῦσαι μὲν εὐθὺς οὐκ ἂν εἶχον τὴν δεινὴν σύστασιν· τῇ δὲ νομίμῳ ὁμοψυχίᾳ καὶ συμφωνίᾳ ἀντεμβαλεῖν τῇ τοῦ κακοῦ ῥύμῃ ἀναγκαῖον ἐνόμισαν· συνέθεντο γοῦν γνώμῃ κοινῇ καὶ δικαίᾳ, ὡς εἴ τις ἀτιμία καὶ βλάβη τινὶ ἐξ αὐτῶν τοῦ λοιποῦ παρὰ τῶν ἐπιτρόπων γένοιτο, ὑφωρῶντο γὰρ πλείονα, ταύτην κοινὴν λογιζόμενοι παντὶ σθένει ἀμύνασθαι, ὑπερμαχεῖν τε τῆς συνοδικῆς τιμῆς καὶ δικαιοπραγίας κατὰ τοῦ νέου συστήματος, πάντα εἰ δέοι προϊέμενοι, καὶ θανεῖν ἕτοιμοι ὄντες· ταύτην δὲ τὴν συμφωνίαν καὶ σύμπνοιαν τῶν ἁγίων ἀρχιερέων μαθόντες οἱ ἐπίτροποι ἔστησαν ἐπὶ τῶν ἰδίων ὁρίων, ἄχρις οὗ ἐξευρεθῇ τι δεινότερον· περιβλεψάμενοι δὲ καὶ τὸν Νικομηδείας Νικηφόρον ἐκτὸς τῆς γενομένης συμφωνίας ἰδόντες, τούτῳ χρησάμενοι διέστησαν ἀπ' ἀλλήλων πρῶτον μὲν τὸν Κυζίκου Γεράσιμον καὶ Θεσσαλονίκης Δαμασκηνὸν τοὺς δοκοῦντας ζηλωτὰς τῆς κοινῆς τῶν ἀρχιερέων τιμῆς, καὶ τῆς ῥηθείσης συμφωνίας αἰτίους, ἔπειτα δὲ τοὺς λοιπούς· καὶ οὕτω καταμερίσαντες ὠλιγώρησαν τοὺς πρὸ μικροῦ δόξαντας γενναίους καὶ μεγαλόφρονας.

Μετὰ μικρὸν δὲ βουλόμενοι οἱ ἐπίτροποι εὐπροσωπῆσαι τῷ λαῷ ἔργον εὐσεβείας διαπραξάμενοι, ᾐτήσαντο παρὰ τοῦ ἐπιτρόπου τῆς βασιλείας ἄδειαν, ὅπως τὰς ἐν Κωνσταντινουπόλει ἐκκλησίας ἐπισκευάσωσιν· ὁ δὲ ἐπέτρεψεν, ἀλλ' οὐ κατὰ ἔννομον αὐτοῖς ἐπιθεώρησιν καὶ διαγραφήν, ἀλλὰ διὰ λόγου ψιλοῦ· λαβόντες οὖν τὴν τοιαύτην ἔνδοσιν συνεκαλέσαντο τοὺς κατὰ μέρος τῶν ἐκκλησιῶν ἐπιτρόπους, καὶ τούτους πρὸς τὸ ἔργον διήγειρον, μηδὲν ὀρθῶς ἐπιλογισάμενοι, μηδὲ προσδιορίσαντες, ἢ χρήματά τινα αὐτοῖς ἀνενεγκεῖν εἰς δέον δαπανησόμενα· οἱ δὲ ἀπόλυτον ἄδειαν ἐκλαβόντες οὐχ ὅπως τὰ διερρωγότα καὶ σαθρὰ τῶν ἱερῶν ναῶν ἐπισκευάσαι, ἀλλὰ καὶ πολλοὺς καλῶς ἔχοντας ἐκ βάθρων καθελόντες βελτίονας ἀνεγεῖραι καὶ μείζονας προετεθύμηντο· καὶ δὴ πᾶς τις συνεκι-

νεῖτο, καὶ τὸν πλησίον παρεζήλου, καὶ ὑπερβαλεῖν περὶ τὸ ἔργον ἐσπούδαζεν· ὥστε ἐξεθρόησαν σύμπασαν τὴν πόλιν τῷ πατάγῳ τῶν φερομένων δι' ἀγυιῶν ξύλων, καὶ ἔπλησαν ἀχθοφορίας λίθων, βησσάλων, ἀσβέστου, τὰς στενωπούς· ἀνῆγε δὲ εἰς τοῦτο καὶ ἔπειθε μηδὲν προσερευνᾷν καὶ ὑφορᾶσθαι ἐμπόδιον, καί τις ἄλλοθεν ψευδὴς ὑπόληψις· ἀκούσαντες γὰρ παρὰ τῶν ἐπιτρόπων ἔχειν τὴν ἄδειαν, τοῦ ἀνοικοδομεῖν τοὺς ἱεροὺς ναοὺς, δόξαν ξένον τοῦτο καὶ ἄηθες, ὑπέλαβον κατὰ αἴτησιν τοῦ ἁρμοστοῦ καὶ μεγάλου πρέσβεως τῶν Ρώσσων πρίγγιπος Νικολάου Ρεπνίνου ἐπιτρέψαι τοῦτο ἡμῖν τοὺς κρατοῦντας· ἀλλ' αὕτη ἦν δόξα δημώδης καὶ διάκενος, εἴθ' ὑπ' ἀμαθείας τοῦ χύδην ὄχλου, εἴτε ὑπό τινος ἐπιβουλῆς κακεντρεχοῦς ὑπελθοῦσα, καὶ μέγιστα τοὺς φρονοῦντας ζημιώσασα· ὁ γὰρ μέγας ἐκεῖνος ἡγεμὼν, ὁ περίβλεπτος καὶ βαθύνους πρίγγιψ, ὁ τοσαῦτα θαυμάσια ἐν Λεχίᾳ διαπραξάμενος καὶ μεγάλῳ ἐν τῷ στρατῷ διανύσας, ὁ ἀγχίστροφος καὶ πολύβουλος πολιτικὸς καὶ ἀήττητος στρατάρχης, ὁ εὐσεβὴς καὶ φιλόχριστος, ὁ φιλογενὴς καὶ φιλάδελφος, ὁ κατιδὼν εὐθὺς καὶ κατασοφισάμενος τὴν ὕπουλον καὶ ἄστατον γνώμην τῶν Ὀθωμανῶν, πῶς ἂν εὐήθως τοὺς ἱεροὺς ναοὺς ἐν Κωνσταντινουπόλει ἐπηρεάσειεν, Ρωσσικοὺς ἐπιγράψας ἀκαίρως; τὸ γὰρ αὐτοὺς διὰ μεσιτείας ἀνοικοδομεῖν ἐν εἰρήνῃ, καθελεῖν ἂν εἴη εὐθὺς ἐν πολέμῳ· διὸ τῶν εὖ φρονούντων οὐδεὶς τοῦτο ἐδόξαζε, καὶ διακωλύειν τὴν ὁρμὴν τοῦ λαοῦ ἐπειρᾶτο· ὁ δὲ ὄχλος συλλαβὼν πρόληψιν ἄτοπον, καὶ ἔνδοσιν ἄλογον, ἀδεῶς καὶ ἀσκέπτως τοῦ ἔργου ἐπεχείρησε, καὶ οὔπω μὲν ὀλίγας ἐκκλησίας ἐπιδιωρθώσατο, πλείονας δὲ καθεῖλε, καὶ τὴν ὕλην ἡτοίμασεν· οἱ δὲ δεισιδαιμονοῦντες τῶν Ὀθωμανῶν συστροφὴν ποιήσαντες, λίβελλον ἐπέδωκαν τῷ ἐπιτρόπῳ, προδότην τῆς αὐτῶν θρησκείας λοιδοροῦντες, ὅτι καλλύνει καὶ μεγεθύνει τῶν χριστιανῶν τὰ σεβάσματα, ὃ μηκέτι ἐνεγκεῖν ἠπείλουν· δείσας οὖν τὴν ὁρμὴν τῶν οἰκείων ὁ τῆς βασιλείας

ἐπίτροπος καὶ τὴν διαβολὴν πρὸς τὸν μονάρχην ἐκκλίνων, καὶ ἑαυτὸν ἀθωῶν, συνιδεῖν μὲν ἀπείπατο, καθελεῖν δὲ ἐκέλευσε, καὶ συλλαβεῖν κολασθησομένους τοὺς ἐπισκευάζειν πρῶτον τολμήσαντας.

Τοιαύτης δὲ δοθείσης τῆς προσταγῆς, ὁ μὲν στρατηγὸς περιῄει καθαιρῶν τὰ ἐπισκευασθέντα, καὶ κωλύων καθάπαξ ἐγείρειν τοὺς τῶν ναῶν καταβεβλημένους· οἱ δὲ μεγάλοι ἐπίτροποι ἐκρύβησαν δεδοικότες καὶ τρέμοντες· οἱ δὲ ἀρχιερεῖς συνελθόντες, ἵνα τὸν λαὸν καὶ τοὺς ἐπιτρόπους τῆς ὀργῆς ἀπαλλάξωσιν, ἐπὶ τὸν παναγιώτατον μεταθεῖναι τὰς αἰτίας ἐσκέπτοντο, καὶ στῆσαι τὴν ὀργὴν τοῦτον τοῦ θρόνου ἐξώσαντες. Ταύτην οὖν τὴν οἰκονομίαν ἀποστείλαντες τὸν Νικομηδείας Νικηφόρον ἀνήγγειλαν τῷ παναγιωτάτῳ κυρίῳ Σωφρονίῳ, καὶ παρεκάλουν ἀποδέξασθαι διὰ τὴν τῶν πολλῶν σωτηρίαν, καὶ εἰ δοκεῖ προελέσθαι εἰς τὴν τοῦ οἰκουμενικοῦ θρόνου διαδοχὴν τῶν Παλαιῶν Πατρῶν κύριον Γαβριὴλ, ὃν αὐτοὶ ἔκριναν. Ταῦτα δὲ ἀκούσας ὁ πατριάρχης, ὀψόμεθα, ἔφη, εἰ τούτου χρεία! καὶ ἐξελθὼν τοῦ πατριαρχείου εἴς τινα τῶν συνήθων οἰκίαν, καὶ καλάμου ἁψάμενος ἔγραψεν ἱκεσίαν πρὸς τὸν τοῦ βασιλέως πρωτοσπαθάριον, ὃς μέγα τότε ἴσχυε, δηλώσας, ὡς ὁ πτωχὸς καὶ ὑπόφορος εὐσεβὴς λαὸς περιθαλπόμενος τῇ φιλανθρωποτάτῃ προνοίᾳ τοῦ κραταιοῦ ἄνακτος, ἀναθαρρήσας τῇ δαψιλεῖ ἐκχύσει τῶν πλουσίων αὐτοῦ δωρεῶν τῆς ἀφθόνου εὐτυχίας ἀπετόλμησεν ἐπισκευάσαι τὰ σαθρὰ καὶ διερρηγότα τῶν αὐτοῦ ναῶν· καὶ ἐπεὶ ἀπερισκέπτως καὶ ἄνευ ἐννόμου διαγραφῆς ἐπεχείρησε τὸ τοιοῦτο, καὶ διετάραξε τοὺς ἐπὶ τῶν οἰκοδομῶν ἄρχοντας καὶ τοὺς γείτονας Ὀθωμανοὺς, οἵτινες καὶ ἀγωγὴν ἐκίνησαν, ὠργίσθη δικαίως κατ' αὐτοῦ καὶ τοῦ λαοῦ ὁ ὑπέρτατος ἐπίτροπος· ὅθεν ἐδέετο θερμῶς, ἵνα οἰκτείρῃ τὸ πολὺ γῆρας αὐτοῦ καὶ ῥύσηται αὐτὸν τῶν ἐπαπειλούντων δεινῶν, καὶ σώσῃ τὸν πτωχὸν λαὸν τῆς ἐπικειμένης αὐτῷ ὀργῆς.

Ταύτην οὖν λαβὼν καὶ ἀναγνοὺς ὁ παρὰ τῷ μονάρχῃ ἰσχύων μέγας σπαθάριος, διεμηνύσατο διὰ τοῦ αὐτοῦ εὐσεβοῦς οἰκείως αὐτῷ ἔχοντος τῷ παναγιωτάτῳ, μηδὲν περὶ τούτου πτοεῖσθαι καὶ μεριμνᾷν· καὶ τῇ ἑξῆς, ὅτε ὁ ἐπίτροπος εἰσῄει εἰς τὰ ἀνάκτορα πρὸς παράστασιν τῷ μονάρχῃ, εὐφυῶς τοῦτον παραθαρρύνων, τί ἔδεισας ἔφη, δεδισσόμενος τὸν πατριάρχην Ρωμαίων; ἀπόλυσον οὖν τὸν πτωχὸν γηραιὸν τοῦ δέους, καὶ τὸν ὑπόφορον λαὸν τῆς ὀργῆς· οὐ γὰρ ἁμάρτημα, ἀλλὰ τῆς πρὸς θεὸν εὐλαβείας τὸ ἐπιχείρημα! ταῦτα τοίνυν πυθόμενος ὁ ἐπίτροπος μηδὲν πλέον περὶ αὐτοῦ ὑφορώμενος, καὶ τοὺς ἄλλους τοῦ δέους ἀπήλλαξε, καὶ μηδένα τοῦ λοιποῦ ἐζήτει τιμωρῆσαι τῆς ἀταξίας· διεμηνύσατο δὲ καὶ πρὸς τὸν πατριάρχην εὐθυμοτέρως ἔχειν, καὶ μηδὲν κακὸν ὑπονοεῖν· οὕτως οὖν διὰ μιᾶς ἐπιστολῆς ἀπέλυσε τόν τε τῆς βασιλείας ἐπίτροπον τῆς διαβολῆς, καὶ τοὺς τοῦ κοινοῦ ἐπιτρόπους τοῦ κινδύνου, καὶ τὸν εὐσεβῆ λαὸν τῆς ὀργῆς, ἑαυτὸν περισώσας ὁ παναγιώτατος Σωφρόνιος.

Ἀλλ' ἐκ τῆς τοιαύτης ἀβουλίας τῶν ἐπιτρόπων τοῦ κοινοῦ πολλή τις ζημία ταῖς ἐκκλησίαις ἐπηκολούθησε· πρῶτον μὲν ἔβλαψε τοσαύτας ἐκκλησίας ἀποστερήσας τοὺς χριστιανούς, ὅσας κατέβαλον ἐποικοδομησόμενοι· δεύτερον δὲ ἁπανταχοῦ οἱ Ὀθωμανοὶ διώκοντες τοὺς ὀρθοδόξους χριστιανοὺς ὑπούλως, μάλιστα τὸ ἱερατεῖον, ἀπ' ἀρχῆς ἀφῃροῦντο τὰ μεγαλοπρεπῆ ἱερὰ οἰκοδομήματα ἐπὶ διαφόροις προφάσεσιν, ὥσπερ περίπου τὸ χιλιοστὸν ἑξηκοστὸν ἔτος ἀφεῖλον πάντας τοὺς ἐνδόξους ναοὺς τῶν χριστιανῶν διὰ προγράμματος, εἰς τὸ μηκέτι ἔχειν θολωτοὺς καὶ μολυβδοσκεπεῖς, ταὐτὸν εἰπεῖν περιφανεῖς ἐν ταῖς πόλεσιν, ἀλλὰ χθαμαλοὺς καὶ προσγείους· ἔκτοτε ἀλλ' οὖν οὐκ ἔτι φθονοῦντες τούτοις ἐπεβούλευον, ἀλλὰ καὶ πεσόντας ἀνορθοῦσθαι ἐπέτρεπον καὶ διερρωγότας ἐπισκευάζειν οὐ διεκώλυον· ἀπὸ δὲ τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ τριακοστοῦ ἔτους ἑξῆς

οὐκ ἔτι ῥᾴδιον οὐδ' ἐπιδιορθοῦν τὰ διαρρέοντα, ἐπεσκευάζοντο μέντοι μετὰ συνέσεως· ἐπεὶ δὲ ἐν τῷ χιλιοστῷ ἑπτακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ τούτῳ ἔτει ἡ τοιαύτη παράλογος τόλμη τοὺς δεισιδαιμονοῦντας ὀτμάνους ἠρέθισε, καὶ ἡ βλακία καὶ δειλία τοῦ ἐπιτρόπου τῆς βασιλείας καθελεῖν τὰ ἐπισκευασθέντα καὶ μηκέτι ἐγείρειν τὰ καταβληθέντα ἐδίκασε, τόλμη ἀνεφύη τῷ βουλομένῳ τῶν Ὀθωμανῶν ἐπηρεάζειν παντί, καὶ μανία λυσσώδης κατὰ τῶν ἱερῶν ἐνέσκηψε γενικῶς· ὥστε ἁπανταχοῦ μὴ στέργειν ἀνοικοδομεῖν καὶ τὰ περίοικα τῶν ναῶν καὶ κελλεῖόν που πάροικον ἱερέων ἢ μοναχῶν, καὶ περιαθρεῖν συνεχῶς καὶ διερευνᾷν τοὺς ναούς, εἴπου ἧλος καινὸς καὶ μετήλλακτο κέραμος, πάντων ἐξουσίαν καὶ τόλμην λαβόντων τῶν δυσσεβῶν καταδιώκειν εἰς βλάβην καὶ μαρτυρεῖν εἰς ζημίαν· τρίτον δὲ κατεζημίωσε τὸ κοινὸν ἡ τοιαύτη τῶν ἐπιτρόπων τοῦ κοινοῦ ἀβουλία τοσαύτης δαπάνης, καὶ ὕλην ματαιώσας ἐν τοσαύτῃ πτωχίᾳ τοῦ γένους καὶ ἀνάγκαις τοῦ ἱερατείου.

Κατελάλουν οὖν καὶ ἐμέμφοντο τῆς ἀβουλίας τῶν ἐπιτρόπων ἅπας ὁ εὐσεβὴς λαός, μάλιστα οἱ ἀρχιερεῖς· καί τινες ἀφορμῆς δραξάμενοι εὐλόγου τε καὶ δικαίας, διενοήθησαν καταργῆσαι ἐγκαίρως τὴν ἐπιτροπικήν, δηλοποιήσαντες δι' ἀναφορᾶς τῷ κράτει, ὡς τοιοῦτον ἐπιχείρημα ὑπῆρξεν, οὐ διὰ τόλμην παράλογον τοῦ λαοῦ, ἀλλὰ διὰ προτροπὴν ἀδιανόητον τῶν προχειρισθέντων ἐπιτρόπων τοῦ κοινοῦ, καὶ ἀπάτην ἐθελοψευδῆ, καὶ οὐκ ἂν ἄλλως ἐτόλμησεν ὁ λαὸς καθαιρεῖν καὶ ἐπισκευάζειν τοὺς ἱεροὺς ναούς, εἰ μὴ αὐτῷ εἶπον ἄδειαν λαβεῖν παρὰ τῶν κρατούντων, καὶ εἴπερ ἄρα πειθαρχήσας τῇ ἀρχικῇ ἐνδόσει ἐπεχείρησε τῇ οἰκοδομῇ, δίκαιος ἂν εἴη μηδὲν παθεῖν καὶ προσζημιωθῆναι, καὶ μὴν καὶ τῆς ἀσυνέτου καὶ ἀλυσιτελοῦς ἐπιτροπικῆς ἀπαλλαγῆναι, τῆς συστάσης ἤδη ἐν τῇ πατριαρχικῇ αὐλῇ, καὶ κατὰ τὴν ἀνέκαθεν τῶν ἱερῶν διοίκησιν ὑπὸ

μόνων τῶν ἀρχιερέων καὶ τοῦ πατριάρχου διοικεῖσθαι καὶ διεξάγεσθαι. Ταῦτα μέν τινες διενοήθησαν, εἰς ἔργον δ' ἀγαγεῖν πολλαχῶς διεκωλύοντο, καὶ οὐδὲ εἰς τὸν λαὸν ἐξεφώνησαν· ὁ δὲ τότε Κυζίκου Γεράσιμος ὁ Χῖος θερμότερος ὢν περὶ τὰ τοιαῦτα, καὶ κατελάλει προπετῶς, καὶ ἐπηπείλει τοιαῦτα διαρρήδην φθεγγόμενος· ὑπηναντιοῦτο δὲ καὶ ἀντέπραττεν αὐτῷ μάλιστα ὁ Θεσσαλονίκης Δαμασκηνὸς, κεχαρισμένα τοῖς ἐπιτρόποις ποιῶν, ἄλλως τε συνορῶν τὸν κίνδυνον καὶ ὑφορώμενος μήπως τὸ μὲν τῆς ἐπιτροπῆς χρῆμα μένῃ, τῶν δὲ ἐπιτρόπων, οἷς ἄλλοθεν δυσμένειαι καὶ μίση τῶν παραδυναστευόντων συγκυρεῖ, θάνατος καταγνωσθῇ, καὶ φονικοῖς αἵμασι μιανθῶσιν· ἐνῆγε δὲ καὶ ἔπειθε, πάντοθεν ἀπερύκειν τῶν δυσαρεστουμένων τὰς προσβολὰς καὶ διαλύειν τὰς συστάσεις κατὰ τῆς νεοπαγοῦς ἐπιτροπικῆς καὶ ὁ Προύσης Μελέτιος, γράφων τότε ἀπὸ τῆς αὐτοῦ ἐπαρχίας καὶ πρὸς αὐτὸν καὶ πρὸς ἄλλους, πάντα χαριζόμενος τοῖς λαϊκοῖς ἐπιτρόποις· ἐπηγρύπνει δὲ καὶ πάντα ἐποίει ὑπὲρ τῆς ἐπιτροπικῆς καὶ ὁ Νικομηδείας Νικηφόρος· ὥστε διὰ πολλῶν οὕτως ἀπεσόβησαν αὐτῶν τὸν κίνδυνον οἱ ἐπίτροποι· ἀπαλλαγέντες δὲ τοῦ τοιούτου ἐπέῤῥωσαν τὴν δύναμιν τῆς ἐπιτροπικῆς καὶ τοὺς ἐνδημοῦντας ἀρχιερεῖς κατέθλιβον, καὶ οὓς ὑφωρῶντο εἰς τὰς ἐπαρχίας αὐτῶν ἀπέπεμπον· ἀπῆλθε δὲ καὶ ὁ Κυζίκου Γεράσιμος δόξας ἑκών· μετεκαλέσαντο δὲ καὶ τὸν Προύσης Μελέτιον, καὶ τοῦ Νικομηδείας Νικηφόρου πρὸς κύριον ἐνδημήσαντος, προεβίβασαν ἀπὸ Προύσης εἰς Νικομήδειαν.

Τὰ μὲν οὖν τῆς ἐκκλησιαστικῆς διοικήσεως οὕτω διαμερισθέντα, τῷ χρηματισμῷ προσκείμενοι οἱ ἐπίτροποι, καὶ τῶν οἰκείων ὅρων ὑπεραλλόμενοι διετάραττον· ὁ δὲ παναγιώτατος κύριος Σωφρόνιος βουλόμενος συστῆσαι τὴν κοινὴν ἁρμονίαν, διὰ μέσου ἰὼν τὰς ἑκατέρωθεν ἔκ τε τῶν ἐπιτρόπων καὶ ἀρχιερέων ἀπεσόβει καὶ διεκώλυεν ὑπερβολὰς, σπουδάζων ἐκ πάντων τὸ λυσιτελὲς καὶ χρήσιμον· καὶ τὰς μὲν τῶν λαϊκῶν ὁρμὰς κα-

ταστέλλων, τὴν τῶν ἀρχιερέων περὶ τὰ κοινὰ ῥαστώνην κατεμυώπιζε, καὶ τούτων τὴν περὶ τὰ βιωτικὰ ἔκχυσιν περιστέλλων ἐκείνους κοιναῖς χερσὶν ἐπιψαύειν τῶν ἱερῶν διεκώλυε, καὶ κατολιγωρεῖν τῶν ἀρχιερέων ἀπέτρεπεν· ἀλλὰ τὴν ἰσότητα σπουδάζων οὐδετέρους ἐπήρεσκεν· οἵ τε γὰρ ἐπίτροποι εἰς πάντα τὰ σφίσι σπουδαζόμενα συναινεῖν ἐβούλοντο, καὶ μὴ συναινοῦντα διεμέμφοντο, οἵ τε ἀρχιερεῖς μηδὲν παρὰ τῶν ἐπιτρόπων αὐτοῖς ἐπιτιθεμένων παρὰ γνώμην κοινὴν ἀποδέχεσθαι ἤθελον, καὶ στέργοντα ὅσα καὶ ἀποπέμπειν οὐχ οἷός τε ἦν, διελοιδοροῦντο, καὶ ἀμφότεροι ἀπηρέσκοντο ἐν πολλοῖς δυσχεραίνοντες· ὁ δὲ τῆς ἑκατέρων δυσαρεσκείας μικρὰ φροντίζων, ἤσχαλλε καὶ ἐπωδύρετο συνεχῶς· ὅτι ἕκαστος τὸ ἴδιον ἐπιζητεῖ, καὶ τίνα ἄρα πρὸς τὸ κοινὸν χρήσηται; κατεσπούδαζε γοῦν ὡς ἐξ ἀκανθῶν συλλέγειν τὰ ἄνθη εἰς κοινὴν μελιττουργίαν, ἢ ἐκ πολλῶν ἀχύρων τὸν σῖτον ἐπισκέπτεσθαι ἐν τῇ μεγάλῃ ταύτῃ ἅλωνι, καὶ ἀεὶ σύννους ὡς ἐπὶ παγίδων πολλῶν ἐπορεύετο, περισκοπῶν πάντοθεν τὰς χρείας τῶν ἐκκλησιῶν, καὶ πρὸς τὴν ἐσωτερικὴν κατάρτισιν εὐθύνων τὴν μέριμναν, τοὺς πρὸς τὰ ῥευστὰ καὶ μάταια τοῦ βίου κεχηνότας καὶ πρὸς τὰς σκιὰς διαπληκτιζομένους ἀλλήλοις δριμέως ἐπιτιμῶν, καὶ ἐλέγχων, καὶ παρερχόμενος συνετῶς, ὁμιλῶν ἀξίως, καὶ πνευματικῶς ἐπαναπαυόμενος τοῖς νήφουσι καὶ ζητοῦσι τὴν βασιλείαν τοῦ θεοῦ ἐν πτωχίᾳ πνευματικῇ καὶ ἐν ὑπομονῇ καὶ ὀλιγωρίᾳ τοῦ κόσμου, καὶ ἐν πραΰτητι πνεύματος καὶ νοὸς καθαρότητι, καὶ ἁπλῶς ἐν σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ ἐν ἔργοις ἀγαθοῖς, οἷς ὁ κατὰ Χριστὸν μορφοῦται ἄνθρωπος, παρεμύθει δὲ καὶ τοὺς ἐν ἀνάγκαις καὶ θλίψεσι καὶ διὰ λόγου καὶ διὰ γράμματος, μάλιστα τοὺς καταπολεμουμένους ὑπὲρ τῆς εὐσεβείας, καὶ τούτων τὴν καρτερίαν θαυμασίως ἐπέτεινε διὰ τῶν θεοπνεύστων λόγων καὶ τῆς διδασκαλίας τῶν θείων Γραφῶν.

Ἀπέστειλε δὲ καὶ πρὸς τοὺς ἐν Παννονίᾳ ὀρθοδόξους

παραθήγων αὐτῶν τὴν καρτερίαν καὶ παραμυθούμενος καὶ διδάσκων μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσι καὶ ἐπηρείαις τῶν δυτικῶν, τὴν ἀποστολικὴν καὶ θεοδίδακτον ὁμολογίαν κατέχοντες, καὶ γενναίως ἐγκαρτεροῦντας καὶ διαγωνιζομένους ὑπὲρ τῆς ἀληθείας, καὶ τῆς εὐθείας μηδαμῶς ἐκτρεπομένους, εἰδότας, ὅτι διὰ τῆς ὑπομονῆς ἡ πρὸς θεὸν πίστις καὶ ἐλπὶς μαρτυρεῖται, καὶ οἱ καλῶς ὑπομένοντες μακαρίζονται καὶ δοξάζονται παρὰ τοῦ τὰ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦντος θεοῦ. Ἔγραφον γὰρ πρὸς αὐτὸν καταλέγοντες τοὺς ποικίλους πειρασμοὺς καὶ τὰς διαφόρους ἐπηρείας, ἃς φανερῶς καὶ ὑπούλως ἐν πάσῃ τῇ ἐκεῖ παροικίᾳ κατειργάζοντο αὐτῶν οἱ τῆς Ρώμης ναρθηκοφόροι καὶ ὅλως οἱ δυτικόφρονες, ἐπερωτῶντες καὶ περί τινων ἐθίμων, ὅσα ἐκ πολιτικοῦ νόμου αὐτοὺς κατηνάγκαζον διενεργεῖν, ἢ γενόμενα στέργειν καὶ ἀποδέχεσθαι· κατὰ τοῦτον γὰρ τὸν καιρὸν καὶ τοὺς ἀπ' ἀρχῆς κατοίκους ὀρθοδόξους παρηνώχλησαν, καὶ τοὺς προσγενομένους ἔξωθεν ἀπό τε Μακεδονίας καὶ Μυσίας εὐμενῶς πρότερον προσδεξάμενοι, κατεφόβησαν ἐπὶ τὰ καίρια τὰ βέλη καὶ τὰ δόρατα τιταίνοντες οἱ ψυχωλέται κυνηγοὶ τῆς Ρώμης· τῇ γὰρ συνήθει αὐτῶν πανουργίᾳ καὶ δολιότητι κατασοφισάμενοι, τὴν ἐν τῇ αὐτοκρατορικῇ αὐλῇ θεοσέβειαν μικροῦ δεῖν κατὰ τῶν ὀρθοδόξων ἠρέθισαν, διωγμὸν τυρεύοντες· διὸ καὶ ἐνοχλήσεις ἀλλεπαλλήλους περὶ τὴν πίστιν ὑπέφερον καὶ παραλλαγὰς τῶν ἐθίμων εἰσῆγον, καὶ τῆς ἐκκλησιαστικῆς διατυπώσεως καὶ κανονικῆς τάξεως μεταστῆσαι ἐπειρῶντο, καὶ ὅλως εἰς καινοτομίαν παρενεγκεῖν ἐσπούδαζον· ἐντεῦθεν ἄρα κατωδυνῶντο μὲν τοῖς παροῦσι κακοῖς, ὑφωρῶντο δὲ χείρονα, καὶ ταῦτα διαγγέλλοντες ἀπωλοφύροντο, καὶ τῶν παναγίων εὐχῶν καὶ σοφῶν παραινέσεων τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου ἐδέοντο γράφοντες.

Ὁ μὲν οὖν παναγιώτατος κύριος Σωφρόνιος ἐσπούδαζε περὶ σωτηρίας ψυχῶν καὶ τῆς τῶν ἐκκλησιῶν εὐσταθείας, καὶ

κατὰ θεὸν ἀγωγῆς· οἱ δὲ προχειρισθέντες ἐπίτροποι ἐφρόντιζον περὶ χρημάτων καὶ δόξης καὶ τῆς ἀκαίρου ἀρχῆς καὶ κοσμικῆς κακοζηλίας· καὶ προῆγον ἐπαύξοντες κατὰ τῶν ἁγίων ἀρχιερέων τὴν ἐξουσίαν, τοῦτον προελόμενοι ἐνδημεῖν, ἐκεῖνον ἀπωθοῦντες καὶ διώκοντες· ἀπεδίωξαν γοῦν καὶ τὸν Θεσσαλονίκης Δαμασκηνὸν, καίτοι ἔναγχος δόξαντα πρόμαχον, καὶ τὸν Καστορίας Γεννάδιον διὰ λόγων τομότητα κατεσίγασαν, καὶ πάντας κατεφόβησαν· καὶ παραλαβόντες προασπιστὴν συνεργὸν καὶ συνίστορα τὸν ἄρτι προβεβηκότα ἀπὸ Προύσης εἰς Νικομήδειαν Μελέτιον, τούτῳ τὴν ἰσχὺν περιέθεντο καὶ δι' αὐτοῦ ἐποίουν τὰ δόξαντα. Ἥκει δὲ κατ' αὐτὸν τὸν καιρὸν δι' ἀδείας πατριαρχικῆς ὁ Κυζίκου Γεράσιμος· ἐλθόντα δὲ ἐπιστρέψαι εἰς τὴν ἰδίαν ἐπαρχίαν κατεβίαζον οἱ ἐπίτροποι, κοτέοντες μὲν τυχὸν διὰ τὰ προλαβόντα, φοβούμενοι δὲ πάντως τὴν ὁρμὴν αὐτοῦ καὶ πολυπραγμοσύνην· ὁ δὲ ἀντέτεινε καὶ ἐδικαίου τὴν αὐτοῦ εἰς βασιλεύουσαν ἐπάνοδον διὰ τῆς πατριαρχικῆς ἀδείας, καὶ παρέμεινε διαμαχόμενος, καὶ συνετάραξε μικροῦ δεῖν πάντας, τοὺς μὲν ἀμυνομένους καὶ βοηθοῦντας, τοὺς δὲ καὶ διώκοντας· καὶ νοσήσας ἐν τῇ τοιαύτῃ ἐκθέρμῳ καὶ συνεχεῖ πάλῃ, καὶ πρὸς τὴν τῶν ἀντιπάλων ὁρμὴν ἥκιστα ἐνδοὺς κατεπολεμήθη τελευταῖον ὑπὸ τοῦ θανάτου, ἐκδημήσας πρὸς κύριον· ἐζημιώθη δὲ τὸ κοινὸν δι' αὐτὴν τὴν παράλογον μάχην πλείονα τῶν ἑκατὸν ταλάντων· καὶ ὅσα γὰρ κατεξώδευσεν αὐτὸς ἀμυνόμενος τῇ ἐπαρχίᾳ χρέος προσέθετο· ὅθεν καὶ ἡ μητρόπολις Κυζίκου πλεῖον ἢ ἄλλοτε ἐδέξατο χρέος· καὶ ἡ μητρόπολις Σερρῶν ταὐτὰ ἔπαθε· καὶ ἑξῆς αἱ λοιπαί, ὅσαι νέον ἐδέξαντο ἀρχιερέα, καὶ ὁ τεθεὶς ὅρος μὴ ὑπερβαρύνειν τὰς ἐπαρχίας τοῖς χρέεσι, φροῦδος καὶ ἀράχνης ἱστός.

Ἐπωδυνᾶτο δὲ ὁ παναγιώτατος κύριος Σωφρόνιος καὶ διὰ τὴν ὀλιγομαθίαν τοῦ ποτὲ ὑπὲρ πάντα τὰ ἔθνη πολυμαθοῦς γένους, μάλιστα δὲ διὰ τὴν ἐπιπολαιομάθειαν τῶν νέων τῆς

μεγάλης ταύτης πόλεως, καὶ ἀποκαταστῆσαι τὴν ἐκλείπουσαν σχολὴν ἐπιστημῶν παρὰ τὸ πατριαρχεῖον βουλόμενος καὶ σπουδάζων ἀπὸ τοῦ ἑβδομηκοστοῦ ἕκτου ἔτους, μόλις κατὰ τὸ ἑβδομηκοστὸν ὄγδοον τὸ ἔργον ἐξετέλεσε, καὶ ὡς εἰπεῖν ἀνήγειρε ταύτην καὶ ἀνῳκοδόμησε· κατανοήσας γὰρ τὸ βαρὺ τοῦ ἐράνου, ὅνπερ διὰ σιγιλλίου κατὰ τὸ πεντηκοστὸν ἔννατον ἔτος τοῦ παρόντος αἰῶνος συνέθεντο ἐτησίως εἰσφέρειν οἱ ἀρχιερεῖς, αἴτιον γενέσθαι ἐξῆς παντελοῦς ἀμελείας καὶ καθαιρέσεως τῆς σχολῆς, τούτου τριτημόριον ἀπολαβὼν καὶ διὰ νέου σιγγιλιώδους γράμματος διαταξάμενος, εὐμαρῶς καὶ ἀλύπως χορηγεῖν μικρόν τι εἰς σύστασιν τῆς σχολῆς ἅπαντας τοὺς ἀρχιερεῖς συνεκίνησεν· ἐντεῦθεν οὖν οὐ διέλιπον χορηγοῦντες, οὐδὲ παύσονται τῆς προχείρου ταύτης ἐπικουρίας τῶν λόγων, ὅτε καὶ διδάσκαλος παρῇ ἱκανὸς πρὸς διδασκαλίαν ἐπιστημῶν, καὶ τὴν ἄλλην συμπεριφορὰν τῆς πολυπαθοῦς ταύτης οἰκήσεως ἀνεχόμενος· ἐπετίμα δὲ καὶ τοῖς ἐπιβάλλουσι προχείρως διερμηνεύειν ἐν ἄλλαις διαλέκτοις τὰς Γραφάς, καὶ οὐδὲ ἐπέτρεπεν ἄνευ ἀνάγκης μεταφράζειν ἢ εὐχὰς ψελλίζειν ἐν ἄλλῃ διαλέκτῳ, μάλιστα τῇ συμμίκτῳ ταύτῃ Ὀθωμανικῇ· τοὺς μὲν εἰς εἰς βάθος ἑκατέρων τῶν διαλέκτων τὴν δύναμιν ἔχοντας, ἔλεγε γὰρ ὡς ἐργῶδες καὶ σχεδὸν ἀνέφικτον ἀκριβῶς μεταφράσαι, ὥστε σώζειν τὴν ἔμφασιν τῶν ρητῶν καὶ περιόδων, καὶ ἁπλῶς πολλῶν λέξεων, καὶ ἄνευ ἀνάγκης, εἴτουν προκειμένης ὠφελείας ἀκροατῶν, οὐκ ἔξεστι μεταποιεῖν· οὐδὲ γὰρ αὐτὸς παρὰ τὰς ἑρμηνείας τῶν Γραφῶν, ἃς ἐποίει ἐν διαλέκτοις, ηὔχετο κατ' ἰδίαν ἢ κοινῇ ἀραβικῇ διαλέκτῳ καίτοι ὑπὲρ πάντας ἐπιστάμενος, οὐδ' ἄλλῃ τινι, ἀλλὰ ἑλληνικῇ πάσῃ διαλέκτῳ μηδεμίαν ταύτης προσθείς· τὸν γὰρ μὴ ταύτην εἰδότα, χρῆσθαι ἑτέρᾳ, ἢ πρὸς τὸ μὴ αὐτῆς συνιέντα δι' ἄλλης λαλεῖν ἐπάναγκες, τὸν δὲ εἰδότα ἀναγινώσκειν καὶ συνιέντα ἀκαίρως μέντοι παραψελλίζειν ἐν τοῖς ἱεροῖς ἀλλοτρίας γλώσσης εὐχόμενον,

ἢ ἑρμηνεύοντα, οὐ διὰ χρείαν ἀλλὰ διὰ τύφον λαλοῦντα, ἀπέτρεπε· ἠγάπα δὲ σφόδρα τὸν ἕλληνα λόγον, καὶ πάντας ἤθελε τοῦτον εἰδέναι, διὸ καὶ περὶ σχολείων ἐφρόντιζε.

Ἐπειδὴ δὲ ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος οἱ ἀσκηταὶ οὐκ ἐπαύοντο διαφερόμενοι περὶ τῶν μερικῶν μνημοσύνων, καὶ σκάνδαλον ἦν αὐτοῖς τὰ κόλυβα προτιθέμενα ἐν κυριακῇ, ἀνῆλθεν ὁ ὁσιώτατος ἀσκητὴς καὶ διδάσκαλος Βησσαρίων εἰς Κωνσταντινούπολιν, καὶ ἐντυχὼν τῷ παναγιωτάτῳ κυρίῳ Σωφρονίῳ ἀνήγγειλε τὰ περὶ αὐτῶν, καὶ ἐκθέμενος τὰς γνώμας τῶν ἀντιφερομένων καὶ τὰ τῶν λόγων ἐπιχειρήματα, συνοδικὴν περὶ τούτων διάγνωσιν ᾐτεῖτο εἰς κοινὴν εἰρήνην καὶ ὁμόνοιαν· συνελθόντες οὖν οἱ ἅγιοι ἀρχιερεῖς καὶ κληρικοὶ καὶ συνδιασκεψάμενοι μετὰ τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κυρίου Σωφρονίου, συνοδικῇ τῇ διαγνώσει ἔγραψαν αὐτοῖς τὴν προτέραν ἀνανεώσαντες ἀπόφασιν, ὡς οἱ ποιοῦντες τὰ μερικὰ μνημόσυνα ἐν σαββάτῳ καλῶς ποιοῦσι, καὶ οἱ ποιοῦντες αὐτὰ ἐν κυριακῇ οὐχ ἁμαρτάνουσι· τοὺς δὲ ἀντιλέγοντας καὶ ἐναντιουμένους τούτοις, καὶ τὴν ἡσυχίαν καὶ εἰρήνην τῶν ὁσίων ἀσκητῶν διενοχλοῦντας, καὶ κοινῇ σκάνδαλον ἐμποιοῦντας, ἐπιτιμίοις ὑπέβαλον, ἂν μὴ παύσωνται. Νεωτερικὸν δὲ τὸ ἐφεύρημα, καὶ ξένην καὶ ἀπαράδεκτον τῇ ἀποστολικῇ καὶ καθολικῇ ὀρθοδόξῳ ἐκκλησίᾳ συνοδικῶς ἀπεφήνατο καὶ τὴν εἰκόνα τὴν λεγομένην τῆς ἁγίας Τριάδος· ἐκ γὰρ τῶν λατίνων παρεισέδυ τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ.

Πολυμερὴς οὖν γενομένη ἐκ τῶν ἀντιπεφυκότων ἡ ἐν τῇ πατριαρχικῇ αὐλῇ διοίκησις, ὡς εἴρηται, συχνὴν εἶχε τὴν μεταβολὴν καὶ πολυειδεῖς τὰς νόσους· διὸ ὅσον κατ' ἀρχὰς προχειροτέρα ἐδόκει, τοσοῦτον δυσχερεστέρα ἀπέβη, καὶ καθ' ἑκάστην πράγματα παρεῖχε καὶ ἐνοχλήσεις διακενῆς, καὶ πολυμερίμνους φροντίδας τῷ οἰκουμενικῷ πατριάρχῃ, μεριμνῶντι περὶ τῆς καλῆς καταστάσεως καὶ κοινῆς ἁρμονίας τῶν ἐκκλησιαστι-

κῶν· ταύτην γοῦν πολλαχῶς πρότερον παθοῦσαν, τέως διετάραττε βαρὺς ἐμπεσὼν ὁ Νικομηδείας Μελέτιος· περιστοιχούμενος γὰρ καὶ ἐπερειδόμενος οὗτος τῇ δυνάμει καὶ εὐνοίᾳ πολλῶν ἀρχόντων καὶ τῶν αὐτῷ προσκειμένων ἐπιτρόπων, πολλὰ ἐποίει καὶ περὶ πολλῶν διηνώχλει τὸν παναγιώτατον κύριον Σωφρόνιον, καὶ τῶν ἁγίων ἀρχιερέων ἀποσχοινισθεὶς τούτους κατεφρόνει, τοὺς δὲ κοσμικοὺς ἐθεράπευε, κεχαρισμένα αὐτοῖς πάντα ποιῶν· διὸ οἱ ἐνδημοῦντες ἀρχιερεῖς κατολιγωρούμενοι ὑπ' αὐτοῦ καὶ περὶ πλειόνων θλιβόμενοι, συνίσταντο καὶ συνεκινοῦντο κατ' αὐτοῦ· καὶ δὴ συνόδου γενομένης ὁμοθυμαδὸν κατήλεγξαν αὐτοῦ τὸ ἔκτροπον καὶ παράφορον καὶ ὑπεροπτικὸν καὶ ἀλαζονικὸν καὶ ἐπιζήμιον, ἐπαπειλοῦντες παντελῆ αὐτοῦ καταστροφήν, εἰ μὴ τοῦ λοιποῦ παύσῃ, τὴν δικαίαν τάξιν τηρῶν καὶ ἐν ἰδίοις ὅροις ἐμμένων· ἐκ τούτου οὖν ἐρράγη προφανῶς τὸ κοινὸν σύστημα· καὶ οἱ μὲν τοὺς ἀρχιερεῖς δικαιοῦντες, ὑπὲρ αὐτῶν καὶ τῆς συνοδικῆς εὐνομίας ἵσταντο· οἱ δὲ τὸν Νικομηδείας περιέποντες καὶ φιλοῦντες ὑπὲρ αὐτοῦ πάντα ἔπραττον, καὶ τὴν ἐπιτροπικὴν συνιστῶντες τοῦτον ἐμεγάλυνον καὶ ὑπερύψουν· ὁ δὲ παναγιώτατος Σωφρόνιος ἀποστρεφόμενος τὸν τύφον καὶ τὴν ἔπαρσιν τοῦ Νικομηδείας, τοὺς βαρυνομένους καὶ καταβοῶντας ἀρχιερεῖς ἐδικαίου καὶ καταπεσεῖν ἤθελε· κατανοήσας δὲ κατάφρακτον αὐτοῦ τὸ ὀχύρωμα καὶ τὴν ἐπιτροπικὴν συμμορίαν ὑπεργινομένην τῶν ἀρχιερέων, τὴν ἐπομένην κατ' αὐτῶν βίαν καὶ τὰς ἐπιζημίους ἐκ δυσμενείας ὁρμὰς ἀποτρέψαι ἐφρόντιζε, δίκαιον μὲν ἡγούμενος τὸ ἐπιχείρημα, ἄκαιρον δὲ εὑρὼν καὶ τοῖς ὅλοις ἐπιβλαβές· διὸ καλῶς οἰκονομήσας καὶ πολλὰ διενεργήσας καὶ ἐπειπών, καθησύχασε τὸν σάλον, ἀβλαβεῖς συντηρήσας τοὺς ἀρχιερεῖς, καὶ εἰρήνην αὐτοῖς διαπραξάμενος.

Ηὔξησαν δὲ τὰ χρέη τοῦ κοινοῦ, διότι πολλὰ κατεξώδευον οἱ ἐπίτροποι· καὶ ἐπεὶ ἐράνους καὶ συνεισφορὰς ἀπαιτεῖν

ἀπεῖπόν ποτε, καὶ προσεπαύξειν ἄνευ εὐλόγου αἰτίας τὸ κοινὸν τῆς ἐκκλησίας προσόχθισμα ᾐσχύνοντο, ἤθελον δὲ καὶ πολλοὺς τῶν ἀρχιερέων ἀποπέμψαι εἰς τὰς ἰδίας ἐπαρχίας, ἵνα μὴ ἐγγὺς ἀνθισταμένους τῷ αὐτῶν συστήματι ἔχωσι, καὶ ἔργα κοινωφελοῦς ἐπιδεῖξαι προνοίας, ἐπινοοῦσί τι δῆθεν συμφέρον, καὶ διενεργήσαντες κατορθοῦσιν, ὥστε ὁρισμὸν δικαιοπραγίας ἀπολυθῆναι τοῦ κράτους, πρὸς πάντα ἡγεμόνα καὶ σατράπην, κριτήν τε καὶ ἄρχοντα ὑπὲρ τοῦ εὐσεβοῦς λαοῦ καὶ τῶν μητροπολιτῶν· τοῦτον οὖν ἐξέδωκεν ὁ κράτιστος μονάρχης φιλανθρωπευόμενος, ἐν ᾧ διεκελεύετο σφοδρῶς ἐπιτάσσων πάντα ἄρχοντα ἀπέχειν καθάπαξ τῆς πρὸς τὸν ὑπόφορον Ρωμαῖον καὶ τοὺς αὐτῶν μητροπολίτας καὶ ἐπισκόπους οἱασοῦν βίας τε καὶ ἀδικίας καὶ ἄλλης διενοχλήσεως, περιθάλποντας καὶ συντηροῦντας ἐπιμελῶς ἐν ἀνέσει καὶ εὐνομίᾳ, ἐπαπειλῶν, ὡς εἴ τις φωραθείη ταύτην τὴν βασιλικὴν προσταγὴν ἀθετῶν καὶ παραβαίνων, καὶ τὴν ἔννομον δικαιοσύνην μὴ συντηρῶν, καὶ βίαν τινὰ καὶ ἁρπαγὴν ἐπιφέρων τῷ γένει τῶν ὑποφόρων Ρωμαίων, ἢ τοὺς μητροπολίτας καὶ ἐπισκόπους αὐτῶν οἱῳδήποτε τρόπῳ ἐπηρεάζων καὶ ἐνοχλῶν καὶ κωλύων διενεργεῖν τὰ ἐπιτετραμμένα αὐτοῖς καὶ παραλόγως χρήματα ἀπαιτῶν, οὗτος τῆς δικαίας ὀργῆς καὶ τιμωρίας οὐκ ἂν ἐκφύγοι· τοιαῦτα οὖν ἔγγραφα βασιλικά, πλήρη φιλανθρωπίας καὶ δικαιοπραγίας, ἀπελύθησαν εἰς πᾶσαν ἐπαρχίαν· ἀπέβη μέντοι τοὐναντίον ἢ προσεδόκησαν οἱ ἐπίτροποι· οἱ γὰρ κατὰ τόπον κριταὶ καὶ ἄρχοντες ἐξηγριώθησαν κατὰ τῶν ἀρχιερέων, ὑπολαβόντες ἀναφορὰς κατ' αὐτῶν πρὸς τὸ κράτος ἀνενεγκεῖν, δι' ἃς τοιαῦτα ἐξεδόθη τὰ προστάγματα, καὶ πολλοὺς μὲν αὐτῶν λόγοις κατήλεγχον διὰ τί μηδὲν παθόντες κακὸν καταβοῶσιν αὐτῶν πρὸς τὸν ἄνακτα, πολλοὺς δὲ καὶ ἐζημίωσαν χρήματα πρόστιμον συκοφαντίας ἐπιβαλόντες· ἀλλ' εἰ καὶ μηδενὶ ὠφέλησε τὸ τοιοῦτον ἐπινόημα, ἤρκεσε μέντοι τὰ ἄλλως ἀναλωθέντα τοῦ κοινοῦ χρήματα διὰ ἴδια

πάθη καὶ διαφέροντα, ὡς ὑπὲρ τοῦ τοιούτου κοινοῦ συμφέροντος δαπανηθέντα ἐπιλογίσασθαι, καὶ ὡς δῆθεν προφάσεως ἁπάσης ἀναιρεθείσης καὶ γενικῆς παρούσης εὐνομίας, κατεβιάζοντό τινας τῶν ἐνδημούντων ἀρχιερέων, οὓς ὑπώπτευον ἀπαρέσκεσθαι τοῖς πραττομένοις, εἰς τὰς ἰδίας αὐτῶν ἀπελθεῖν ἐπαρχίας.

Ὁ μὲν οὖν Νικομηδείας Μελέτιος ἦγε καὶ ἔφερε πάντα, παρωθῶν καὶ κατολιγωρῶν τοὺς συναδέλφους ἀρχιερεῖς, τοῖς κοσμικοῖς προσκείμενος· ὁ δὲ παναγιώτατος κύριος Σωφρόνιος ὑπὸ τυραννίαν ὑποπεσὼν κατωδυνᾶτο καὶ ἔστενεν, οἴκτιστα πάσχων καὶ πολὺν ἔχων τῶν λογισμῶν τὸν θόρυβον· κατανοῶν δ' ὡς οὐκ ἂν ἄλλως τῆς τοιαύτης τυραννίας ἀπαλλαγείη, εἰμὴ διὰ βιαίας καταφορᾶς καὶ δημεγερσίας, συνεννοῶν δὲ καὶ τὸν ἀπ' ἀρχῆς αὐτοῦ ὅλον βίον ἥσυχον ἐν πραότητι καὶ εὐαγγελικῇ ἀνοχῇ, ἵνα μὴ τὸν ἴδιον χαρακτῆρα διολέσῃ τῆς τυραννίας τὴν ὕβριν ὑπέφερε· πλὴν καθ' ἑκάστην δυσφορῶν καὶ ἀνιώμενος ἐπὶ τοῖς γιγνομένοις, τῆς βαρυτάτης δυσθυμίας τὴν πικρίαν ἀποπτύειν εἰς πρόσωπον τῶν βιαστῶν ἠναγκάζετο, ἀπελέγχων τὰς παραλόγους αὐτῶν ὁρμὰς καὶ τυραννικὰς βίας καὶ ἄδικα ἐπιχειρήματα· ἐν τοιούτοις οὖν διαγωνιζόμενος μετὰ πέμπτον ἔτος κατεβαρύνθη, καὶ πρὸς τέλος τοῦ βίου ἀπέκλινε, καὶ μικρὸν νοσήσας, καὶ μηδὲ βραχὺ τῆς ἀρετῆς ὑποχαλάσας τὸν τόνον, κατέκειτο αἰνῶν καὶ δοξάζων ἀπαύστως τὸν κύριον, καὶ τοὺς προσιόντας ἀποδεχόμενος καὶ εὐλογῶν· συνέτρεχον γὰρ ἀρχιερεῖς, ἄρχοντες, πολὺς ὁ εὐσεβὴς λαὸς ἐπὶ ἡμέρας, λαμβάνοντες τὰς εὐλογίας αὐτοῦ· τῇ δὲ ὀγδόῃ ὀκτωβρίου τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ σωτηρίου ἔτους, ἀφ' ἑσπέρας εὐλογήσας τὸν θεὸν τὸν λυχνικὸν ὕμνον ᾄδειν προσέταξε, καὶ μεθ' ὥραν πάλιν εὐλογήσας τὸν θεὸν καὶ προσεύχεσθαι τοὺς παρευρεθέντας παραγγείλας, μετὰ μικρὸν πρὸς κύριον φαιδρῶς ἐξεδήμησε, τὸν οἰκουμενικὸν διϊθύνας θρόνον πέντε ἔτη καὶ μῆνας ἐννέα καὶ ἡμέρας δεκατέσσαρας.

Ἦν δὲ ὁ παναγιώτατος κύριος Σωφρόνιος τὴν πατρίδα Δαμασκηνός, ἐκ παίδων τὴν καλὴν ἀγωγὴν καὶ μάθησιν ἐν Ἱεροσολύμοις παιδευθείς· εὐδοκιμήσας δὲ κατά τε δύναμιν λόγου καὶ τὴν ἄλλην ἀρετήν, Χαλυβῶνος ἤτοι Χαλεπίου μητροπολίτης χειροτονεῖται· πολλοὺς δὲ διωγμοὺς καὶ ποικίλας ἐπιβουλὰς παρὰ τῶν λατινοφρόνων καὶ μισιοναρίων δεξάμενος, τέλος καταπολεμηθεὶς ἐκεῖθεν ἀπέδρα, καὶ μὴ δυνάμενος ἐπανελθεῖν παραιτεῖται· παραιτησάμενος δὲ ταύτην μητροπολίτης Πτολεμαΐδος ὑπὸ τῶν ἐν Ἱεροσολύμοις ψηφίζεται, καὶ ταύτην παραδέχεται, ἴδιον ἔργον τὴν διδασκαλίαν καὶ ἑρμηνείαν τῶν θείων Γραφῶν ποιούμενος· ἐκεῖθεν δὲ ἀνελθὼν εἰς Κωνσταντινούπολιν καὶ ἱκανὸν χρόνον ἐνδιατρίψας, καὶ ἐπ' ἐκκλησίας τὸν εὐαγγελικὸν λόγον διακηρύξας καὶ εὐλάβειαν καὶ ἀγάπην κοινὴν προσκτησάμενος, τοῦ ἀοιδίμου πατριάρχου Ἐφραὶμ πρὸς κύριον ἐκδημήσαντος, κοινῇ γνώμῃ πατριάρχης Ἱεροσολύμων προβιβάζεται· διϊθύνας δὲ σχεδὸν πέντε ἔτη τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον τῶν Ἱεροσολύμων, ἐντεῦθεν μετατίθεται εἰς τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον τῆς Κωνσταντινουπόλεως, καὶ τοῦτον βραχύ τι ἔλαττον τῶν ἓξ ἐτῶν διϊθύνας, ἐκ τούτου πρὸς κύριον ἐξεδήμησεν. Ἦν δὲ ἔκ τινος κώμης τῶν περιοίκων τῆς Δαμασκοῦ, ἀλλ' ἐκ γονέων καλῶν κἀγαθῶν, ἄνωθεν εὐσεβῶν· διὸ καὶ εὐφυὴς καὶ ἀγχίνους καὶ ἐκ πρώτης βαλβῖδος τοῦ ζῆν εὐμαθής, γενναῖος, εὐσταθής, φιλοπονώτατος· ὅθεν τὰ ἐγκύκλια διδαχθεὶς ἐν Ἱεροσολύμοις, προσχὼν ταῖς ἱεραῖς Γραφαῖς ἀπεμάξατο ἐν τῇ ἑρμηνείᾳ τῶν θείων λόγων τὴν ἡδύτητα, τὴν δύναμιν, τὸν νοῦν τοῦ θείου πατρὸς Χρυσοστόμου, καὶ εἰς βάθος εἰσέδυ τῶν Γραφῶν· ἐκ δὲ τῆς διδασκαλίας τῶν θείων πατέρων, καὶ τοῦ ζήλου καὶ τῆς μιμήσεως τῶν πρακτικῶς ἐναρέτων, διατυπώσας καὶ καλλύνας τὸ ἦθος, ἀρετῶν ἔμψυχον διέπλασεν ἑαυτὸν ἄγαλμα· οὐδὲν γὰρ παρῆκεν ἄκοσμον, καὶ ἀτημέλητον, οὐ σχῆμα, οὐ βλέμμα, οὐ κίνημα, οὐ στάσιν, οὐ κατάκλισιν·

λόγος δὲ πᾶς ἦν αὐτῷ ἅλατι ἠρτυμένος, περιβολὴ πενιχρὰ ἀλλ' εὐσταλής, πρόσωπον ἱλαρώτατον καὶ περικεχυμένον τῆς ἔσωθεν γαλήνης τῇ χάριτι· προσοχὴ αὐτῷ διηνεκής, ἀπόκρισις ἀεὶ εὔστοχος, ἄπλαστος βίος, ἀληθὴς ταπείνωσις, ἀγάπη εἰλικρινής, ἐγκράτεια διηνεκής, σωφροσύνη ὁλική, ἀπροσπάθεια βίου, ὀλιγωρία κόσμου, ἀκτημοσύνη παντελής, μελέτη συνεχής, προσευχὴ ἀκατάπαυστος, πίστις καὶ ἐλπὶς εἰς θεὸν τελεία, δι' ὧν συνήθροισε τῶν τε ὀνομαστῶν καὶ ἀκατονομάστων ἀρετῶν τὴν φαιδρότητα καὶ δύναμιν· εἰ δὲ καὶ ἐν τῇ πατριαρχείᾳ αὐτοῦ καὶ τῶν Ἱεροσολυμιτῶν τινας καὶ τῶν Κωνσταντινουπολιτῶν οὐκ εὐχαρίστησε, πρόδηλον ἐν οἷς ἀπηρέσκοντο· μικρὰ γὰρ ἡγεῖτο καὶ ὡς περὶ μικρῶν τῶν χρημάτων ἐφρόντιζεν, οἷς ἀρέσκονται τεθηπότες οἱ πολλοί· ἀλλ' οὗτος διὰ βίου τὴν ὄντως ἀρετὴν ζηλώσας καὶ κατορθώσας εὐστόχως, καὶ λόγῳ καὶ ἔργῳ διδάξας μέχρι πνοῆς ἐσχάτης· οὐδὲ γὰρ ἐπὶ τῆς κλίνης κατακείμενος ἔλυσε τὴν ὀσφὺν αὐτοῦ, ἢ μεθῆκε τὸ ἱμάτιον· φαιδρὸς ἐν ὕμνοις πρὸς κύριον ἐξεδήμησε, καὶ πλεῖον ἀφῆκε τὸ θαῦμα, τὸν πόθον τὴν μνήμην τοῖς εἰδόσι θαυμάζειν ἀνδρὸς ἀρετήν, παμπληθοῦς γενομένης τῆς συρροῆς τοῦ εὐσεβοῦς λαοῦ, καὶ λίαν ἐνδόξου καὶ περιφανοῦς τῆς ἐξόδου, καὶ φαιδροτάτης τῆς πανηγύρεως ἐν ᾠδαῖς καὶ ὕμνοις ἐν τῷ ναῷ τῶν Ἀσωμάτων κατὰ τὸ Μέγα Ρεῦμα, ὅπου κατέθεντο τὸ τίμιον αὐτοῦ λείψανον.

Ἐπὶ δὲ τὸν ἱερὸν αὐτοῦ τάφον συνετέθη μοι καὶ τὰ ἑξῆς ἐπιτύμβια,

Τύμβος θεσπεσίου οἰκουμενικοῦ πατριάρχου
Ἐξ Ἱερουσολύμων, Σωφρονίου πραέως,
Οὗ γενεὴ μὲν Δαμασκός, σοφίη δέ κε θείη
Καὶ ἀρετὴ πᾶσα, ἠύγασε γῆς πέρατα.

Χρονολογικόν.

Ἰδοὺ δὴ νῦν, σὺ δ' ἀρίθμει.

Ἕτερον.

Δαμασκὸς γενεὴν φαίνει, σοφίην δὲ τά τ' ἔργα
Οὐκ Ἀσίη μούνη, πείρατα πάντα γέης
Σωφρονίου τοῦ πραοτάτου θείου πατριάρχου
Τοῦ οἰκουμενικοῦ ἐξ Ἱερουσολύμων,

Χρονολογικόν.

Οὗπερ καὶ τόγε δὴ σῆμα ἐνθάδ' ὁράεις.

Ἕτερον.

Ἐξ Ἱερουσολύμων οἰκουμενικὸς ἐπιλάμψας,
Ἐνθάδε ὡς φωστὴρ Σωφρόνιος κατέδυ.

Ἕτερον.

Ἐνθάδε Σωφρονίου οἰκουμενικοῦ πατριάρχου
Καὶ κόνις αὐγάζει μαρμαρυγὴν ἄφατον·
Κείνου τοῦ μεγάλου ἐκ Δαμασκοῦ φωστῆρος,
Τοῦ οἰκουμενικοῦ ἐξ Ἱερουσολύμων.
Ἠέλιος γὰρ θ' ὡς κεῖνος κατὰ πείρατα γαίης
Λάμψας θεσπεσίως κάλλεσι τῶν ἀρετῶν,
Ἐξ ἀδύτου νῦν τηλαυγεῖ κατ' Ὄλυμπον ἀΐξας,
Πᾶσιν ἀπαυγάζων θέσκελον ἀστεροπήν.

Χρονολογικόν.

Λάαν ἀγλαὸν ἔτος ἦγ' ἐπὶ τύμβον.

Ἕτερον.

Δαμασκός, Χαλυβών, Πτολεμαΐς, Ἱερουσαλήμ,
Τί δὲ λέγω; πᾶσα λῆξις ὑφ' ἠελίῳ
Στίλβει Σωφρονίου οἰκουμενικοῦ πατριάρχου
Ἐν σοφίᾳ, ἀρετῇ, ἔν τε θυηπολίῃς,

Χρονολογικόν.

Οὗ ἱερὰ κόνις ὑπὸ λίθον πέλει.

Ἕτερον.

Θεσπεσίως ἀρεταῖς ἐπιλάμψας ὕψος ἐπ' ἄκρον
Τοῦ οἰκουμενικοῦ ἐξ Ἱερουσολύμων,
Ἐνθάδε Σωφρόνιος λίπε χοῦν κατ' Ὄλυμπον ἀΐξας·
Εἰ θνητὸς κεῖνος τἄλλα γὰρ οὐράνιος.

Χρονολογικόν.

Ἀγλαὸς δὲ λίθος ἠδὶ καθ' ἱερὸν τύμβον.

Ἕτερον.

Οὐκ ἔτ' ἄρ' ἐκ θώκου Πτολεμαΐδος, οὐ Χαλυβῶνος,
Οὐχ Ἱερισολύμων, οὐδ' οἰκουμενικοῦ
Ἔνθεν ἀΐξας γάρ, τηλαυγεῖ νῦν κατ' Ὄλυμπον
Σωφρόνιος φωστὴρ εὐσεβίης ὁ μέγας,

Χρονολογικόν.

Οὗ τόδ' ἄρα τελεῖ ἱερὸν σῆμα.

Ἕτερον.

Σῆμα τίνος; θείου οἰκουμενικοῦ πατριάρχου
Ἐξ Ἱερουσολύμων, θεσπεσίου ἀρεταῖς,
Σωφρονίου ἄρα τοῦ ἐκ Δαμασκοῦ, ὃς ἀπ' ἄκρου
Πείρατα γαίης πάντ' ηὔγασεν ἓξ ἔτεα.

ΜΕΡΟΣ Δ'.

Τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κυρίου Σωφρονίου τῇ ὀγδόῃ τοῦ Ὀκτωβρίου μηνὸς τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ σωτηρίου ἔτους πρὸς κύριον ἐκδημήσαντος, συνελθόντες οἵτε ἐνδημοῦντες ἀρχιερεῖς, καὶ οἱ εὐγενέστατοι ἄρχοντες καὶ κληρικοὶ τῆς μεγάλης ἐκκλησίας, συνδιασκεψάμενοι κοινῇ γνώμῃ καὶ ἐκλογῇ νομίμῳ ἐξελέξαντο

ψηφίσαντες οἰκουμενικὸν πατριάρχην τὸν μητροπολίτην Παλαιῶν Πατρῶν κύριον Γαβριὴλ, καὶ δόντες ἀναφορὰν τῷ κράτει ᾐτήσαντο καὶ ἔλαβον ἐπ' αὐτῷ βασιλικὸν ὁρισμόν· ἀπέστειλαν οὖν πρὸς αὐτὸν τά τε τῆς ἐκκλησίας γράμματα δηλοποιοῦντες τὴν κατὰ νόμον κοινὴν ἐκλογὴν καὶ ψῆφον ἐπ' αὐτόν, καὶ τὸν βασιλικὸν ὁρισμόν, προσκαλοῦντες κοινῶς εἰς τὸν ἁγιώτατον ἀποστολικὸν οἰκουμενικὸν θρόνον· ὁ δὲ δεξάμενος τὰ γράμματα παρά τε τῶν σταλθέντων τῆς πατριαρχικῆς αὐλῆς, καὶ τῆς ὑψηλῆς Πόρτας, καὶ ἐνιδὼν τὴν ἐπ' αὐτὸν ἐκλογὴν καὶ κοινὴν ψῆφον, καὶ ἐκπλαγεὶς ἐπὶ τῷ ἀδοκήτῳ τῆς τοιαύτης προσκλήσεως, ἐκφυγεῖν μὲν οὐκ ἠδύνατο, ἠγωνία δὲ ἐπὶ τῷ μεγέθει τοῦ πράγματος, καὶ οὐκ ἐτόλμα ἀποδέξασθαι· συνορῶν δὲ ἐκτετελεσμένην τὴν ψῆφον καὶ ἐκπεφασμένον ἐπ' αὐτὸν τὸν βασιλικὸν ὁρισμόν, μετὰ πολλὴν τὴν ὥραν ἐπειπὼν, γενέσθω τὸ θέλημα τοῦ θεοῦ, ἀπεδέξατο τὴν κοινὴν ψῆφον καὶ ἐκλογήν, καὶ συνταξάμενος τοῖς ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ ἀγαπητοῖς τέκνοις διὰ πολλῶν ἀμοιβαίων δακρύων ὁδοῦ ἥψατο, καὶ ἐντίμως διὰ τῶν μεταξὺ ἐθνῶν δεξιούμενος ὑπὸ τῶν κατὰ τόπους ἡγεμόνων, ἀνελθὼν εἰς Κωνσταντινούπολιν παρέστη τῷ τῆς βασιλείας ἐπιτρόπῳ μετὰ τῶν ἐνδημούντων ἁγίων ἀρχιερέων τῇ δεκάτῃ δευτέρᾳ τοῦ ἑξῆς μηνὸς Δεκεμβρίου, καὶ παραλαβόντες τὰ συνήθη καββάδια ὑπέστρεψαν ἐνδόξως εἰς τὸ πατριαρχεῖον, καὶ γενομένου κανονικῶς διὰ μεταθέσεως τοῦ προβιβασμοῦ ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος ἁγίου Γεωργίου, ἀνευφήμισαν αὐτὸν οἰκουμενικὸν πατριάρχην.

Ὁ μὲν οὖν παναγιώτατος κύριος Γαβριὴλ διαδεξάμενος τὸν οἰκουμενικὸν θρόνον διὰ κοινῆς ἐκλογῆς καὶ ψήφου, ὡς εἴρηται, καὶ εὑρὼν τυραννουμένην τὴν ἐκκλησιαστικὴν κατάστασιν, ἐδυσχέραινε μὲν εὐθύς, ἐπεμελεῖτο δὲ ὡς εἶχε τοῖς τε ἀρχιερεῦσι ποιεῖν τὰ δίκαια, καὶ περὶ τῶν ἐκκλησιῶν φροντίζειν τὰ ἀνήκοντα, καὶ τοὺς βιαστὰς ἐθεράπευε, πράως καὶ ἱλαρῶς

ἀνεχόμενος τῆς βαρύτητος καὶ ὑπεροψίας καὶ συνετῶς οἰκονομῶν τὰ συμφέροντα· ἐδόκει γοῦν πάντα ἄγειν καὶ φέρειν ὁ Νικομηδείας Μελέτιος, καὶ εἰς αὐτὸν ἀνήγετο τὰ συγκυροῦντα, καὶ οὗτος περὶ πάντων διέταττεν, ὥστε οὐδὲν ἐγίνετο ἄνευ τῆς αὐτοῦ γνώμης καὶ εἰδήσεως· διὸ καὶ παρηκολούθει ἐν πλείοσι καὶ εἰς αὐτὸν ἀπέβλεπε κατ' ἀρχὰς ὁ παναγιώτατος κύριος Γαβριήλ, μηδένα μέντοι παρωθῶν τῶν ἐνδημούντων ἀρχιερέων ἢ ἀκαίρως λυπῶν, καθιλαρύνων δὲ καὶ τὸ τραχὺ τῆς διοικήσεως τῇ ἰδίᾳ πραΰτητι, ἐκφεύγων τὸν μῶμον συνετῶς πάντοθεν καὶ παραφυλαττόμενος τὸν ὄλισθον.

Τῶν δὲ ἐν τῷ ἁγίῳ Ὄρει ἱερῶν μοναστηρίων ἐπὶ τῆς κοινῆς διοικήσεως καὶ ἐφορίας κηδεμόνος πάλαι καθισταμένου τοῦ καὶ Πρώτου ἐπονομαζομένου, μετὰ δὲ τὴν τῆς βασιλείας τῶν Ρωμαίων πτῶσιν, διὰ ψιλοῦ τοῦ ἐφόρου, καὶ τεσσάρων ἐπιτρόπων ἐτησίως ἀπαλλασσομένων κατ' ἐκλογὴν καὶ μόνην συναίνεσιν τῶν ἱερῶν μοναστηρίων, ἔδοξέ τισι τὴν ἀρχαίαν ἀνανεώσασθαι τάξιν, καὶ τὸν πρῶτον αὖθις ἀποκαταστῆσαι διά τε προχειρήσεως πατριαρχικῆς καὶ βασιλείου ὁρισμοῦ· καὶ δὴ διὰ μακροῦ διασκευάσαντες καὶ τὰς τῶν πλειόνων ὑπαγαγόντες γνώμας, παρέστησαν τῷ παναγιωτάτῳ κυρίῳ Γαβριὴλ ἱερομόναχόν τινα σκευοφύλακα τοῦ πτωχοῦ μοναστηρίου τοῦ Ἐσφιγμένου, Ἰγνάτιον τοὔνομα, δοκοῦντα ρέκτην καὶ κατορθωτικόν, καὶ τοῦτον ᾐτήσαντο εἰς ταύτην τὴν προστασίαν προχειρήσασθαι, δυνάμενον τὰ ἀρχαῖα ἀνακαλέσασθαι· καὶ ἐπεὶ κατὰ κοινὴν ἐδόκει ἐκλογὴν καὶ γνώμην, συγκατένευσεν ὁ παναγιώτατος, καὶ προχειρισάμενος πρῶτον τῆς κοινότητος τοῦ ἁγίου Ὄρους ἀνέδειξε· μαθόντες οὖν οἱ προεστοὶ τῆς μεγάλης Λαύρας καὶ τῆς μεγάλης μονῆς τῶν Ἰβήρων, καὶ μὴ ἀνεχόμενοι ὑπὸ τοιούτου διοικεῖσθαι καὶ ἄρχεσθαι, ὑφορώμενοι δὲ καὶ τὴν νέαν ἐπίνοιαν ἐπιβλαβεστάτην, ἀντέστησαν, καὶ ἀποδεικνύοντες ὀλεθριωτάτην τῷ κοινῷ τὴν αὐτοῦ ἐξουσίαν, κατεπολέμησαν τὸν πρῶτον, ἀ-

χρις οὗ συνέθλασαν αὐτοῦ τὴν ῥάβδον, καὶ περιέστειλαν τὸ κουκούλιον, ἔχοντες εἰς τοῦτο συνεργὸν τὸν μέγαν διερμηνευτὴν τῆς βασιλείας Νικόλαον Καρατζᾶν καὶ πολλοὺς ἄλλους, τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου σοφωτέρᾳ προνοίᾳ ἀποδοκιμάσαντος τὴν προχείρισιν.

Κατὰ δὲ τὸ αὐτὸ ὀγδοηκοστὸν πρῶτον ἔτος ἀπεστάλη παρὰ τῶν ὀρθοδόξων χριστιανῶν τῶν ἐν ταῖς κλειναῖς Ἐνετίαις γράμματα ἱκετικά, δεομένων καὶ αἰτούντων ἀρχιερέα νόμιμον προστάτην τῆς ἐκεῖ ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου συστήματος, ἅμα δὲ συνέπραττε τῷ ἐκεῖθεν σταλέντι καὶ ὁ ἐν Κωνσταντινουπόλει εὑρισκόμενος πρέσβυς τῆς γαληνοτάτης ἀριστοκρατείας· οἱ δὲ συνεργοῦντες ἐδείκνυον ἐπ' αὐτῷ δεύτερον πρόσταγμα τῆς ἀριστοκρατείας· ἐντεῦθεν οὖν καὶ αὖθις ἐν τῇ ἐκκλησίᾳ γνῶμαι διάφοροι περὶ τούτου ὑπῆρξαν, τῶν μὲν ὅλως ἀπαρεσκομένων τῇ προβολῇ καὶ προχειρίσει ἀρχιερέως ἐπὶ τοιαύτῃ ἀμφιβόλῳ καὶ ἀσυστάτῳ ἀποφάσει τῶν ἐκεῖ κρατούντων, τῶν δὲ καὶ οἰκονομεῖν τὴν χρείαν τῶν ἐκεῖ ὀρθοδόξων αἱρουμένων· καὶ δὴ διὰ πολλῶν ἐξετάσαντες τέως συνῆλθον εἰς ἕν, καὶ τὸ μὲν τῆς ἀριστοκρατείας δεύτερον πρόσταγμα οὐχ ἧττον τοῦ προτέρου ἐπὶ Φατζέα ὕπουλον καὶ δολερὸν καὶ ἀσύστατον καταγνόντες ἀπεδοκίμασαν, τὴν δὲ τῶν ὀρθοδόξων χριστιανῶν ἁπλῆν δέησιν καὶ δικαίαν αἴτησιν ἀποδεξάμενοι κατὰ τὰ ἀπὸ ἀρχῆς διὰ μακροῦ προσκυρωθέντα ὑπὸ τῆς γαληνοτάτης ἀριστοκρατείας τοῖς ὀρθοδόξοις (τῶν ἀπὸ τοῦ κακόφρονος Τυπάλδου καθεξῆς εἰς βυθὸν λήθης οἰχομένων), συγκατένευσαν ὁμονοήσαντες ἔκδοσιν πατριαρχικὴν ἀποσταλῆναι ἐπὶ μεταθέσει τοῦ Κεφαλληνίας καὶ Ζακύνθου ἀρχιεπισκόπου εἰς τὴν Ἐνετίησι προεδρείαν ἐπ' ὀνόματι τοῦ Φιλαδελφείας, ἥνπερ καὶ ἐξαπέστειλαν οὕτως ἔχουσαν.

Ἔκδοσις πατριαρχική.

Θεοφιλέστατε ἀρχιεπίσκοπε Λευκάδος καὶ ἁγίας Μαύρας

ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ, καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος κὺρ . . . . . χάρις εἴη σοι καὶ εἰρήνη παρὰ θεοῦ· ἐπειδὴ καὶ ἄλλοτε ἀδείᾳ πατριαρχικῇ ἀπὸ τοῦδε τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου προεχειρίσθησαν καὶ ἐχειροτονήθησαν διὰ πατριαρχικῆς ἐκδόσεως μητροπολῖται κανονικοὶ ἐπὶ τῇ ἐπωνυμίᾳ τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας ἐν Ἑνετίᾳ εἰς ἐπίσκεψιν τῆς ἐκεῖσε ἱερᾶς τῶν ὀρθοδόξων ἐκκλησίας, καὶ εἰς πνευματικὴν ποιμαντορίαν τοῦ ἐκεῖσε καὶ εἰς τὰ πέριξ τῆς αὐτῆς γαληνοτάτης ἀριστοκρατείας τῶν Ἑνετῶν εὑρισκομένου ὀρθοδόξου λαοῦ καὶ πληρώματος· εἶτα δὲ ἐν διαστήματι χρόνων τινῶν ἔμεινεν ἥ τε ῥηθεῖσα τῶν ὀρθοδόξων ἐκκλησία, καὶ τὸ ἐκεῖσε εὐσεβὲς χριστώνυμον πλήρωμα ἐν χήτει καὶ στερήσει ἀρχιερατικῆς προστασίας καὶ ἐπισκέψεως, οἵτινες εὐσεβεῖς ἐκεῖσε Ρωμαῖοι κατοδυνώμενοι ἐπι τῇ τοιαύτῃ ὀρφανίᾳ τῆς εἴπερ τι ἄλλο, ἀναγκαίας ἀρχιερατικῆς ἐπ' αὐτοῖς ποιμαντορίας, ἔγραψαν προλαβόντως ἅπαξ καὶ δὶς καὶ πολλάκις πρὸς ἡμᾶς, καὶ πρὸς πᾶσαν τὴν περὶ ἡμᾶς ἱερὰν ὁμήγυριν, ἐπιζητοῦντες ἐνθέρμως τὴν λόγῳ μεταθέσεως κανονικὴν ἀποκατάστασιν διὰ πατριαρχικῆς ἡμετέρας ἀδείας τοῦ θεοφιλεστάτου ἐπισκόπου Κεφαλληνίας καὶ Ζακύνθου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ . . . . . ἐπὶ τῇ ῥηθείσῃ ἱερᾷ τῶν ὀρθοδόξων ἐκκλησίᾳ ἐν Ἑνετίᾳ, καὶ ἐπὶ τῷ ἐκεῖσε θείᾳ συνάρσει σωζομένῳ χριστωνύμῳ ὀρθοδόξῳ λαῷ, τῇ ἐπωνυμίᾳ τῆς μητροπόλεως Φιλαδελφείας, ἐπὶ τῷ ποιμαίνειν αὐτοὺς ὁσίως θεοφιλῶς τε καὶ θεαρέστως καὶ ποδηγετεῖν εἰς νομὰς σωτηρίας τῆς εὐαγγελικῆς χάριτος, καὶ ὑποστηρίζειν αὐτοὺς εἰς φυλακὴν καὶ ἀπαραμείωτον τήρησιν τῶν ὀρθῶν δογμάτων τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ ἁγίας ἀνατολικῆς μεγάλης ἐκκλησίας, καὶ μὴ ἐᾶν αὐτοὺς ἐκτρέπεσθαι τῆς εὐθείας ὁδοῦ, καὶ τῆς ἀληθοῦς δόξης, καὶ τοῦ ὀρθοῦ φρονήματος, οὔτε προδιδόναι τὸ

πάτριον σέβας καὶ τὴν εὐσέβειαν ἢ ἐκπίπτειν ταύτης, ἢ ὁπωσοῦν παρατρέπεσθαι· τούτου χάριν ἡμεῖς τε καὶ ἡ περὶ ἡμᾶς ἱερὰ ὁμήγυρις τῶν ἁγίων ἀρχιερέων ἱκανῶς συνδιασκεψάμενοι περὶ τῆς τοιαύτης τῶν ἐκεῖσε ὀρθοδόξων χριστιανῶν αἰτήσεως, δεῖν ἔγνωμεν ἐκτελέσαι μὲν ταύτην, ἐπὶ συνθήκαις γε μὴν, μᾶλλον δ' εἰπεῖν δεσμοῖς ἀδιαρρήκτοις καὶ ἀλύτοις ἐπιτιμίων ἐκκλησιαστικῶν κατὰ τοῦ προστησομένου πνευματικῶς τοῦ αὐτοῦ εὐσεβοῦς ποιμνίου, τοῦ φυλάττειν δηλαδὴ τὴν θεοφιλίαν αὐτοῦ τὰ ὀρθόδοξα δόγματα τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ ἁγίας ἀνατολικῆς μεγάλης ἐκκλησίας ἀπαράτρεπτα καὶ ἀπαραχάρακτα μέχρι κεραίας αὐτῆς, καὶ τὴν ἄκραν ὀφειλομένην ὑποταγὴν εἰς τὸν κατὰ καιροὺς πατριάρχην καὶ τὰ ἀρχαῖα σεμνὰ καὶ γεραρὰ προνόμια τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ πατριαρχικοῦ καὶ οἰκουμενικοῦ τούτου θρόνου, ἅπερ αὐτῷ τε τῷ οἰκουμενικῷ θρόνῳ καὶ τοῖς κατὰ καιρὸν ἰθύνειν λαχοῦσι τὰ πνευματικὰ τούτου πηδάλια ἀναποσπάστως ἀφωσίωται διά τε βασιλικῶν θεσπισμάτων τῶν ἀοιδίμων εὐσεβῶν βασιλέων, καὶ διὰ συνοδικῶν ἀποφάσεων καὶ ὑποτυπώσεων, καὶ μνημονεύειν αὐτὸν ὀφειλομένως καὶ ἀναποδράστως μόνου καὶ μόνου τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς νενόμισται, καὶ μηδένα ἕτερον ὁμολογεῖν ἢ φανερῶς ἢ κρυφίως, ἢ ὅλως διαγινώσκειν, ἄπαγε, ὑπεροχικὴν κανονικὴν καὶ πατριαρχικὴν κατεστημένον ἐπ' αὐτῷ ἐξουσίαν καὶ δεσποτείαν, ἀρχήν τε καὶ κυριότητα, εἰμὴ μόνον τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ μηδενὶ ἑτέρῳ ὑπείκειν ἢ ὑποτάσσεσθαι. Γράφοντες οὖν ἐντελλόμεθα τῇ τε θεοφιλίᾳ σου καὶ τοῖς προσκληθησομένοις παρὰ σοῦ εὐσεβέσι καὶ ὀρθοδόξοις πλησιοχώροις ἀρχιερεῦσιν, ὑποκειμένοις τῷ οἰκουμενικῷ πατριαρχικῷ ἡμῶν τούτῳ θρόνῳ, ὅπως κατὰ τὴν ἐκδοθεῖσαν καὶ στελλομένην σοι πατριαρχικὴν ἡμῶν ἔκδοσιν συνελθόντες ἐν τῇ αὐτόθι ἱερᾷ τῶν ὀρθοδόξων ἐκκλησίᾳ τῆς ὑπεραγίας ἡμῶν Θεο-

τόκου, ποιήσητε ἡμετέρᾳ πατριαρχικῇ προτροπῇ καὶ ἀδείᾳ τὴν μετάθεσιν τοῦ αὐτοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Κεφαλληνίας καὶ Ζακύνθου ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ . . . . ἐπὶ τῇ ἐπωνυμίᾳ τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας, δι' ὑπομνήματος κανονικοῦ κατεστρωμένου ἐν ἱερῷ κώδηκι κατὰ τὴν κανονικὴν ὑποτύπωσιν· προσέχετε δ' ὅμως, ἀδελφοὶ καλῶς, καὶ πτοούμενοι τὴν κόλασιν τὴν αἰώνιον καὶ εἰς νοῦν ἔχοντες καὶ διανοούμενοι τὸ φοβερὸν τοῦ θεοῦ λογοθέσιον, ὁρκίσατε αὐτὸν δι' ὠμοφορίου καὶ ἐπιτραχηλίου εἰς τὸν παντεπόπτην θεὸν, καὶ παραγγείλατε αὐτῷ φυλάξαι τὴν εὐσέβειαν καὶ ὀρθοδοξίαν, καὶ τὸ πάτριον σέβας καὶ τὰ ἀμώμητα δόγματα τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ ἁγίας ἀνατολικῆς μεγάλης ἐκκλησίας ἀπαράτρεπτα, κατὰ τὰς ἱερὰς διαταγὰς καὶ ὑποτυπώσεις τῶν ἁγίων οἰκουμενικῶν ἑπτὰ Συνόδων, αἵτινες ἐπὶ φυλακῇ τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάσυνηθροίσθησαν, καὶ στέργειν καὶ φυλάττειν τοὺς ὑπ' αὐτῶν διορισθέντας κανόνας καὶ τὰς σεπτὰς καὶ ἁγίας διατάξεις ὅσαι τοῖς ἱεροῖς ἡμῶν καὶ πνευματεμφόροις πατράσι διετυπώθησαν, καὶ μηδὲ ψιλῇ γοῦν ἐπινοίᾳ ἐναντία φρονῆσαι τῇ ἀνατολικῇ ἐκκλησίᾳ πώποτε παρ' ὅλον αὐτοῦ τὸν βίον, πάντας τε οὓς ἀποδέχεται ἡ κοινὴ αὕτη μήτηρ ἀνατολικὴ ἐκκλησία, συναποδέχεσθαι, καὶ οὓς ἀποστρέφεται συναποστρέφεσθαι, ἕπεσθαί τε ἡμῖν τε καὶ τοῖς μεθ' ἡμᾶς παναγιωτάτοις οἰκουμενικοῖς πατριάρχαις κατὰ πάντα, καὶ ὑποτάσσεσθαι, προσεπαγγειλάμενον ἐν φόβῳ θεοῦ, ἐνώπιον τῆς ἱερᾶς τοῦ Χριστοῦ εἰκόνος ἀκροωμένων ἡμῶν, καὶ ἐν θεοφιλεῖ γνώμῃ ἰθύνειν εὐσεβῶς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἄνωθεν λογικὴν ποίμνην, ἁπάσης πονηρᾶς ὑπολήψεως καθαρὸν ἑαυτὸν συντηρεῖν ὡς ἀπ' ἀρχῆς, οὕτω καὶ ἐφεξῆς ἐν ὅλῳ τῷ διαστήματι τῆς ζωῆς αὐτοῦ, ὁπόση περίεστιν αὐτῷ δύναμις, φυλάττειν τε ὡς διείληπται, καὶ ἃ κέκτηται προνόμια καὶ ὁ οἰκουμενικὸς οὗτος θρόνος ἀπαρεγχείρητα

ἐν πάσῃ τῇ ἐνορίᾳ αὐτοῦ. Ταῦτα τὰ παρ' ἡμῶν πρὸς ὑμᾶς παραγγέλματα· ἂν δέ τι τούτων ἐναντίον συμβῇ, ὑμεῖς ὄψεσθε, γινώσκοντες καὶ τοῦτο, ὅτι πρὸς τὸ ὑποπεσεῖν ὑμᾶς καὶ αὐτὸν κρίματι ἀσυγγνώστῳ, καὶ τὰς ἀπὸ τῆς ἐκκλησίας ἐσχάτας ποινὰς καὶ παιδείας ὑμεῖς τε οἱ τὴν μετάθεσιν ποιοῦντες σὺν τῷ μετατιθεμένῳ οὐδέποτε φυγεῖν δυνήσεσθε. Ποιήσατε οὖν καθὼς ὑμῖν γράφομεν, ἐν βάρει τοῦ πικροῦ κατηγόρου τῆς συνειδήσεως, καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως· ἡ δὲ τοῦ θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μεθ' ὑμῶν· ἐν ἔτει ᾳψπα'. δεκεμβρίου ϛ'.

Ἐπεὶ δὲ τὸ λαϊκὸν σύστημα ἴσχυσεν ἐν τῇ αὐλῇ τοῦ οἰκουμενικοῦ θρόνου, κατὰ μίμησιν τούτου καὶ οἱ συντελοῦντες ἄνωθεν εὐλαβείᾳ καὶ ἀγαθῷ ζήλῳ φερόμενοι εἰς τὰς χρείας τοῦ ἁγιωτάτου ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων καὶ ὑπουργοῦντες ἐν διαφόροις καιροῖς, λεγόμενοι κοινότερον ἐπίτροποι, πειρῶντο ἐνισχύειν τὴν ἐπιτροπικήν, καὶ τῶν ἐθίμων καὶ λόγων καὶ ἐπιχειρημάτων ὑπεράλλεσθαι. Ὁ δὲ μακαριώτατος κύριος Ἀβράμιος καὶ οἱ περὶ αὐτὸν συνετῶς οἰκονομοῦντες ἀπεσόβουν καὶ διετείχιζον τὴν κακόζηλον αὐτῶν ὁρμήν, συντηροῦντες τὴν ἰδίαν τάξιν, καὶ τὴν ἄνωθεν αὐτοῖς δόκιμον διοίκησιν. Κατ' αὐτὸ δὲ τοῦτο προαγαγεῖν καὶ τὴν ἐπιτροπικὴν τοῦ ἁγίου Ὄρους κατεσπούδαζον τινὲς τῶν ἐν Κωνσταντινουπόλει δυνατῶν, καὶ πολλὰ ἐποίουν, ὥστε μεταγαγεῖν ἐνταῦθα τὴν πᾶσαν ἐξουσίαν καὶ δύναμιν ἐπὶ τῷ ἄγειν καὶ κινεῖν, καὶ ὅλως οἰκονομεῖν τὰ κοινὰ τῶν ἱερῶν μοναστηρίων, ἔχοντες καί τινας τῶν ἀνοήτων ἁγιοριτῶν συνεργοὺς καὶ συμπράκτορας. Ἡ δὲ βαθυγνώμων καὶ εὔβουλος ὁμήγυρις τῶν ἐκεῖ φρονίμων προεστῶν καὶ γερόντων ἐμβλέπουσα τὴν ἐν βάθει τοῦ τοιούτου συστήματος λύμην, καὶ προνοοῦσα τοῦ μέλλοντος, καὶ ἀποφεύγουσα τὰ ἐπιόντα κακά, ἀντέστη γενναίως, καὶ πολλαχῶς ἀντενεργήσασα ἀπεσόβησε τὴν κατὰ τοῦ κοινοῦ

πονηρὰν καὶ ὀλεθρίαν σύστασιν, μηδὲν πλέον ἔχειν τοὺς ἐπιτρόπους τοῦ συνήθους χαρακτῆρος συγχωρήσασα. Ἀρκεῖ γὰρ ἔλεγον, περὶ ὧν ἡμεῖς γράφομεν, εἰ βούλονται διὰ τὸν θεὸν ὑπουργεῖν, καὶ παρ' αὐτοῖς εἶναι δέχεσθαι τὰς ἡμῶν αἰτήσεις· περὶ δὲ τῶν ἡμῖν καθηκόντων διατάττειν καὶ κατ' ἐξουσίαν ποιεῖν τι ἢ γράφειν καὶ ἐντέλλεσθαι, τούτοις οὐ δέδοται, οὐδὲ συμφέρει ὅλως τῇ ἡμετέρᾳ κοινότητι ἔξωθεν διοικεῖσθαι, καὶ ταῦτα παρὰ κοσμικῶν, μήτε κοινοβίων κανόνας, μήτε τάξεις μοναστηρίων εἰδότων, μήτε τῆς βιαίας ταύτης ἡμῶν περιφορᾶς αἴσθησιν ὅλως ἐχόντων. Συνέπραττε δὲ ταύτῃ τῇ ὀρθῇ βουλῇ καὶ γνώμῃ, καὶ πολλαχῶς ἐβοήθει καὶ ὁ παναγιώτατος κύριος Γαβριὴλ, προνοούμενος τοῦ συμφέροντος τῇ ἐκεῖ ἱερᾷ κοινότητι.

Ἡ μὲν οὖν ἐκκλησιαστικὴ διοίκησις παρέκκεντρος ἦν, προσνεμηθείσης τῆς ἐξουσίας τῷ Νικομηδείας Μελετίῳ, ὡς εἴρηται, ἐδυσχέραινε δὲ ἐπ' αὐτὴν ὁ παναγιώτατος κύριος Γαβριήλ. Ἐβαρύνοντο δὲ σφόδρα καὶ οἱ ἐνδημοῦντες ἀρχιερεῖς· καὶ εἴ τινες διὰ φιλίαν δυνατῶν, ἢ δι' ἀγχίνοιαν δραστικὴν προέχειν ἐδόκουν, μᾶλλον ἐθλίβοντο μὴ ἀνεχόμενοι τῆς ὀλιγωρίας. Ἐντεῦθεν οὖν ὁ μὲν Χαλκηδόνος Παρθένιος δόξας δυσνοεῖν διὰ μακροῦ, ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ περιορισθεὶς ἐπετοξεύετο, ὁ δὲ Ἐφέσου Σαμουὴλ ὀμφακίζων παρωθεῖτο, καὶ ὁ Σμύρνης Προκόπιος ἐνδημῶν ἐν τῇ βασιλευούσῃ οὐκ ἀρεστὸς ἦν. Ἀλλ' οὗτος μὲν δραξάμενος εὐκαίρου προφάσεως εἰς τὴν ἰδίαν ἐπαρχίαν ἀπῆλθεν. Οἱ δὲ παραμένοντες, ὧν ἀφίεντο περιγενέσθαι ἐσπούδαζον, καιρὸν φιλάττοντες, καὶ τοὺς ἀπαρεσκομένους τῇ καταχρήσει τῆς ἐκκλησιαστικῆς δυναστείας καὶ τῷ ἤθει τοῦ Νικομηδείας Μελετίου προσοικειούμενοι. Συμβαίνει γὰρ τοῖς ἔκθεσμον δύναμιν προσκτωμένοις, πολλοὺς μὲν παρ' ἀξίαν ὑβρίζεσθαι, καὶ ἀδικεῖσθαι οὐκ ὀλίγους, πλείονας δὲ νεμεσσᾷν καὶ μηδὲν πάσχοντας, ἄλλως τε καὶ τοῦ προέχειν καὶ κρατεῖν ἑλομένου, ἐπικροτοῦντος ἀκαίρως, καὶ κούφως μετεωρουμένου, καὶ ἥκιστα

τὰς τῶν πάντων ὄψεις ἐκκλίνοντος. Διὰ ταῦτα γοῦν πολλοὶ καὶ τῶν ἀρχιερέων, καὶ τῶν ἀρχόντων, καὶ τοῦ χύδην λεὼ ἀπηρέσκοντο μισοῦντες διὰ τὰ σφίσι διαφέροντα τὸν Νικομηδείας Μελέτιον, ἐμέμφοντο δὲ νεμεσσῶντες καὶ οἱ πλείους, καί τινες τῶν μεγιστάνων τῶν τε ἡμετέρων καὶ τῶν ἐκτὸς διὰ τὴν κοινὴν μομφὴν ἀπεχθῶς διέκειντο. Καὶ τοῦ καιροῦ προϊόντος κατίσχυεν ἡ μομφή, καὶ τὸ μῖσος ἐπηύξει, ὥστε τοῖς κρατίστοις τῷ τε ἐπιτρόπῳ τῆς βασιλείας καὶ τῷ ἀρχιδικαστῇ διέβαλλε. Τοῦτον δὴ τὸν καιρὸν πρόσφορον τῆς ἐξώσεως εὑρόντες οἱ δυσνοοῦντες αὐτῷ ἀρχιερεῖς, καὶ τῷ παναγιωτάτῳ κυρίῳ Γαβριὴλ κοινολογησάμενοι, καὶ γνώμην καὶ συναίνεσιν λαβόντες καὶ ἀναφορὰν ἰδιοσφράγιστον πρὸς τοὺς κρατοῦντας, διενήργησαν, καὶ δι' ὁρισμοῦ βασιλικοῦ ἀπέστειλαν αὐτὸν καὶ τὸν Προύσης Ἄνθιμον εἰς τὰς αὐτῶν ἐπαρχίας.

Οὕτως οὖν ἀπωσθέντες τῆς Κωνσταντινουπόλεως ὅ τε Νικομηδείας Μελέτιος, καὶ Προύσης Ἄνθιμος καὶ περιορισθέντες εἰς τὰς σφῶν ἐπαρχίας κατ' ἀρχὰς τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ τρίτου σωτηρίου ἔτους, εὐθὺς ἐπεχείρουν τὴν κατ' αὐτῶν διαλῦσαι συσκευήν· ἔγραφεν οὖν πρὸς τοὺς αὐτοῦ συγγενεῖς καὶ φίλους ὁ Νικομηδείας παροτρύνων πάντα ποιεῖν, ὥστε τὸν ἐκδοθέντα διαγράψαι ὁρισμὸν, μὴ ἀνεχομένους τῆς ἐν τῷ γήρει αὐτῷ ὕβρεως, καθαπτόμενος τῶν ἀντιπάλων καὶ προπηλακίζων ἐν γράμμασιν· οἱ δὲ παραφυλαττόμενοι καὶ ἐξιχνεύοντες τὰ κατ' αὐτὸν, τὸν παραδυόμενον εἰς τὰς τῶν φίλων οἰκίας καὶ παροξύνοντα εἰς ἄμυναν διάκονον αὐτοῦ νυκτὸς καταλαβόντες, συνέλαβον τὰ γράμματα καὶ κατιδόντες τὴν ἔνστασιν αὐτοῦ, καὶ τὴν ἄλλην κατ' αὐτῶν κακηγορίαν καὶ ὁρμὴν, πρίν τι παθεῖν τῶν κακῶν, ἀντιδρᾶσαι διενοήθησαν, καὶ ἐγκλήματα συνθέμενοι καθαιρέσει ὑπέβαλον, καὶ ἐξορίᾳ εἰς Σίναιον κατεδίκασαν, συμπράττοντος τοῖς ἀρχιερεῦσι τοῦ μεγάλου ἑρμηνέως Ἀλεξάνδρου Μαυροκορδάτου. Ἀφελόμενοι γοῦν

τὴν ἐπαρχίαν ἀπ' αὐτοῦ προεβίβασαν ἀπὸ Βιζύης εἰς Νικομήδειαν τὸν Γεράσιμον, ἄνδρα γηραιὸν, λόγιόν τε καὶ ἡσύχιον καὶ ἐν πολλοῖς ἐπαινετόν. Ὁ δὲ Μελέτιος ἐξωσθεὶς διὰ βασιλείου ὁρισμοῦ ἀπὸ Νικομηδείας εἰς Αἴγυπτον, ἀνῆλθεν εἰς Μέμφιν εἴτουν Κάϊρον, ἵν' ἐντεῦθεν εἰς Σίναιον διαβῇ, καὶ πείσας τοὺς Σιναΐτας παρέμεινε διὰ χρόνου ἐκεῖ, τῶν Σιναϊτῶν πρὸς τοὺς ἐν Κωνσταντινουπόλει ἀρχιερεῖς προφασιζομένων τὰς ἐν τῇ ἐρήμῳ τῶν Ἀράβων ληστείας, δυσωπουμένων ἴσως τὸ γῆρας τοῦ ἀνδρός, ἢ καὶ ἄλλως ἀνύποιστον καὶ θανατηφόρον τὴν ἐκεῖσε ὁδὸν λογιζομένων, καὶ κοινωνεῖν μιαιφονίαις πάμπαν μὴ ἀνεχομένων. Ἐπεὶ δὲ κατ' αὐτὸ τὸ ἔτος κατέστη ἡγεμὼν Οὐγγροβλαχίας ὁ ὑψηλότατος αὐθέντης κύριος Μιχαὴλ Σοῦτζος, ἐκλιπαρήσας τὸν παναγιώτατον κύριον Γαβριὴλ, καὶ τὴν ἁγίαν καὶ ἱερὰν σύνοδον παρέπεισεν, ὥστε ἀπολύσαντες τῆς μακρᾶς καὶ δεινῆς ὑπερορίας τὸν πρώην Νικομηδείας Μελέτιον, ἀνήγαγον εἰς Χίον τὴν νῆσον, ἄνετον αὐτῷ ἐκεῖ τὴν διατριβὴν χαρισάμενοι.

Τῇ δὲ εἰκοστῇ Ἰουνίου μηνὸς τοῦ αὐτοῦ ὀγδοηκοστοῦ τρίτου ἔτους τοῦ μακαριωτάτου πάπα καὶ πατριάρχου Ἀλεξανδρείας κυρίου Κυπριανοῦ πρὸς κύριον ἐκδημήσαντος, ἐκλογῇ καὶ ψήφῳ καὶ συναινέσει τοῦ οἰκουμενικοῦ πατριάρχου, τῶν τε ἁγίων ἀρχιερέων τῶν ἐνδημούντων ἐν Κωνσταντινουπόλει, τῶν τε εὐγενεστάτων ἐπιτρόπων τοῦ ἀποστολικοῦ θρόνου Ἀλεξανδρείας καὶ παντὸς τοῦ ἀρχοντικοῦ συστήματος, προεβιβάσθη εἰς τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον Ἀλεξανδρείας ὁ Μετρῶν ἐπίσκοπος κύριος Γεράσιμος, γενομένης τῆς μεταθέσεως ἐν τῷ ναῷ τῶν Ἀσωμάτων κειμένων κατὰ τὸ Μέγα Ρεῦμα.

Κατ' αὐτὸ δὴ τὸ ἔτος τῆς μικρᾶς Σκυθίας ὑποταγείσης τῷ κράτει τῶν Ρώσσων καὶ ὁ μητροπολίτης Γοτθίας προσηνώθη τῇ ἐκκλησιαστικῇ ἱερᾷ διοικήσει τῆς ἐν Πετρουπόλει ἁγιωτάτης συνόδου προσνεμηθείς.

Ἐν δὲ τῷ ἑξῆς ὀγδοηκοστῷ τετάρτῳ ἔτει ἦρος ἀνθοῦντος, τοῦ ἐν Χίῳ περιορισθέντος πρῴην Νικομηδείας, εἴτε εὐπαθοῦντος, εἴτε ἡσυχάζοντος ἐν τῇ νήσῳ, καὶ μηδὲν πλέον εἰς ἄμυναν μελετῶντος, κατεψεύσαντό τινες δεινὰ μελετᾷν κατὰ τοῦ πατριάρχου, καὶ τῶν ἐν Κωνσταντινουπόλει ἐνδημούντων ἀρχιερέων, καὶ τούτους ἀποπλύνειν ταῖς ὕβρεσι καὶ καταπειλεῖν, πειρωμένου ἀναμοχλεύειν καὶ κατασείειν τὴν σφῶν οἰκοδομὴν καὶ σύστασιν, παρεπεδείκνυντο δὲ καὶ γράμματα ἐκ τῆς Χίου, καταμαρτυροῦντα τοιαῦτα καὶ τοὺς ἐν τῇ νήσῳ καλοὺς ἀνθηφόρους τὸν ἐξ ἀκανθῶν ἐκείνῳ διαπλέκοντας στέφανον. Οἱ δὲ ἐν τῇ βασιλευούσῃ ἐνδημοῦντες ἀρχιερεῖς μετὰ τοῦ πατριάρχου δείσαντες καὶ θορυβηθέντες, πάλιν κατ' αὐτοῦ λίβελλον τῷ κράτει ἐπέδωκαν, καὶ αἰτησάμενοι ὁρισμὸν πάλιν εἰς Σίναιον ἀπώσαντο· ὁ δὲ καὶ αὖθις προσλαβόμενος ἀρχιευνούχου τῶν ἀπὸ Βυζαντίου εἰς Αἴγυπτον ἀφέτου, δι' αὐτοῦ τὸν ἰσχυρότερον δυνάστην Αἰγύπτου ἀνείργειν ἔπεισε τὴν εἰς Σίναιον ἄνοδον, μὴ ἔχων διὰ καμήλου τοσαύτην ἔρημον διελθεῖν· παρέμεινε γοῦν καὶ αὖθις ἐν Πλάκκῳ τῆς Μέμφεως τὸν λάκκον τοῦ ᾅδου φυγὼν ὁ πολύτλας ἤδη Μελέτιος.

Τῶν δὲ ἐν τῷ ἁγιωνύμῳ Ὄρει ἱερῶν μοναστηρίων ἕκαστον διὰ μέγεθος καὶ ὄγκον χρέους βαρυνόμενον καὶ κινδυνεῦον, μᾶλλον δὴ κατεθρόει καὶ ἔθλιβε τὸ νομιζόμενον τοῦ κοινοῦ, μέχρι που τῶν χιλίων ταλάντων ἐλάσαν, καὶ καθ' ἑκάστην οὐ μικρὰ παρεῖχεν αὐτοῖς πράγματα· ἐντεῦθεν οὖν ἀνεφύησαν αὐτοῖς σκάνδαλα καὶ ταραχαί, μέμψεις τε καὶ λοιδορίαι, καὶ ὅλως διεταράττετο ἡ θεοφιλὴς τῶν ἐν ἀσκήσει ἡσυχία, καὶ ἐκυμαίνετο ὁ πνευματικὸς λιμήν. Καίπου τις τῶν ἀπὸ τοῦ βίου κακόσχολος παρεισδύς, ὡς ἐφησυχάσων, καὶ ἐπὶ τὸν πρότερον ἔμετον ἐπιστρέψας, ἢ ἄλλως κακόζηλός τις τῶν βιωτικῶν γενόμενος, ἄρχειν ἠξίου, καὶ πρωτεύειν ἐβούλετο, διεγείρων τοὺς πενεστέρους, λόγους ἀπαιτεῖν μακρᾶς καὶ χρονίου οἰκονομίας,

καὶ ἀποδείξεις ἐξ ὧν δικαίως ἐπὶ τοσοῦτον ηὐξήθη τὰ δάνεια. Ἦν δὲ τῶν πολλῶν κατά τε τῆς Λαύρας καὶ τῆς μονῆς τῶν Ἰβήρων ἡ σύστασις, σκήψεις τε ἐποιοῦντο τὰς αὐτῶν τοῦ κοινοῦ ἐφορίας, καὶ ἐπὶ τῶν κοινῶν πραγμάτων ἀρχὰς καὶ τὰς παρὰ τὴν κοινὴν γνώμην δαπάνας, παραγράφοντες τὰς καιρικὰς ἐκθέσμους τῶν βιαστῶν ἀπαιτήσεις καὶ δόσεις ἀπαραιτήτους. Ἐκ τοιούτων γοῦν ἐπληθύνετο ἡ κακία, καὶ ἐπηύξει ἡ συστροφή, καὶ ἐπηπείλει ἄρδην τῶν ἱερῶν μοναστηρίων ἐρήμωσις. Ταῦτα οὖν ὁρῶντες, οἱ τῶν ἱερῶν μοναστηρίων πρωτεύοντες, καὶ καθ ἑαυτοὺς τὸν σάλον μὴ δυνάμενοι κατευνάσαι, καὶ τοῦ χρέους ποιήσασθαι διανομήν, ἐπὶ τὴν μεγάλην ἐκκλησίαν κατέφυγον, δεόμενοι τοῦ παναγιωτάτου κυρίου Γαβριὴλ καὶ τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου ἐπιδικάσαι αὐτοῖς τὰς διαφοράς, διαιτησαμένους καὶ διανείμαντας τὸ ἐπικλύζον αὐτοὺς χρέος, ὡς ἂν λωφήσῃ τούτοις ὁ κλύδων, καὶ καταπαύσῃ ἡ ἐνσκήψασα θύελλα, διαταράξασα ἐπὶ τοσοῦτον τὴν κοινὴν ἁρμονίαν. Ὁ δὲ παναγιώτατος μετὰ τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου εὐμενῶς ἀποδεξάμενοι τὴν αὐτῶν αἴτησιν, καὶ πολλὰ παραινέσαντες πρῶτον τοὺς διαφερομένους, καὶ τὰς παραλόγους ὁρμὰς ἀναστείλαντες, καὶ τὰς ἐμπαθεῖς αὐτῶν ἀποκόψαντες ἔρεις, ἐπὶ τὸν λόγον ἀνῆγον καὶ ἐπακροασάμενοι ἀδεκάστως, καὶ προσεξετάσαντες ἀκριβῶς καὶ ἐπιθεωρήσαντες τὰ κατάστιχα προσόδων τε καὶ ἐξόδων, καὶ τῆς κατ' ἔτος ἐπινεμήσεως καὶ συνάξεως αὐτῶν, ἔκριναν ἀποφήναντες, ἵνα τὰ ῥηθέντα δύο εὐαγῆ μοναστήρια ὡς δύναμιν ἔχοντα ἀναλάβωσι πλέον τι τοῦ ἡμίσεως τοῦ ἐπιλεγομένου κοινοῦ χρέους καὶ μηδὲν ἔτι διενοχλεῖσθαι, ἀναλόγως ἐπινεμηθέντος τοῖς ἐλάσσοσι τοῦ λοιποῦ, πολλοῖς οὖσι. Ταύτης οὖν ἐπενηνεγμένης τῆς ἀποφάσεως ἀπὸ κοινῆς συνοδικῆς γνώμης, ὡς μηκέτι ἔχοντες ἀντειπεῖν ὑπέγραψαν μὲν τὴν ἐπενεχθεῖσαν ἀπόφασιν οἱ τῶν δύο τούτων μοναστηρίων πρόδικοι, βαρέως μέντοι ἔφερον τὸ ἐνενεχθὲν ἰδίᾳ αὐτοῖς βάρος

τοῦ χρέους. Οἱ δὲ ἄλλοι ἐπαρκεσθέντες τῷ βάρει ἐκείνων, καθησύχασαν, καὶ παραλαβόντες ἔγγραφον τὴν συνοδικὴν ἀπόφασιν ἐπανῆλθον ἐφησυχάσοντες.

Ἀλλ' οἱ Μελετιανοὶ καὶ αὖθις κατὰ τὸ ὀγδοηκοστὸν πέμπτον ἔτος περὶ τοῦ πρώην Νικομηδείας ἐπέκειντο καὶ διηνώχλουν τὸν παναγιώτατον κύριον Γαβριήλ, ἐπανάγειν ἀπ' Αἰγύπτου εἰς Χίον καταβιάζοντες. Ὁ δὲ ὑφορώμενος ταραχὴν καὶ βλάβην τῆς ἐκκλησίας, τῶν ἐνδημούντων ἀρχιερέων ἀντιφερομένων καὶ δυσνοούντων ἐκείνῳ, μετὰ τῶν πλειόνων ἦν ἐμμένων τοῖς ἀπ' ἀρχῆς. Πολλῆς δὲ γενομένης μετὰ τὴν μεγάλην ἑορτὴν τοῦ Πάσχα αὐτῷ βίας, ἀπονενοημένως ἐγκειμένων καὶ προσαπειλούντων, οὐδὲν ἧττον ἀντεῖχεν. Ἀλλὰ μετ' οὐ πολλὰς τὰς ἡμέρας νοσήσας, παρῆκεν ὅ,τι ἂν βουλομένοις αὐτοῖς ποιεῖν, καὶ οἱ μὲν τὰ περὶ Μελετίου ἐμελέτων διαθέμενοι· ὁ δὲ πάντα τὰ τοῦ παρόντος βίου παρωσάμενος, καὶ τὰ κατ' αὐτὸν εὖ διαταξάμενος, προειδὼς καὶ προειπὼν τὴν μικρὰν τότε ἐκείνην νόσον βίου αὐτῷ εἶναι τὸ τέλος, ἥσυχος, περιχαρὴς καὶ φαιδρὸς πρὸς κύριον ἐξεδήμησε τῇ κθ'. Ἰουνίου.

Ἦν μὲν οὖν ὁ παναγιώτατος κύριος Γαβριὴλ τὸ γένος Σμυρναῖος τῶν εὐπατριδῶν, διά τε βίου σεμνότητα καὶ τρόπων ἁπλότητα παρὰ πᾶσιν ἐπαινούμενος. Ἠγαπᾶτο δὲ ἐν τοῖς μάλιστα καὶ παρὰ τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ πολυκλύτου Σμύρνης Νεοφύτου, σύγγελος αὐτῷ ὢν καὶ ἐν τοῖς ἐφημερίοις ἱερομονάχοις ταττόμενος. Οὕτως οὖν εὐδοκιμῶν προχειρίζεται πρῶτον μὲν ἐπίσκοπος Μοσχονησίων, καὶ καλῶς οἰκονομήσας τὰ τῆς ἐπισκοπῆς, ἐπεὶ τῶν Ἰωαννίνων ἡ μητρόπολις χρέεσιν ὑπερμεγέθεσι κατεπονεῖτο, καὶ δυσδιοίκητος ἦν, εἰς ταύτην ἀποσταλείς, καὶ τῇ περιούσῃ πραΰτητι τοὺς δεινοὺς ἀπαιτητὰς καταμαλάξας, καὶ διοικήσας πρὸς καιρόν, τῆς Πελοποννήσου ἀναστάτου γενομένης, καὶ τῶν ἐκεῖ ἀρχιερέων τῶν πλειόνων ἐκπεφευγότων, εἰς τὴν τῶν Παλαιῶν Πατρῶν μητρόπολιν με-

τατίθεται, καὶ γνήσιος ἐκείνης ποιμὴν καὶ ἀρχιερεὺς καταστα-θεὶς, κατεσκαμμένην καὶ ἔρημον σχεδὸν καταλαβὼν, συμπονῶν καὶ συναγωνιζόμενος, καὶ διαπαλαίων πρὸς τοὺς κακούργους ἐπηρεαστάς, τῶν λαῶν τοῦ θεοῦ ὑπερκμυνόμενος πρὸς τοὺς δει-νοὺς τελχῖνας, καὶ πᾶσαν τοῦ καιροῦ ἐκείνου τὴν κάκωσιν φέ-ρων, καὶ τὴν θηριωδίαν τῶν Ἀλβανιτῶν ὑπενεγκών, συνήγαγε καὶ συνεστήσατο αὖθις ἐπὶ τὸ πρότερον. Ἐπεὶ δὲ τοῦ ἀοιδί-μου Σωφρονίου πρὸς θεὸν ἐκδημήσαντος, εἰς τὸν οἰκουμενικὸν θρόνον προήχθη, καὶ τὴν ἐκκλησιαστικὴν κατάστασιν τυραννου-μένην κατέλαβεν, ἐδυσχέραινε μὲν καὶ βαρέως ἔφερεν, ἀλλὰ τὴν προσοῦσαν δυσθυμίαν καὶ ἀπαρέσκειαν συνέκρυπτε, καιρὸν οἰ-κονομῶν, διὸ καὶ ἐγκαίρως τὸν τότε Νικομηδείας ἀπεσείσατο, τῆς συνοδικῆς ἐλευθερίας προνοούμενος, καὶ πατριαρχικῆς με-γαλειότητος ἄξια πράττων. Ἦν γὰρ φιλάγαθος, φιλοδίκαιος, ἐλεήμων φιλόπτωχος, ἐπιεικὴς πρκότητος, φιλόμουσος εὐμαθὴς ὤν· ἐδόκει δὲ ἁπλούστατος καὶ ἀπράγμων, βαθύνους καὶ κρι-ψίνους πως ὤν· διὸ καὶ διέλαθε τοὺς τυραννοῦντας, μηδὲν ἀν-τιπράττοντα ὑφορωμένους. Τοσοῦτον δὲ πράως ὡμίλει καὶ δε-ξιῶς ἔπραττεν, ὥστε ἐν πέντε ἔτεσι τὸν οἰκουμενικὸν διϊθύ-νας, οὐδένα παρελύπησεν ἢ ἀλγοῦντα οὐκ ἐθεράπευσε, γνώμην ἐν πᾶσι φιλάγαθον ἐπιδειξάμενος. Ταύτην οὖν διὰ βίου ἐπὶ τέρμα ἀσκήσας καὶ τὰ κατ' αὐτὸν συνταξάμενος, καὶ εἴ τι αὐτῷ περιῆν, οὐ γὰρ τῶν πλουσίων ἦν, οὐδὲ ἀπὸ τῆς πατριαρχείας, πλὴν τῶν εἰς τροφὴν προσελάβετο, πάντα θεοφιλῶς διανείμας, ἀπὸ τοῦ θρόνου πρὸς θεὸν ἐξεδήμησε, κοινὸν λαβὼν καὶ τὸν τύμβον ἐν τῷ ναῷ τῶν Ἀσωμάτων κατὰ τὸ Μέγα Ρεῦμα μετὰ τοῦ ἀοιδίμου προκατόχου αὐτοῦ Σωφρονίου τοῦ πραοτάτου.

Τούτου μὲν εἰς τὴν ἐκλογὴν προσεφωνήθη παρ' ἐμοῦ χρονολογικόν:

Χαρᾶς Γαβριὴλ καὶ εἰρήνης ἄγγελος.

Τὰ ἴσα δὲ 1780 ἀριθμεῖ καὶ τόδε:

Ἐπὶ Γαβριὴλ ἤδη ἡ θεῖα ψῆφος.
Ἐπιτύμβια δὲ γέγραπται τὰ ἑξῆς.

Ἰαμβικά.

Θρόνον τε κοινόν, ἀλλὰ κοινὸν καὶ τάφον,
τέλος βίου ἕν, ἀλλὰ καὶ δόξαν μίαν,
ἄνω τε λῆξιν πρὸς θεὸν πέλας ἔχει,
σὺν Σωφρονίῳ Γαβριὴλ ὁ ἐκ Σμύρνης,
ὁ πατριάρχης πραΰς τῆς οἰκουμένης.

Ἕτερον.

Ζῆλόν τε κοινόν, κοινὸν ἑξῆς τὸν θρόνον,
κοινὴν ὁμοίαν τὴν τελευτὴν ἐν θρόνῳ,
κοινόν τε τύμβον, καὶ πόλον πάντως ἔχει,
σὺν Σωφρονίῳ Γαβριὴλ ὁ ἐκ Σμύρνης,
ὁ ποιμενάρχης εὐσεβῶν οἰκουμένης.

Ἕτερον.

Ἔχει δὲ κοινὸν ὡς θρόνον πρὶν καὶ τάφον
σὺν Σωφρονίῳ Γαβριὴλ ὁ ἐκ Σμύρνης,
τοὺς θειοπομποὺς τῆς οἰκουμένης πάσης
ἑξῆς μετ' αὐτὸν οἴακας διευθύνας,
οὗ καὶ κατ' ἴχνη εἰς πέμπτον προβὰς ἔτος
βίον μετῆλθεν ἐνθέως δραμὼν ἄνω,
ὡς ἂν σὺν αὐτῷ τῶν πόνων λάβῃ γέρα.

Ἡρωελεγεῖα.

Καὶ Γαβριὴλ μετὰ Σωφρόνιον πραΰς πατριάρχης
ὧδε μεθῆκε δέμας, πέμπτον ἐπ' αὐτὸν ἔτος.

Ἕτερον.

Ἐνθάδε καὶ Γαβριὴλ πατριάρχης σῶμα μεθῆκε,
ὡς σὺν Σωφρονίῳ κοινὰ τὰ πάντα ἔχῃ

Ἕτερον.

Τύμβος καὶ Γαβριὴλ οἰκουμενικοῦ πατριάρχου,
ὃς μετὰ Σωφρόνιον ηὔγασε πέντε ἔτη.

Ἕτερον.

Σωφρόνιον διαδεξάμενος Γαβριὴλ πατριάρχης
κοινὸν σὺν τούτῳ καὶ τάφον ὧδε ἔχει.
Τοῦ οἰκουμενικοῦ γὰρ φαιδρὸς κατ' Ὄλυμπον ἀΐξας,
κοινὰ τὰ Σωφρονίου καὶ μετὰ πότμον ἔχει.

Ἕτερον.

Ηὔγασε πρὶν Γαβριὴλ ὁ πραότατος πατριάρχης,
πολλὰς δὴ κλεινάς, παντοδαπάς τε πόλεις,
Σμύρνην, Ἰωάννινα, Πάτρας τε παλαιάς,
τὴν μὲν τῇ γενεῇ, τὰς δὲ θυηπολίῃς.
Ἀλλ' ἐπὶ τοῦ οἰκουμενικοῦ πύματον προβὰς ὕψους,
ἄκρα γέης ἀθρόως ηὔγασε πέντε ἔτη.
Ἔνθεν Σωφρονίου κατ' ἴχνος δ' ἐς Ὄλυμπον ἀΐξας,
καὶ τύμβον σελαγῆ ἐνθάδε κοινὸν ἔχων.

Ἐπεὶ δὲ ὁ παναγιώτατος κύριος Γαβριὴλ πρὸς κύριον ἐξεδήμησε τῇ εἰκοστῇ ἐννάτῃ Ἰουνίου τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ πέμπτου σωτηρίου ἔτους, ὡς εἴρηται, συνῆλθον οἵ τε ἐνδημοῦντες πανιερώτατοι ἀρχιερεῖς, καὶ εὐγενέστατοι ἄρχοντες καὶ κληρικοί, καὶ συνδιασκεψάμενοι ἐξελέξαντο οἰκουμενικὸν πατριάρχην τὸν πανιερώτατον μητροπολίτην Σμύρνης κύριον Προκόπιον, καὶ ποιήσαντες ἀναφορὰν ἠτήσαντο, ἐπ' αὐτὸν παραλαβόντες βασιλικὸν ὁρισμόν· ἀπέστειλαν οὖν γράμματα συνοδικά, δηλοποιοῦντες αὐτῷ τὴν κοινὴν ἐκλογὴν καὶ ψῆφον, προσκαλούμενοι αὐτὸν ἀπὸ Σμύρνης εἰς τὸν ἁγιώτατον ἀποστολικὸν οἰκουμενικὸν θρόνον, συνάμα δὲ τοῖς

ἀπὸ τῆς αὐλῆς συναπῆλθε καὶ τζαούσιός τις τῶν ἀπὸ τῆς πόρτας φέρων τὸ πρόσταγμα. Φθάσαντες δὲ οἱ σταλέντες εἰς Σμύρνην κατὰ τὴν ὀγδόην τοῦ Ἰουλίου, ἐν ᾗ ἡ τοῦ μεγαλομάρτυρος Προκοπίου ἑορτή, ἐπέδωκαν αὐτῷ τὰ ἐκκλησιαστικὰ τῆς κοινῆς ἐκλογῆς καὶ προσκλήσεως γράμματα, καὶ σὺν αὐτοῖς τὸν βασιλικὸν ὁρισμὸν, καὶ μὴ ἔχων ἄλλως ποιῆσαι ἀπεδέξατο τὴν κοινὴν ἀπόφασιν, καὶ συμπληρώσας τὴν ἑορτὴν, καὶ ἐπευλογήσας τούς τε κληρικοὺς καὶ ἄρχοντας τῆς λαμπρᾶς ἐκείνης πόλεως, καὶ ἅπαντα τὸν εὐσεβῆ λαόν, καὶ ἀπολαβὼν τῶν ἐκεῖ ἐνδόξων κονσούλων προσφιλεῖς τὰς προσρήσεις καὶ δεξιώσεις, ὁδοῦ ἥψατο, καὶ ἐνδόξως διελθὼν διά τε Ἀσίας καὶ Εὐρώπης παραλλάξας δι' Ἑλλησπόντου, ἀνῆλθεν εἰς Κωνσταντινούπολιν, καὶ παραλαβὼν τοὺς ἐνδημοῦντας ἁγίους ἀρχιερεῖς καὶ κληρικοὺς τῆς μεγάλης ἐκκλησίας, παρέστη τῷ ἐπιτρόπῳ τῆς βασιλείας ὡς σύνηθες. Ἀπολαβόντες οὖν τὰ συνήθη καβδάδια ἐπανῆλθον εἰς τὸ πατριαρχεῖον, καὶ γενομένης κανονικῶς τῆς μεταθέσεως ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος ἁγίου Γεωργίου τῇ εἰκοστῇ ἐννάτῃ Ἰουλίου, ἀνευφήμησαν αὐτὸν οἰκουμενικὸν πατριάρχην.

Διαδεξάμενος οὖν ὁ παναγιώτατος κύριος Προκόπιος τὸν οἰκουμενικὸν ἀποστολικὸν θρόνον, καὶ κατιδὼν τὴν τυραννουμένην ἐκκλησίαν πάντοθεν καταπονουμένην ταῖς ἀλλεπαλλήλοις χρείαις καὶ ἀνάγκαις, διενοήθη περιποιήσασθαι τὴν πατριαρχικὴν ἐξουσίαν, ἐπιρρώσας τὴν συνοδικὴν κυριότητα, καὶ τὴν ὀχλώδη ἀποστῆσαι τῆς μεγάλης ἐκκλησίας ἐπιτροπαρχείαν. Διὸ πρῶτον ἐξ ἰδίων ἀποπληρώσας πλείω τῶν ἑκατὸν ταλάντων, εἴς τε τὰς συνήθεις τῶν κρατούντων λήψεις ἐν ταῖς ἀλλαγαῖς τῶν πατριαρχῶν, (ἀρχὴν γὰρ μεγίστην ἐν τοῖς ἀρχομένοις ταύτην τὴν ἀποκατάστασιν ἡγούμενοι οὐκ ἀφιλότιμον αἱροῦνται, ὥσπερ καὶ τὰς ἄλλας εἰώθασι) καὶ εἰς ἑτέρας ἐπισυμβάσας ἐκτίσεις προσέθετο, μηδὲν ἐκ τοῦ κοινοῦ προσλαμ-

βάνειν εἰς ἐφημέρους τροφὰς καὶ δαπανήματα αὐλικά, συνέστειλε δὲ καὶ τὰς περιττὰς δαπάνας, καὶ λόγον ἀκριβῆ ἑκάστου παρὰ τῶν ἐπιτρόπων καὶ τοῦ γραμματικοῦ τοῦ κοινοῦ ἀπαιτῶν, δεσποτικῶς ἐπιτάσσων αὐτοῖς τὰ δέοντα, τιμῶν καὶ περιποιούμενος ἀδελφικῶς τοὺς ἁγίους ἀρχιερεῖς, φιλοφρονούμενος τοὺς πάντας καὶ θεραπεύων τοὺς δυνατοὺς διὰ μεγαλοδωρίας, περιορίσας τὴν ἐπιτροπικὴν τῇ ἀκριβεῖ καὶ δικαίᾳ ληψοδοσίᾳ, ὀλιγωρήσας τοῦ λήμματος καὶ τῆς κοινοβλαβοῦς τῶν ἐπιτρόπων ἀλαζονίας, ἀποδεξάμενος καὶ προσκυρώσας τῶν ἁγίων γερόντων τὴν γνώμην εἰς τὸ μηκέτ' ἔχειν τοὺς ἔξω ἀρχιερεῖς πρὸς τὸν οἰκουμενικὸν πατριάρχην καὶ τὴν περὶ αὐτὸν ἁγίαν καὶ ἱερὰν σύνοδον ἀντιφωνητὰς καὶ ἀποκρισαρίους ἐκ τῶν λαϊκῶν, ἀλλ' ὅντινα ἂν ἕλοιντο τῶν ἐνδημούντων ἐν Κωνσταντινουπόλει ἀρχιερέων, εἴτουν τῶν δέκα συνεδριαζόντων ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσιν. Ἐπὶ γὰρ τοῦ ἀοιδίμου Σωφρονίου ὑφορώμενος ὁ τότε Νικομηδείας Μελέτιος, καὶ οἱ περὶ αὐτὸν ἐπίτροποι τοῦ κοινοῦ, τὴν πληθὺν τῶν ἀρχιερέων, διὰ βασιλείου τοῦ ὁρισμοῦ ἀπέκλεισαν τὴν εἴσοδον τῶν πολλῶν, καὶ οὐκ ἔτ' ἦν ἐπὶ τῷ εἰσοδίῳ γράμματι τοῦ πατριάρχου, ἑκάστου ἡ κάθοδος. Ἀλλὰ καὶ ἐάν τις μετ' ἀδείας πατριαρχικῆς καὶ τοῦ ἀπολύοντος τὴν εἴσοδον πατριαρχικοῦ ὡς νενόμισται γράμματος, βιαζόμενος ὑπό τινος ἐπείγοντος κατέλθῃ, μὴ ἀποδημήσαντός τινος τῶν δέκα, ὡς μὴ ἔχων τόπον, οὐκ ἔτι συνεδρεύειν, οὐδ' ἐπισήμως καὶ λαμπρῶς ἐνδημεῖν ἠναγκάζετο· διὸ καὶ τοῖς πλείοσι συνέβη καὶ ἄκοντας παραμένειν ἐν ταῖς αὐτῶν ἐπαρχίαις. Τούτους οὖν ἐν ταῖς χρείαις θαρρεῖν ἐπεποιήκει πρὸς τὴν ἱερὰν τῶν ἁγίων ἀρχιερέων ὁμήγυριν ἀποβλέποντας, μάλιστα ὡς αὐτόν. Ἀναδεχόμενος γὰρ τὰς πάντων ἐκκλησιαστικὰς χρείας, καὶ τῶν ἐγγὺς καὶ τῶν πόρρω ἱερέων καὶ λαϊκῶν, πᾶσιν ἐπέτρεπε μετ' ἀδείας αὐτῷ ἐντυγχάνειν, καὶ γράφειν, καὶ θαρρούντως ἀπαιτεῖν οὕτινος ἂν δέοιντο.

Οὕτως οὖν κατ' ἀρχὰς ἐπειρᾶτο ὁ παναγιώτατος κύριος Προκόπιος τὴν δικαίαν προλαβεῖν τῆς ὑπεροχῆς δύναμιν. Παρεῖχε μέντοι ὑπόνοιαν δεσποτικῆς ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐξουσίας, καὶ ταῦτα μηδὲν παρὰ γνώμην τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου διενεργῶν. Ἐλύπει δὲ οὐκ ἔλαττον καί τινας τῶν ἀρχιερέων, μάλιστα τὸν Χαλκηδόνος Παρθένιον· δόξας γὰρ κατισχύσαι τοῦ τότε Νικομηδείας Μελετίου, ἠξίου τῶν ἴσων ἐκείνῳ λαγχάνειν· ὥστε μηδὲν παρὰ γνώμην αὐτοῦ γίνεσθαι ἤθελεν, ἐφεξῆς τοῦ ἀοιδίμου κυρίου Γαβριὴλ εἰς αὐτὸν ἀποβλέποντος. Ἄλλως τε ἐδεδοίκει τοὺς περὶ τὸν ἐξωσθέντα Νικομηδείας, μήπως τὸν παναγιώτατον πείσαντες ἀνακαλέσωσι τῆς ἐξορίας κατεγαγόντες τὸν Μελέτιον. Οἱ μὲν γὰρ οὐκ ἔκαμνον σπουδάζοντες ἀπενεγκεῖν ἀπὸ Χίου, οἱ δὲ ἀντιφερόμενοι παντὶ τρόπῳ ἐμάχοντο λογοποιοῦντες ἀνόσια, πειρώμενοι παρενεγκεῖν τὸν παναγιώτατον, ὥστε καὶ τρίτον ἀποπέμψαι εἰς Αἴγυπτον. Ἀλλ' οὗτος ἐπὶ τῶν δικαίων ἱστάμενος λογισμῶν, τὰς μὲν εἰς ἄμυναν δῆθεν τῶν ἀντιπάλων ἐκείνῳ ὁρμὰς ἀπεκρούετο, κατανοήσας σφίσι τὸ ἐνὸν δέος, διέλυσε δὲ καὶ τὰς ὑπονοίας, καταναγκάσας τοὺς ὑπερμαχοῦντας καὶ οἰκείους τοῦ Μελετίου προσενεγκεῖν καὶ ἀποδοῦναι τῇ μεγάλῃ ἐκκλησίᾳ τὴν παραφυλαττομένην αὐτοῖς παραίτησιν, ἣν ἀπέστειλεν ἐκ τῆς Χίου παραιτούμενος ἐξ οἰκείας γνώμης καὶ θελήσεως τὴν ἐπαρχίαν Νικομηδείας. Ταύτης οὖν προσενεχθείσης καὶ γράμματος ὑποσχετικοῦ δι' ἐγγυήσεως ἀρχόντων εἰς τὸ μηκέτι ἐνοχλεῖν ἀποδοθέντος, ἀπεστάλη ἐκείνῳ ἡ ἀθώωσις συνταγέντι τοῖς ἀρχιερεῦσι, καὶ προσεκυρώθη αὐτῷ ἐτήσιον ἐκ τοῦ κοινοῦ (χιλιάδες δύο γροσίων) τάλαντα τέτταρα.

Ἀλλ' οὔπω μὲν ἔφθασε διατάξαι τὴν πρώτην τῶν προὐργιαιτέρων ἐκκλησιαστικῶν ὑποθέσεων κατάστασιν ὁ παναγιώτατος κύριος Προκόπιος, καὶ αἴφνης τρικυμίαις ἐνέπεσε, καὶ χειμῶνα ἐπέγνω βαρύτατον, δεινὰ ὑπενεγκὼν καὶ διαπονήσας

ἐπὶ τοῖς ἑξῆς τῶν δυνάμει, ἢ πλούτῳ δυστυχήμασι, καὶ τῇ παντοδαπῇ συνοχῇ τοῦ ὀρθοδόξου πληρώματος.

Πρώτη οὖν καταιγὶς καὶ θύελλα διαταράξασα τὰ καλῶς ἔχοντα συνήντησεν, ἡ τοῦ τότε ἡγεμονεύοντος Μολδοβίας Ἀλεξάνδρου Ἰωάννου Μαυροκορδάτου ἀλαζονία. Τοῦ γὰρ μητροπολίτου Μολδοβίας Γαβριὴλ πρὸς θεὸν ἐκδημήσαντος, οὐ μόνον τὴν κατὰ τόπον παρὰ τῶν ἐπισκόπων καὶ ἱερέων κληρικῶν τε καὶ ἀρχόντων γενομένην ὡς ἔθος ἐκλογὴν προσεδέξατο καὶ ἐκύρωσεν, ἀλλ' ἄνευ ἐκδόσεως πατριαρχικῆς καὶ εἰς τὸν Μολδοβίας μητροπολιτικὸν θρόνον μεταθέσθαι πεποίηκε τὸν ἐπίσκοπον Ρωμάνου Λέοντα, νόμιμα παριδών, καὶ ὀλιγωρήσας τῆς πατριαρχικῆς ὑπεροχῆς, καὶ τῶν συνοδικῶν ἀποφάσεων, αὐθεντήσας ἐν οἷς οὐκ ἔδει παραλόγως. Οὐδὲ γὰρ οἱ τῆς Μολδοβίας αὐτόνομοι βασιλεῖς τοιαύτην τιμὴν ἑαυτοῖς περιεποιήσαντο. Ταύτης οὖν τῆς μεταθέσεως διαγγελθείσης, καὶ πιττακίου αὐθεντικοῦ πρὸς τὸν αὐτοῦ ἀντιφωνητὴν καὶ ἐπ' ἀδελφῇ γαμβρὸν πρωτοσπαθάριον Στέφανον καταφανέντος, ἐν ᾧ οὐδέν τι σεμνὸν οὐδὲ κανονικόν, ἀλλὰ τῆς τεθρυλλημένης φήμης ἐναργῆ προσῆν τὰ τεκμήρια, σφόδρα διεταράχθη ὁ παναγιώτατος ἐπὶ τῷ παραλόγῳ τοῦ ἐγχειρήματος, καὶ ἐλέγξας τὴν ἀτοπίαν, παρεκάλει, φιλῶν ἐν τοῖς μάλιστα τὸν εἰρημένον ἄρχοντα, ὡς τάχιστα ἐπανορθώσασθαι τὸ σφάλμα, καὶ παρενεγκεῖν τῇ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ αὐθεντικὰ γράμματα, κατὰ τὴν ἀρχαίαν δικαίαν τάξιν προσμαρτυροῦντα τὴν ἐκλογήν, καὶ ἐπιζητοῦντα τὴν πατριαρχικὴν ἔκδοσιν τῆς μεταθέσεως. Ἀλλ' ἐπειδὴ διεβοήθη τὸ συμβάν, συγκαλύπτειν καὶ κατ' ἰδίαν ἐπιδιορθοῦν οὐκ εἶχε, μὴ πρὸς τὴν ἱερὰν περὶ αὐτὸν σύνοδον κοινολογησάμενος· ἄλλως τε σιγῶν παρεῖχεν ἂν καθ' αὑτοῦ ὑπόνοιαν οὐκ ἀγαθήν· οἵ τε πανιερώτατοι ἀρχιερεῖς, καὶ τοῦ πιττακίου μήπω φανέντος, ἔμαθον παρ' ἄλλων τὴν ἄθεσμον μετάθεσιν. Ἀλλὰ καὶ οἱ τοῦ κοινοῦ ἐπίτροποι πλεο-

νεξίαν τοῦ ἡγεμόνος καταμεμφόμενοι, δι' ἣν ἐπὶ τὴν παράλογον πρᾶξιν παρατραπεὶς ἐξώκειλεν, ἔρωτι φιλοχρηματίας μυωπιζόμενοι περὶ τὰ οἰκεῖα, καὶ ἐν χρήμασιν εὐεκτεῖν τὰ κοινὰ ἡγούμενοι, κακῷ τὸ κακὸν ἐξιᾶσθαι ἐνόμιζον· κἀντεῦθεν δὴ κατεβόων ἐπὶ τῆς μεγάλης ἐκκλησίας συγκυκῶντες θεῖά τε καὶ ἀνθρώπινα, καὶ τὸν οἰκουμενικὸν κατεβίαζον, τὸν μὲν ὀνομασθέντα μητροπολίτην καθελεῖν καὶ τῆς ἀρχιερωσύνης ἀποστερῆσαι, τὸν δὲ ἡγεμόνα, ὡς ἀδικήσαντα τὴν ἐκκλησίαν καὶ τὴν περιουσίαν, πολλὴν οὖσαν, τοῦ θανόντος Μολδοβίας, πᾶσαν τῶν συγγενῶν καὶ τῆς ἐκκλησίας ἀφελόμενον, προσζημιῶσαι καὶ ἀπολαβεῖν τι καὶ τὸ κοινὸν τοιαύτης πεσούσης δρυός. Οὕτως οὖν ὁ μὲν θροῦς ἦν πολὺς καὶ κοινὸς ὁ κατὰ τοῦ ἡγεμόνος πόλεμος, τῶν μὲν ἀρχιερέων ὑπὲρ τῶν ἱερῶν νόμων καὶ τῆς καλῆς τάξεως ὑπερμαχούντων, τῶν δὲ ἐπιτρόπων ὑπὲρ χρημάτων τῆς τοῦ θανόντος κληρονομίας παραζηλούντων, τοῦ δὲ οἰκουμενικοῦ ὑπὲρ τῶν ἰδίων προνομίων ἀγωνιῶντος, συμπάντων καταβοώντων ἀδικεῖσθαι τὴν μεγάλην τοῦ Χριστοῦ ἐκκλησίαν, καὶ τὴν τοιαύτην παρανομίαν μὴ δεῖν ἀνέχεσθαι, ἀλλὰ πάντα λίθον κινεῖν τὸ τοῦ λόγου, ἐπιρρίπτειν κατὰ τοῦ ἀλαζόνος ἡγεμόνος. Ἐκ κοινῆς οὖν γνώμης ἔδοξε πρῶτον καταβοῆσαι πρὸς τοὺς κρατοῦντας, καὶ λίβελλος προσεγράφη καταγγέλλων τοῦ παρανομοῦντος τὴν ἀδικίαν. Ἀλλ' ὁ παναγιώτατος ἰδὼν ὅσα κατέλεγον αὐτοῦ τὰ ἐγκλήματα, περιεῖλε τὰ πλείω, τοῦ ἀνθρώπου φεισάμενος, μετριοπαθεῖν ἐν τοιούτοις καὶ διεκδικεῖν φιλανθρώπως ἐπιστάμενος. Ἐπέμφθη γοῦν βασιλικὸς ὁρισμὸς τῷ ἡγεμόνι μὴ ὑπερπηδᾷν τὰ ἐσκαμμένα, ἀλλ' ἐμμένειν τοῖς ὁρίοις οἷς οἱ πατέρες αὐτοῦ ἔγνωσαν, καὶ τιμὴν ἀπονέμειν τῷ πατριάρχῃ Ῥωμαίων· ἐγράφη δὲ καὶ καθαίρεσις τοῦ καινοφανοῦς μητροπολίτου Μολδοβίας. Ἀλλ' ὁ παναγιώτατος κύριος Προκόπιος μεγάλην ἐπὶ τοῖς γενομένοις ἐπέγνω ταραχήν, καίτοι πολλὴν σύνεσιν καὶ φι-

λανθρωπίαν ἐνδειξάμενος, καὶ ζῆλον ἔμφρονα καὶ γενναῖον προσμαρτυρήσας.

Ὡς δὲ ἀνέγνω ὁ ἡγεμὼν τὴν κατ' αὐτοῦ τῆς μεγάλης ἐκκλησίας ἀγανάκτησιν, καὶ τὴν ἀπειλὴν τῶν κρατούντων κατεῖδεν, ἔμφοβος γενόμενος, πρὸς μὲν τὸν παναγιώτατον καὶ τὴν περὶ αὐτὸν ἱερὰν σύνοδον, ἐξ ὑπαρχῆς ἀθετήσας τὴν γενομένην μετάθεσιν, ἔγραψε δηλοποιήσας τὸν θάνατον τοῦ Μολδοβίας Γαβριήλ, καὶ τὴν κοινὴν ἐκλογὴν εἰς τὸν ἐπίσκοπον Ρωμάνου Λέοντα, δεόμενος, ἵνα ἀποδεξάμενοι καὶ κυρώσαντες ταύτην τὴν ἐκλογὴν ἀπολύσωσι τὰ τῆς ἀποδοχῆς καὶ βεβαιώσεως, καὶ εἰς τὸν μητροπολιτικὸν θρόνον ἐγκαθιδρύσεως καὶ μεταθέσεως ἱερὰ γράμματα, ἣν καὶ ἔκδοσιν πατριαρχικὴν οἶδεν ὁ λόγος, ὡς σύνηθες· πρὸς δὲ τοὺς κρατοῦντας τὴν περὶ τὰ τοιαῦτα παραδρομήν, οὐ τόλμην αὐτονομίας, ἀλλ' ἐξ ἀπροσεξίας πλημμέλειαν πιστωσάμενος, καὶ χρημάτων ποσότητα προσδαπανήσας, ἀπεώσατο τὸν ἐπιόντα τῆς ἐξουσίας κίνδυνον. Τῶν γὰρ δοκούντων τῆς ἐκκλησίας ζηλωτῶν, εἰς αὐτὸ τοῦτο περιέστη ὁ ζῆλος, καὶ προῦπτος ἦν ἐκείνῳ ὁ ὄλισθος. Περιγενόμενος τοίνυν τοῦ κινδύνου ὁ κράτιστος ἡμῖν ἡγεμών, ὧν διέδρα παθεῖν, διενοεῖτο ἀντιδρᾶσαι. Ἀλλὰ πρὸς μὲν τὸν παναγιώτατον, ἢ ὅλην τὴν ἀντιπράξασαν αὐτῷ σύνοδον ἀντεμβαλεῖν ἐδόκει οὔ τι τῶν εὐχερῶν. Ἀπολαβὼν οὖν τὸν Ἐφέσου Σαμουήλ, ἵετο κατ' αὐτοῦ σύμπαντα ἐξεμέσαι τὸν χόλον· ὑπώπτευσε γάρ, ὡς οὐ διὰ τὸν καλὸν ὑπὲρ τῆς ἐκκλησιαστικῆς εὐταξίας ζῆλον, ἀλλὰ πρὸς χάριν τοῦ ἐν τῷ βασιλικῷ ἀργυροκοπείῳ ἀργυρογνώμονος καὶ λογιστοῦ Πέτρου, μέγα τότε δυναμένου καὶ αὐτῷ ἀντιφερομένου, παροξῦναι τὴν ἱερὰν σύνοδον παραλογίζοντα, καὶ ἐλέγχοντα, ὡς ὕβρισεν, ὡς ἠδίκησεν, ὡς ἠνόμησε, ταύτην τὴν πρᾶξιν πεποιηκώς. Ἄλλως τε συμπράξας ἐν τῇ ἐξώσει τοῦ πρώην Νικομηδείας Μελετίου, κεχαρισμένα αὐτῷ καὶ πολλοῖς ἄλλοις τῶν ἀρχιερέων ἐδόκει ποιεῖν, καὶ

μετριοπαθεῖν ἤλπιζε πταίσαντι, καὶ ἀτακτοῦντι χαρίζειν, καὶ μὴ ἀφειδῶς οὕτως καταπλήττειν, καὶ ταῦτα τοὺς νομιζομένους φίλους, ἐν οἷς μάλιστα ἐλογίζετο τὸν Ἐφέσου Σαμουὴλ, καὶ Χαλκηδόνος Παρθένιον. Ξύειν γὰρ θέλει ἡ παροιμία τὸν ξύοντα, καὶ τῶν ἴσων τυχεῖν δικαιοῖ καὶ ἐν ἀδίκοις ἡ ἄδικος γνώμη. Διὰ ταῦτα γοῦν μάλιστα κατὰ τοῦ Ἐφέσου ἀγανακτήσας ἐξώρμησε κακοποιῆσαι, καὶ διαπονήσας δι' ἁδροτάτης δαπάνης ἐπειρᾶτο εἰς Σίναιον ἐξορίσαι, ἀποστερήσας τῆς ἐπαρχίας τῇ βίᾳ τῶν κρατούντων.

Ἀλλ' ὁ παναγιώτατος κύριος Προκόπιος μετὰ τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου προέστη γενναῖος τοῦ Ἐφέσου, καὶ ποιήσας κοινὴν ἀναφορὰν, ἀπελογίσατο πρὸς τοὺς κρατοῦντας διαβεβαιούμενος τὸν ὀρθὸν αὐτοῦ τρόπον καὶ ἀνεπίμομφον βίον, καὶ ὡς οὐ μόνον ἐν τῇ τοῦ Φιλίππου διὰ μακρῶν ἀρχιερατεύσας εὐηρέστησεν, ἀλλὰ καὶ νῦν κατέχων τὴν Ἔφεσον, εὐδοκιμεῖ κατὰ τὰ σφίσι καθήκοντα, ἔμπειρος ὢν εὐτάκτου διοικήσεως, καὶ νομίμου προστασίας τῶν ὑπηκόων, εἰρηνοποιὸς καὶ δίκαιος καὶ ζηλωτὴς καλῶν ἐργων, ἀλλὰ καὶ ἐν τῇ βασιλευούσῃ ἐνδημῶν πρὸς τὰς ἐπειγούσας τοῦ πατριαρχείου χρείας διατελεῖ ἀναγκαιότατος, σύμβουλος ὢν ἀγαθὸς καὶ συνεργὸς προθυμότατος· καὶ διὰ ταῦτα ἔλυε μὲν τὰς διαβολὰς τοῦ ἡγεμόνος τῆς Μολδοβίας, σκανδαλοποιὸν καὶ ταραχώδη καὶ χαιρέκακον φθορέα τε τοῦ κοινοῦ καὶ ἐπιζήμιον ἐγκαλοῦντος, ἐδεῖτο δὲ τῶν κρατούντων μὴ ἀποπέμπειν μηδὲ καταδικάζειν ἀνεύθυνον. Κοινῆς οὖν γενομένης τῆς μαρτυρίας καὶ προσπαθοῦς τῆς ἐκλιπαρήσεως καὶ διὰ γραμμάτων καὶ διὰ λόγων πλείστων ἀγωνιώντων ὑπὲρ αὐτοῦ, οὐ γὰρ μικρά τις ὑπῆρξεν ἡ τόλμη, τῶν κρατούντων ὡς ὑπεύθυνον ἐλαυνόντων, ἀπεναντίας διαμαρτυρεῖν, καίτοι δεόμενον, ἔδοξε διὰ μὲν τὰς τοῦ πατριάρχου διαμαρτυρίας καὶ ἱκεσίας μηδέν τι παθεῖν τὸν Ἐφέσου, διὰ δὲ τὰς τοῦ ἡγεμόνος ἐκλιπαρήσεις καὶ δωρεὰς, ἀπελθεῖν εἰς τὴν αὐτοῦ ἐπαρχίαν διὰ τζαουσίου. Καὶ δὴ οὔ-

τως ἀπῆλθεν, ἔχων ἀγαθὴν συνείδησιν, καὶ καλὴν κοινὴν μαρτυρίαν, καὶ δόξαν ἐρίτιμον, ὡς ὑπὲρ τῶν ἱερῶν νόμων ἔπαθεν ἀδίκως ἀπελαθείς.

Ἡ δὲ τοιαύτη τοῦ ἡγεμόνος κατὰ τοῦ Ἐφέσου κακοποιὸς ὁρμὴ ἀκμὴν ἠρέθισε καὶ παρώξυνε τὴν ἐνδημοῦσαν ἐν Κωνσταντινουπόλει ἱερὰν σύνοδον, καὶ συγγινώσκειν ἐπὶ τοῖς πεπλημμελημένοις οὐκ ἔτ' ἠξίου, ὡς ἐκ γνώμης διαστρέφοντι, καὶ προφανῶς πολεμίῳ τῆς ἐκκλησίας· ἀπεναντίας γὰρ τῶν γραφομένων τὰ πραττόμενα οὐ μετάνοιαν κατήλεγχεν, ἀλλ' ἐπὶ κακοῖς πεισμονήν, καὶ ἐν ἀδίκοις ἐντρέχειαν. Διὸ καὶ τὴν ἔκδοσιν ἐκώλυον, καὶ μικροῦ δεῖν ἐχθρὸν τῆς ἐκκλησίας διεκήρυξαν. Ἀλλὰ τηνικαῦτα γενόμενος Οὐγγροβλαχίας ἡγεμὼν Νικόλαος ὁ Μαυρογένης, ταύτην τὴν ταραχὴν κατέπαυσε, διαπραξάμενος, ὥστε τὴν ἔκδοσιν σταλῆναι. Ἐδόθη οὖν καὶ τὸ σύνηθες φιλότιμον τῷ παναγιωτάτῳ, καὶ γράμματα παρ' αὐτοῦ ἀμοιβαῖα ἐπέμφθησαν πρός τε τὸν ἡγεμόνα Μολδοβίας καὶ τὸν νεωστὶ προχειρισθέντα μητροπολίτην, καὶ ἡ κοινὴ συνήχησεν ἁρμονία, τῆς καλῆς καὶ νομίμου τάξεως ἐπικρατούσης ἐν τῷ συνδέσμῳ τῆς ἀγάπης καὶ τῆς κατὰ θεὸν ἀλληλουχίας καὶ ἑνώσεως.

Ἀλλὰ τὰ μὲν τοῦ προχειρισθέντος ἀτάκτως μητροπολίτου Μολδοβίας ἐπανωρθώθησαν διευθετηθέντα· ὁ δὲ νεωστὶ προβεβλημένος Οὐγγροβλαχίας ἡγεμών, διαμαχόμενος πρὸς τὸν ἐν τῷ βασιλικῷ ἀργυροκοπείῳ κερματολογιστὴν Πέτρον, κατισχύσας, τοῦτον κατέκτανεν. Ἦν δὲ ὁ εὐσεβὴς οὗτος ἀνὴρ διὰ μακροῦ ἐξυπηρετήσας ἐν τῇ βασιλείῳ αὐλῇ, δόκιμος ἐν πολλοῖς, εὐνοίᾳ τῶν δυναστῶν κατωχυρωμένος, πλούτῳ βρίθων, καὶ δύναμιν προσκεκτημένος ἀξιόλογον, δι' ἣν καὶ παρὰ τῶν ἡγεμόνων Οὐγγροβλαχίας, ὡς τὰ μέγιστα τούτους ὠφελῶν, περισπούδαστος ἦν. Ἐπεὶ δὲ ἡγεμονίας ἠράσθη ὁ Μαυρογένης, τοῦ βασιλικοῦ στόλου ἑρμηνεὺς διατελῶν, τούτῳ ἀντέπραττεν

ἄλλοις χαριζόμενος, καὶ διεκώλυε πρὸς τοὺς ἐν τῷ παλατίῳ καταιτιώμενος τοῦ σπουδάσματος· ὁ δὲ διαβαλὼν πρὸς τὸν τότε ἐπίτροπον, ἑταῖρον πρὶν ὄντα καὶ αὐτῷ σύναυλον, καὶ πρὸς τὸν μέγαν στολάρχην ἴδιον αὐτοῦ πάτρονα εἴτουν προστάτην, καὶ τούτους παροργίσας, τῇ ἰσχύϊ αὐτῶν οὐ μόνον τῆς αὐθεντείας ἐγκρατὴς ἐγένετο, ἀλλὰ καὶ τὸν ἀντίπαλον κατεπάλαισε, καὶ τέλος οἱονεὶ σκηπτὸς ἐνσκήψας ἀπετέφρωσεν. Ὁ γὰρ ἄναξ ταῖς διαβολαῖς τῶν εἰρημένων δυναστῶν καὶ τῶν τούτοις χαριζομένων παρενεχθείς, ἐκέλευσε συλλαβεῖν καὶ ἀπάγειν εἰς δεσμωτήριον· ἔστι δὲ τοῦτο κάτω τῶν ἀνακτόρων κατὰ τὸ λεμβώριον παρὰ τὸν ἰπνὸν τῶν ὑπὸ ὀργὴν βασιλικὴν καταδίκων. Πολλῶν δὲ δυνατῶν ἐξελεῖν καὶ ῥύσασθαι σπουδαζόντων, ὡς ἐπέκειντο καὶ θανεῖν ἤθελον οἱ κρατοῦντες, ἐτασθεὶς οὐ περὶ τῶν διαβολῶν, οὐ γὰρ ἐπίστευον, ἀλλὰ περὶ τῶν αὐτοῦ χρημάτων, διὰ βαρυτάτων βασάνων, καὶ καταφανῆ πάντα ἐν καταστίχοις ἐπειπών, τέλος τὸν διὰ ξίφους ἐδέξατο θάνατον.

Ἀλλὰ τὸν μὲν Πέτρον ἄνδρα δόξαντα κοινωφελῆ ἡ ἄδικος καὶ πονηρὰ διαβολὴ ἀνεῖλε, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ τε καὶ τῶν παίδων αὐτοῦ καὶ συγγενῶν, καὶ τῶν σύμπρων αὐτοῦ τὸ βασιλικὸν ταμιεῖον, ἡ τῶν πλουσίων καὶ δυνατῶν Σκύλλα καὶ Χάρυβδις κατέπιεν. Εὗρε δὲ ἐπὶ τούτοις ὡς δεινὴν καὶ ἀλλόκοτον καὶ ξένην τὴν ταλαιπωρίαν ὁ παναγιώτατος κύριος Προκόπιος, καὶ ἡ περὶ αὐτὸν ἱερὰ σύνοδος, εἴτε τοῦ ἡγεμόνος χαριζομένου, εἴτε τοῖς κρατοῦσι δόξαντος διερευνᾷν διὰ τοῦ παναγιωτάτου κτήματα καὶ χρήματα τοῦ φονευθέντος, καὶ εὑρεθέντα διαπέμπειν καὶ ἀποκαθιστᾷν τοῖς μετερχομένοις, ἀποπληροῦν τε ὡς ἴδια χρέη, ὅσα τῶν ἐκκλησιαστικῶν εἶχεν ὑπογραφήν. Ὑπὲρ τούτων οὖν ὡς δεινῆς καὶ βαρυτάτης καὶ ἐπιλύπου, ἀλλὰ δὴ καὶ ξένης ἐπειράσατο τῆς φεραλγίας ὅ τε θειότατος πατριάρχης καὶ οἱ φιλανθρωπότατοι ἀρχιερεῖς,

διὰ μακροῦ ἀναδιφῶντες τὰ λύθρα τοῦ ἀδίκως φονευθέντος ἀγαπητοῦ υἱοῦ, καὶ τῶν ἐπηρεαζομένων τοῖς δάκρυσι περιχεόμενοι.

Ἐν δὲ τούτοις τοῖς ἀλγεινοῖς, ἤρξαντο γὰρ χύδην προρρέειν τὰ δεινά, θλιβόμενος ὁ παναγιώτατος, ἤσχαλλε καὶ περὶ τοῦ κοινοῦ χρέους ὅτι δυσοικονόμητον ἦν, οἵ τε λεγόμενοι ἐπίτροποι οἱ μὲν ἀφίσταντο, ὡς μηκέτι ἔχοντες ἄγειν καὶ φέρειν τὰ τῶν ἄλλων, οἱ δὲ καὶ ἐπειρῶντο κολούειν τὴν πρόσω φορὰν καὶ προσευρεῖν τινα τρόπον οἰκονομίας ἐδέοντο· ηὔξησε γὰρ τὸ κοινὸν τῆς μεγάλης ἐκκλησίας χρέος ἐπέκεινα τῶν χιλίων τριακοσίων ταλάντων. Πολλῶν οὖν γενομένων σκέψεων, ἔδοξεν ὡς δή τι εὐμαρές, ἀφελομένους μέρος τι τούτου, ἐπιμερίσασθαι ἀν' ἑκάστην ἐπαρχίαν ὑποκειμένην τῷ ἁγιωτάτῳ ἀποστολικῷ θρόνῳ ἐπιβαλομένους τὸ ἀνάλογον κατὰ τὴν ἐνεργουμένην τοῦ ἰδίου ἑκάστῃ χρέους ἐτήσιον ὕφεσιν. Καὶ δὴ ἀναδασάμενοι ἑξακόσια τάλαντα, προσέθεντο ἑκάστῃ τὸ ἐπιβάλλον. Ἐκυρώθη γοῦν αὕτη ἡ προσθεσαφαίρεσις προαχθεῖσα εἰς πρᾶξιν ἀπὸ πρώτης Μαΐου τοῦ χιλιστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ ἕκτου σωτηρίου ἔτους, μηδενὸς τῶν ἔξω ἀρχιερέων ἀντειπόντος ἢ καταβοήσαντος. Τὸ γὰρ κατ' ἔτος εἰς ἀφαίρεσιν τοῦ ἐπικειμένου χρέους, εἰς τόκους ἑξῆς ἀποδιδόμενον βραχύ τι ἢ οὐδὲν ἕκαστον ἐλύπησε, τῆς ἐξ ἐπιταγῆς κατ' ἐνιαυτὸν ὑφέσεως πεπαυμένης. Ἥκιστα μέντοι ὠφέλησε τὴν κοινὴν οἰκονομίαν ἡ τοιαύτη ἐπίνοια, τὸ παρὸν σκοπουμένη, καὶ τὸ ἐσόμενον χεῖρον διατεθεῖσα. Ἐκυρώθη δέ, καὶ πολλῶν πραγμάτων ἑξῆς τὸν παναγιώτατον ἀπήλλαξε.

Ἀλλὰ καὶ ἐν τῷ ἁγιωνύμῳ Ὄρει ἔτι τὸ λοιπὸν τοῦ χρέους τῆς μεγάλης Μέσης οὐκ ἀνάδαστον ἦν, καὶ πράγματα παρεῖχε τοῖς ἐκεῖ μοναστηρίοις· οἱ μὲν γὰρ τῶν πολλῶν συμμετεχεῖν ἐνεχομένους ἤθελον καὶ τοὺς ἐν τῇ μεγάλῃ Λαύρᾳ, καὶ τῇ τῶν Ἰβήρων. Οἱ δὲ ἀπολαβόντες τὸ πλεῖον τοῦ ἡμίσεως ἐν

τῇ προτέρᾳ διανομῇ, τῆς ἐνοχῆς τοῦ λοιποῦ ἀπηλλαγμένους σφᾶς αὐτοὺς ἐδικαίουν, καὶ οὐκ ἔτι ὡς περὶ κοινοῦ φροντίζειν, ἀλλὰ μερικὸν ἐπιλογίζεσθαι ἀπισχυρίζοντο. Κατεβόων δὲ καὶ περὶ τῆς προτέρας ἀποτόμου νεμήσεως, ὅτι εἰς ἄφικτα ἐπεχείρησε, καὶ εἰς φυγὴν αὐτοὺς συνελαύνει, καὶ τῶν μεγίστων τούτων μοναστηρίων ἐρήμωσιν, μὴ δυναμένους τοσοῦτον ὄγκον χρέους ὑπενεγκεῖν. Διὸ καὶ πρὸς τὴν μεγάλην ἐκκλησίαν αὖθις κατέφυγον, διαδικασίας καὶ σοφωτέρας προνοίας δεόμενοι. Ἀποδεξάμενοι οὖν εὐμενῶς ὅ τε παναγιώτατος κύριος Προκόπιος καὶ ἡ περὶ αὐτὸν ἱερὰ σύνοδος, καὶ τὸ ἐπίλοιπον τοῦ χρέους ὀρθῶς διαιτήσαντες, ἀπέλυσαν ἐν εἰρήνῃ καὶ ἀδελφικῇ ὁμονοίᾳ, τοῦ σκανδάλου ἐκ μέσου ἀρθέντος, καὶ ἑκάστου μοναστηρίου τὸ ἐπιβάλλον οἰκονομήσαντος. Ἐκ δὲ τῆς συνεχοῦς πρὸς τὴν βασιλεύουσαν τῶν ἡγουμένων καὶ προεστῶν ἐνδημίας καὶ ἑκατέρας διανομῆς τοῦ κοινοῦ χρέους, μέγα αὐτοῖς προσεγένετο κέρδος, καὶ οἰκονομία τις λυσιτελεστάτη καὶ ἐν τοῖς μάλιστα ἀναγκαίοις ἐπενοήθη· ὅσα γὰρ χρέη κοινὰ καὶ ἴδια τῶν ἱερῶν μοναστηρίων ὑπὸ βαρυτάτοις τοῖς τόκοις, ἔν τε Θεσσαλονίκῃ καὶ ἄλλοις ἐκτὸς τόποις, ὀφειλόμενα ἐθνικοῖς καὶ ἀλλοφύλοις, ἐπαπειλοῦντα τοῖς ἱεροῖς κίνδυνον, ταῦτα πάντα ἀπεπλήρωσαν δανεισθέντες παρὰ τῶν ἐν Κωνσταντινουπόλει ὀρθοδόξων χριστιανῶν ἐν ἐλαφροτέροις τοῖς τόκοις, συνιστῶντες τοῖς εὐσεβέσι τὰ ἱερά, καί πως ἐνεχυράζοντες τὰ ἴδια.

Ἐν τῷ αὐτῷ ὀγδοηκοστῷ ἕκτῳ ἔτει, ἐξωνηθείσης παρὰ τοῦ μεγάλου σκευοφύλακος τῆς ἐξαρχίας Λιβυσίου καὶ Καστελορρίζου, ἀπεκατέστη ἡ ἀρχιεπισκοπὴ Μύρων.

Ἐν δὲ τῷ ἐφεξῆς ὀγδοηκοστῷ ἑβδόμῳ ἡνώθη ἡ ἀρχιεπισκοπὴ Ὠλένης καὶ ὑπετάγη τῇ μητροπόλει Παλαιῶν Πατρῶν, δι' οἰκονομίαν ἴσως χρεῶν, καὶ κέρδος τοῦ ἐκεῖ μητροπολίτου. Ὁ γὰρ βαρὺς καὶ ἄληκτος κατὰ τὸν καιρὸν τοῦτον τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας περισπασμὸς περὶ χρημάτων μά-

λιστα καὶ χρεῶν ἦν, καὶ ἡ διηνεκὴς περὶ τούτων ἐνόχλησις κατέθλιβε τὸν παναγιώτατον.

Ἀλλὰ τὰ μὲν μέχρι τοῦδε συγκυροῦντα πανταχόθεν λυπηρὰ καὶ ἐπίπονα, πολλὰ μὲν ἦν, πάντων δὲ τῇ ἀτρύτῳ φερεπονίᾳ καὶ ἔμφρονι γενναιότητι ῥᾳδίως ἐκράτει ὁ παναγιώτατος· τὰ δὲ ἑξῆς συρρεύσαντα δίκην χειμάρρου τῶν κακῶν, τίς ἂν ἀθρόα καὶ καρτερήσειεν; ἐμάνη γὰρ καὶ αὖθις λυττήσας κατὰ τῶν Ῥώσσων ὁ Ἄρης, καὶ καθ' ἡμῶν βακχεύων συνεκίνει τὸν κυδοιμόν. Ἤρξατο δὲ ὁ πόλεμος ἀπὸ ε΄ Αὐγούστου μηνὸς τοῦ ὀγδοηκοστοῦ ἑβδόμου ἔτους, ἡ δὲ προπαρασκευὴ ἦν μεγάλη, ἀπ' ἀρχῆς τοῦ ἔτους συγκινουμένων τῶν στρατευμάτων. Ἤρξατο μέντοι μετὰ πολλοῦ τοῦ θράσους, καὶ βαρβαρικῆς τῆς ἀλαζονίας ἐνυβρίσας εἰς τὸν ἐνταῦθα παρεδρεύοντα πρέσβυν, καὶ τοῦτον εἰς τὸ Ἑπταπύργιον ἐναποκλείσας, τοὺς δὲ ἄλλους εὑρεθέντας Ῥώσσους διαρπάσας ἀδίκως καὶ καταιχμαλωτίσας ἀπανθρώπως, καὶ τὰ πλοῖα αὐτῶν ληϊσάμενος, καὶ πολλὰ ἡμῖν εὐθὺς ὁρᾶν τὰ δεινά, πλείω δὲ καὶ χαλεπώτατα παρεῖχεν ὑπονοεῖν, ἀναμιμνησκομένοις ὅσα κατὰ τὸν πρότερον ὑπέστημεν πόλεμον. Διὸ οὐδεὶς ἦν ἐκτὸς κινδύνου καὶ φόβου. Ὁ δὲ παναγιώτατος συνεχῶς ὑπὸ τοῦ κράτους διακελευόμενος, ἵνα πανταχόσε ἐπιβλέπῃ καὶ καλῶς προσέχῃ μή τι τῶν ἀτάκτων παρὰ τῶν ὑπηκόων γένηται, σφόδρα ἦν περὶ πάντων ἀγωνιῶν. Ἀπέστειλε δὲ πανταχοῦ γράμματα ἐντελλόμενος τὴν ὀφειλομένην ὑποταγὴν καὶ εὐπείθειαν τοῖς κρατοῦσι, παρακαλῶν μὴ ἐκκακεῖν ὑπομένοντας ἐπ' ἐλπίδι τῆς εἰς θεὸν τὸν δικαιοῦντα καὶ σώζοντα, μηδὲ διδόναι τοῖς μισοῦσιν ἡμᾶς πρόφασιν τοῦ κακοποιεῖν. Ἀλλὰ καὶ ὁ τότε τῆς βασιλείας ἐπίτροπος ἔργον τοῦτο μέγα καὶ καλὸν ἐργασάμενος, διὰ πολλῶν διεκώλυσε τὰς καθ' ἡμῶν πλείονας τῶν φαύλων ὕβρεις, προτρεψάμενος καὶ διεγείρας τοὺς νομικοὺς ὁμιλεῖν καὶ θρησκολέκτας κηρύττειν καὶ διδάσκειν ἔν τε ταῖς αὐτῶν συναγωγαῖς καὶ ἰδίᾳ, ὡς τὸ

κατακαίνειν καὶ συλᾶν καὶ ὑβρίζειν τοὺς ὑπηκόους ἄδικον καὶ θεοστυγές, καὶ τῇ τοῦ βασιλέως γνώμῃ πολέμιον, καὶ πρὸς τὴν ἐπιοῦσαν τῶν πραγμάτων χρείαν ἐπιβλαβές. Ἐντεῦθεν δὴ καὶ ἀραὶ καὶ ἐπιτίμια ἐξεφωνήθησαν τοῖς μιαιφόνοις τολμητίαις, καὶ τοῖς παραφυλάττουσιν ἐδόθη προστάγματα συντηρεῖν τὸ ὑπήκοον, τῶν φαύλων καὶ πονηρῶν τὴν ὕβριν κολάζοντας, καί πως διὰ τούτων ἡ προχεομένη συνεστάλη ἀσέλγεια, καὶ ἡ μέγα σοβοῦσα διὰ τῶν πόλεων ληστεία κατέπαυσε, καὶ ἡ ἄδικος γνώμη ἐκρύβη.

Ἐν δὲ τῷ αὐτῷ ἔτει κατ' ἀρχὰς μηνὸς Νοεμβρίου, τοῦ μακαριωτάτου κυρίου Ἀβραμίου ἐν βαθεῖ γήρει πρὸς κύριον ἐκδημήσαντος, προεβιβάσθη ἀπὸ Καισαρείας Φιλίππου εἰς τὸν ἁγιώτατον ἀποστολικὸν τῶν Ἱεροσολύμων θρόνον νομίμῳ ἐκλογῇ καὶ κανονικαῖς ψήφοις ὁ κύριος Προκόπιος, γενομένης τῆς μεταθέσεως ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ ἐπιλεγομένου Μετοχίου τῇ β'. τοῦ ῥηθέντος μηνός.

Τὰ μὲν οὖν τῶν βαρβάρων ἐθνῶν πλήθη ὅσα ἐκ τῶν Κορακίων καὶ Καυκασίων ὀρέων διὰ ἁδροτάτων δώρων ἐφώρμησαν, τῇ δυνάμει τοῦ σταυροῦ ἡττηθέντα, τούτων τὰ πλείω ὑπετάγησαν τῇ Ρωσσικῇ εὐνομίᾳ, κατεκόπησαν δὲ καὶ ὅσοι τοὐντεῦθεν ἐθρασύνθησαν τὰς ἐκβολὰς τοῦ Βορυσθένους παρελθεῖν, καὶ τοῦ ναυτικοῦ τὸ πλεῖον ἄλλῃ πῃ διώλωλεν. Ἡ δὲ ἀλαζὼν ὀφρὺς οὐδὲ μικρὸν ὑπέκλινε, καὶ τὸ βάρβαρον φρύαγμα ἔτι ἀγέρωχον ἦν. Καὶ δὴ ἐνισταμένου τοῦ ὀγδοηκοστοῦ ὀγδόου σωτηρίου ἔτους, ἡ παρασκευὴ τοῦ πολέμου ἐγίνετο διά τε θαλάσσης καὶ ξηρᾶς σφόδρα μεγάλη καὶ πολυπληθής, ἥ τε προσδοκία οὐκ ἐλάσσων ἦν ἐπερειδομένοις τῇ καλαμίνῃ ῥάβδῳ τῷ Σουήκων ῥηγί. Συνέστη γοῦν ναυτικόν, οἷον οὐδέπω τὸν Εὔξεινον Πόντον κατέπλευσε, πλοίων μὲν μεγάλων ἐγγὺς ἑκατόν, διπλασίων δὲ ἐλασσόνων, καὶ πολὺν ἐπερρόθει τὸν ἐνυάλιον. Ἐπὶ τούτου οὖν συνήγαγον καὶ τῶν ἡμετέρων, ὅσοι εὐπαραλόγιστοι καὶ πρὸς

τὰ τυχόντα κέρδη παράβολοι, ἀλλὰ δὴ κἀκ τῶν νήσων πολλοὺς κατ' ἀνάγκην ἠριθμημένους, ὥστε πλείονας ἢ μυρίους τῶν χριστιανῶν, τοὺς μὲν ἄκοντας, τοὺς δὲ καὶ ἐθελοντὰς ναυλοχεῖν. Ἐπὶ δὲ τούτοις ἐπιλογισάμενοι ἀπὸ Σηστοῦ καὶ Ἀβύδου μέχρι Ἴστρου καὶ Σινώπης παρ' ἑκατέραν τὴν παραλίαν δισχιλίους, τούτους ἀπήτουν τὸν παναγιώτατον, καὶ στρατολογεῖν τὸν εἰρηνάρχην καὶ ἐξοπλίζειν χριστιανοὺς κατὰ χριστιανῶν ἠνάγκαζον, ναύτας πανούργως ἐξονομάζοντες. Ἤσχαλλεν οὖν καὶ κατωδυνᾶτο σφόδρα ὁ πατριάρχης ἐπὶ τῷ ξένῳ καὶ ἀλλοκότῳ τῆς πονηρᾶς ταύτης ἀνάγκης, ἀπεκλαίοντο δὲ συνθρηνοῦντες καὶ οἱ ἐνδημοῦντες περὶ αὐτὸν ἀρχιερεῖς, καὶ τῷ πυρὶ τῆς ἀλλοκότου ταύτης θλίψεως τηκόμενοι, νύκτας ὅλας καὶ ἡμέρας συνδιεσκέπτοντο εἴ τις μηχανή, τὸν πονηρὸν τοῦτον ἆθλον διαφυγεῖν. Ὁ δὲ παναγιώτατος ἕτοιμος ἦν πάντα προέσθαι, ὅσα χρημάτων προσῆν, καὶ ἐκ τοῦ κοινοῦ προσδαπανῆσαι πολλά, ἵνα τῆς ἀδελφοκτονίας τὰ τέκνα ρύσηται, καὶ μὴ ἡ τοιαύτη ἀδικία εἰσκωμάσῃ τῇ ἐκκλησίᾳ, ἀλλ' οὐκ ἐξέφυγε προσλιπαρήσας καὶ δεηθεὶς τῶν κρατούντων, ἀπαραιτήτως τὸν κατάλογον τῶν ἀνδρῶν ἐκπληροῦν ἀπαιτούντων, καὶ εἰ ἄλλως γένοιτο, ἐπαπειλούντων παγχάλεπα· καὶ δὴ γραμμάτων ἐκκλησιαστικῶν ἀποσταλέντων, καὶ ἐφημερίων πατριαρχικῶν, γενομένης ἐπινεμήσεως ἐκ πάσης κώμης καὶ πόλεως τῆς εἰρημένης παραλίας ἀπεπληρώθη ὁ αἰτούμενος τῶν ναυτικῶν ἀριθμός· αὕτη δὲ ἡ στρατολογία πρώτη ἐγένετο. Καὶ ἤδη ὁπλοφοροῦντες χριστιανοὶ πλείονες μυρίων ἐν Κωνσταντινουπόλει ἐφάνησαν. Ἐν γὰρ Βλαχίᾳ τηνικαῦτα πολλῷ πλείονας συνειλοχὼς ἐκ διαφόρων ἐπαρχιῶν ὁ ἡγεμών, οὐ τοσοῦτον ἐδόκει ξένα ποιεῖν, ὡς τὸ ἄγειν καὶ κινεῖν ᾗ ἂν βούλοιτο τὰ ἀτίθασσα πλήθη Ὀθωμανῶν. Ἐκ ταύτης γοῦν τῆς στρατολογίας βραχύ τι ἀπελώφησεν ὁ δυσμενὴς καθ' ἡμῶν κότος· διεκελεύοντο δὲ οἱ στρατευόμενοι μηκέτι ἀδικεῖν καὶ ὑβρίζειν εἰς τὸν ὑπόφορον, ἀραί

τε καὶ ἐπιτίμια διεκηρύττοντο ἐπὶ τῶν συναγωγῶν αὐτῶν, εἴ τινες βλάπτειν ἐπιχειρήσαιεν, καὶ τῶν ὑποτελῶν τινα τῷ Ρωσσικῷ ὀνόματι προσωνομάσοιεν· κοινὴν γὰρ κατὰ τῶν εὐσεβῶν τὴν μῆνιν ὑποτρέφοντες, ἡμᾶς ἀόπλους διεχειρίζοντο, Ρώσσους κατονομάζοντες ἐπὶ τοῦ προτέρου πολέμου, καὶ τοιαῦτα ποιεῖν οὐκ ἂν ἤδη ἐπαύσαντο, εἰ μὴ μεγάλη τις ἦν περὶ τούτου τῶν κρατούντων ἡ πρόνοια. Διὸ μετά τινος εὐταξίας ἐξήει ὁ στρατός, καὶ οὐκ ἔτι ἐποίουν οἱ ἐν τῇ πόλει ὁπλοφοροῦντες τὰ συνήθη σφίσιν ἐκεῖνα κακά, καὶ τὰς πολλὰς καθ' ἡμῶν ἀδικίας καὶ ὕβρεις.

Συρραγέντος δὲ τοῦ πολέμου, καὶ τῶν Ρωσσικῶν καὶ Ἀουστριακῶν στρατευμάτων εἰς Μολδοβίαν εἰσρυέντων, ὁ ταύτης ἡγεμὼν Ἀλέξανδρος Ὑψηλάντης ἡττηθεὶς ἐν πολέμῳ ἑάλω. Ὁ μὲν οὖν στρατηγὸς τῶν Ὀθωμανῶν ἐν Βασσαραβίᾳ γράψας ἐμαρτύρει μηδὲν τῶν ἀνηκόντων ἐκείνῳ λόγῳ καὶ ἔργῳ διαλιπεῖν, εἰ καὶ ἡττήθη δι' ἔλλειψιν στρατοῦ, καὶ τῆς ἔξωθεν ἐπικουρίας, ἣν πολλάκις ᾐτήσατο δεηθεὶς τοῦ ὑπάτου. Ὁ δὲ τῆς Βλαχίας ἡγεμὼν δυσμενὴς ὢν τὰ πρῶτα, αὐτομολήσαντα τοῖς ὑπεναντίοις διέβαλε, καὶ τὸν ὕπατον παρακρούσας καὶ παραγαγὼν ἕτοιμον αὐτῷ πάντα χαρίζεσθαι, πρὸς τὸ κράτος ἐσυκοφάντει ἐπίβουλον καὶ προδότην δι' αὐτοῦ ἀποκαλῶν. Τούτου δὲ τοῖς γράμμασι πεισθεὶς ὁ ἄναξ, εὐθὺς ἐκέλευσε συλλαβεῖν πάντας τοὺς οἰκείους τοῦ ἡγεμόνος καὶ εἰς φυλακὴν ἐμβαλεῖν, καὶ πᾶσαν τὴν περιουσίαν αὐτοῦ καταγράψασθαι. Τὰ μὲν οὖν τοῦ ἡγεμόνος Μολδοβίας ἐπὶ ξυροῦ ἵσταντο ἀκμῆς· ἐταλαιπώρει δὲ καὶ ἐθλίβετο ἐπ' αὐτοῖς ὁ παναγιώτατος ἀπαιτούμενος, ὅσα τοῖς ἐκκλησιάστικοῖς ἦν δανεια. Ἀλλὰ καὶ ἐν τῇ φυλακῇ καταδικασθέντος τοῦ μεγάλου λογοθέτου τῆς ἐκκλησίας, γαμβροῦ ἐπὶ θυγατρὶ τοῦ ἑαλωκότος ἡγεμόνος, περιμαχήτου γενομένης τῆς μεγάλης λογοθετίας, πράγματα εἶχεν. Ἔδοξε δὲ ἐν τῇ τοιαύτῃ περιπετείᾳ, μᾶλλον ἀτυχήσας ὁ κύριος Προκόπιος,

ἐλάσσων νομισθεὶς τῆς ὀφειλομένης αὐτῷ συμπεριφορᾶς ἐν τοῖς τοιούτοις δυστυχήμασι, καὶ μέγαν λογοθέτην τῆς ἐκκλησίας, ζῶντος τοῦ προτέρου παρὰ τὸ ἔθος προχειρισάμενος, καὶ ταῦτα ἀνεψιὸν τοῦ διώκοντος ἡγεμόνος. Κἀντεῦθεν πολλοὺς εἶχεν ἀπαρεσκομένους καὶ μεμφομένους αὐτοῦ τὴν διοίκησιν.

Ἀλλ' ἡ μὲν κατὰ τῶν οἰκείων τοῦ ἡγεμόνος τῆς Μολδοβίας ὀργὴ ὑφεῖτο τοῦ Θεοῦ μεταβαλόντος. Ὁ δὲ παναγιώτατος τῆς ἀδίκου ἐργολαβίας οὐκ ἀπηλλάγη. Οὐδὲ γὰρ τῶν ἀδίκων φόνων ὁ λοιμὸς ἔπαυσεν· ἔσπευδε γὰρ πάντα τὸν δυνάμει ἢ πλούτῳ κομῶντα τοῦ γένους ἐν Κωνσταντινουπόλει ἀπαλεῖψαι, ὡς μηκέτι φοβοῖτο, οἷς ἐτέλει, καὶ ὧν ἂν ἕλοιτο. Διὸ καὶ παρὰ πόδας ἀνεῖλε ῥᾳδιουργήσας καὶ δολίως τεχνητευσάμενος Δημήτριον τὸν Σκαναβῆ, ἄνδρα δόξαντα διὰ μακροῦ εὐτυχεῖν τοῖς δυνάσταις ἐμπορευόμενον. Καὶ ἐπὶ τούτῳ γοῦν ἐταλαιπώρει ἑξῆς ὁ κύριος Προκόπιος μετὰ τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου, καταγράφων, συνάγων, ἀποδοὺς ἐκκλησιαστικὰ χρέη, ἐν οἷς συνέβαινε λυπουμένους λυπεῖν, σφόδρα λυπούμενος, καὶ ἀδικουμένους, εἴ τι ἔλαθεν ἀδικοῦντας, προσαπαιτεῖν ἀπηνῶς ἀδικούμενος.

Ἐν δὲ τῷ αὐτῷ αὐγούστῳ μηνί, καθ' ὃν ἔλαβε τὴν ἄδικον θλίψιν περὶ τοῦ φονευθέντος Δημητρίου ἡ τοῦ Χριστοῦ μεγάλη ἐκκλησία, πολλὴν ἐπέγνω τὴν ἀπαρέσκειαν ὁ παναγιώτατος κύριος Προκόπιος καὶ διὰ τὴν εἰς τὸν μητροπολιτικὸν θρόνον Θεσσαλονίκης τοῦ Γερασίμου προχείρησιν· ἐγένετο δὲ οὗτος γνώριμος καὶ τολμητίας τις καὶ ῥέκτης κατεφάνη ἐπὶ τῆς ἐπηρείας τοῦ ἀρχιεπισκόπου Κύπρου, δι' ἣν ἐπὶ τοῦ ἀοιδίμου Γαβριὴλ ἀπεστάλη, διενεργήσας μὲν τὰς βουλὰς τῶν ἀποστειλάντων, τοσαῦτα δὲ καταδαπανήσας, καὶ τοιούτοις ἐμβαλὼν αὐτοὺς τοῖς δεινοῖς, ὅσα καὶ οἷα οὐδὲ δέκα διώκοντες τύραννοι διὰ βίου ἂν διενέγκοιεν καὶ κατεργάσαιντο. Ὁ γὰρ τότε προκόνσουλος, ἢ ἀνθύπατος (μέχρις ἐκείνου γὰρ τοῦ ὑπά-

του ἐνομίζετο ἡ Κύπρος) πλεονεξίᾳ νικώμενος, ἐδίωκε τὸν ἀρχιεπίσκοπον καὶ τοὺς περὶ αὐτὸν ἀρχιερεῖς, καὶ αἰτήσας τοῦ κράτους ἔλαβεν ἄδειαν, ἀντιστῆσαι ἑτέρους, ὡς μηκέτι ἔχειν τοὺς κωλύσοντας τῆς ἁρπαγῆς· οἱ δὲ λαθόντες διέφυγον, καὶ τὸν ῥηθέντα ἀπέστειλαν τῇ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ δηλώσοντα τὴν ἐπήρειαν, χεῖρα βοηθείας αἰτούμενοι, ἐπιτρέψαντες καὶ εἴ τινος δέοιτο τῶν μετρίων προσδαπανᾷν. Ὁ μὲν οὖν ἀοίδιμος τότε οἰκουμενικὸς πατριάρχης κύριος Γαβριὴλ καὶ ἡ περὶ αὐτὸν ἱερὰ σύνοδος, ὑπερμαχοῦντες τῶν συναδελφῶν καὶ τῶν ἐκεῖ χριστιανῶν, ἐκκλησίας ὅλης κηδόμενοι, τὴν ἄθεσμον καὶ ἄδικον τοῦ τυράννου βουλὴν διεσκέδασαν, ἀκυρώσαντες καὶ καταργήσαντες τὴν παράνομον προχείρησιν, ἀποδεικνῦντες τὸν τὰ τοιαῦτα ἄθεσμα τολμῶντα ὕπουλον ἀντάρτην, καὶ πλεονέκτην ἀναίσχυντον, λυμεῶνά τε καὶ φθορέα τοῦ λαοῦ, ὡς τῆς ἐπαινουμένης τάξεως παραβάτην, ἐκάλεσαν δὲ καὶ ἐκφυγόντας ἀρχιερεῖς εἰς βασιλεύουσαν ἀνελθεῖν. Ὁ δὲ ῥηθεὶς Γεράσιμος τοῖς δυνατοῖς ὁμιλῶν, καὶ καταφανὴς γενόμενος, ἅτε ἄπειρος ὢν τῆς ἐνταῦθα πολιτικῆς, ὡς ἕτοιμος ἦν μεγάλα προσδαπανᾷν, ἵνα τύχῃ, ὧν ἤλπιζε, γέγονε ματτύη τοῖς λύχνοις τὸ δὴ λεγόμενον, κἀκ τούτου τοῖς πλεονεκτοῦσι καὶ ἐπαῦθις ἦν καταθύμιος· τοῖς δὲ σωφρονοῦσιν ἀηδὴς ἦν καὶ ἐπίμωμος, καὶ μᾶλλον ἐπιβλαβὴς ἐνομίζετο. Ἀπηρέσκοντο γοῦν καὶ τῶν ἀρχιερέων καὶ τῶν ἀρχόντων οἱ πλείονες τὴν τούτου προχείρησιν, καὶ τὸν παναγιώτατον κύριον Προκόπιον, τῇ ἔξωθεν βίᾳ, καὶ ἔσωθεν ῥᾳδιουργίᾳ ἀγενῶς ὑποκλίναντα, ἐμέμψαντο.

Τοῦ δὲ μακαριωτάτου πάπα καὶ πατριάρχου Ἀλεξανδρείας κυρίου Γερασίμου πρὸς θεὸν ἐκδημήσαντος τῇ ϛʹ. τοῦ αὐτοῦ αὐγούστου μηνός, καὶ γραμμάτων ἀπ' Αἰγύπτου ἐλθόντων, ψήφῳ καὶ ἐκλογῇ τῶν ἐνδημούντων ἐν Κωνσταντινουπόλει ἁγίων ἀρχιερέων, καὶ εὐγενεστάτων ἀρχόντων καὶ ἐπιτρόπων τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ ἀποστολικοῦ τούτου θρόνου,

γνώμῃ καὶ συναινέσει τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κυρίου Προκοπίου, καὶ τοῦ μακαριωτάτου Ἀντιοχείας κυρίου Δανιὴλ, καὶ μακαριωτάτου Ἱεροσολύμων κυρίου Προκοπίου, προεκρίθη ἐκλεχθεὶς ὁ μέγας πρωτοσύγγελος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κύριος Παρθένιος, καὶ χειροτονηθεὶς ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου ἐν τῷ πατριαρχείῳ ὑπὸ τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κυρίου Προκοπίου τῇ δεκάτῃ τρίτῃ σεπτεμβρίου ἀρχιερεὺς καὶ μητροπολίτης Πηλουσίου, προεβιβάσθη νομίμως εἰς τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον Ἀλεξανδρείας.

Πολλῶν δ' ἐπηρειῶν καὶ θλίψεων γενομένων τοῖς ἐν τῇ Κωνσταντινουπόλει ὀρθοδόξοις χριστιανοῖς κατὰ τὸν ἐνιαυτὸν τοῦτον, καὶ ἐν ἅπασι συμπεριαγόμενος καὶ θλιβόμενος ὁ παναγιώτατος κύριος Προκόπιος, καὶ ἄκων ἐλύπησεν οὐκ ὀλίγους. Διὸ καὶ λίβελλοι κατ' αὐτοῦ τοῖς κρατοῦσιν ἀδικώτατοι τρεῖς ἐφεξῆς ἐπεδόθησαν, δι' ὧν ἧκεν εἰς αὐτὸν ἔγγραφος ἀπειλὴ τοῦ ἀνθυπάτου, ἄηθες ὂν τοῦτο γίνεσθαι, ὡς εἰ μὴ παύσει ἄρχων πλεονεκτικῶς, καὶ ἀγρίως διασπαράττων, καὶ κακῶς λυμαινόμενος τὸ ποίμνιον, ὡς αὐτοῦ κατεβόησαν, θάνατος αὐτῷ ἡ ζημία. Ἔδεισεν οὖν φοβηθεὶς ὁ παναγιώτατος τῆς ἀδίκου διαβολῆς, ἔδεισαν δὲ καταπτοηθέντες περὶ αὐτοῦ καὶ οἱ πανιερώτατοι ἀρχιερεῖς, ὑφορώμενοι ἐν σφαλερῷ οὕτω καιρῷ τῶν κακῶν τὰς ὁρμάς. Καὶ δὴ συνελθόντες, καὶ κοινὴν ποιήσαντες ὑπὲρ αὐτοῦ τὴν ἀναφοράν, ἀπέστειλαν μαρτυροῦντες καὶ διαβεβαιούμενοι τὸν ὀρθὸν τρόπον καὶ κοινωφελῆ μέριμναν, καὶ ἀνεπίληπτον προστασίαν τῆς αὐτοῦ παναγιότητος, ἀπελέγχοντες ψευδεῖς καὶ κακομηχάνους τὰς ὡς ἐκ τοῦ κοινοῦ δῆθεν ἐκείνας δηλώσεις, καὶ διαβολὰς ἀσυστάτους ἀνθρώπων ἐμπαθῶς κινουμένων, κακεντρεχῶν τε καὶ ἀπονενοημένων καὶ τοῦ ἡμῖν συμφέροντος πολεμίων.

Ἐν τῷ αὐτῷ ἔτει ὀκτωβρίου εἰκοστῇ τετάρτῃ τοῦ μα-

καριωτάτου Ἱεροσολύμων κυρίου Προκοπίου οἰκειοθελῆ παραίτησιν ποιησαμένου εἰς τὸν πανιερώτατον Καισαρείας Φιλίππου μητροπολίτην κύριον Ἄνθιμον, προτροπῇ τοῦ παναγιωτάτου κυρίου Προκοπίου, καὶ συναινέσει τοῦ μακαριωτάτου πάπα καὶ πατριάρχου Ἀλεξανδρείας κυρίου Παρθενίου, καὶ τοῦ μακαριωτάτου πατριάρχου Ἀντιοχείας κυρίου Δανιὴλ, συνδρομῇ τῶν Ἁγιοταφιτῶν, ἐγένοντο αἱ ψῆφοι ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ ἐπιλεγομένου Μετοχίου, καὶ γενομένης κανονικῶς τῆς μεταθέσεως, προεβιβάσθη νομίμως εἰς τὸν ἀποστολικὸν ἁγιώτατον θρόνον τῶν Ἱεροσολύμων ὁ κύριος Ἄνθιμος.

Ἀρχομένου δὲ τοῦ ὀγδοηκοστοῦ ἐννάτου σωτηρίου ἔτους, καὶ αὖθις προσαπητεῖτο ὁ παναγιώτατος τῶν δισχιλίων ναυτικῶν τὴν ἀνδρολογίαν, καὶ συναλγῶν μετὰ τῆς ἱερᾶς συνόδου προσεταλαιπώρει κατολοφυρόμενος τῇ ἀδικωτάτῃ ταύτῃ ἐπηρείᾳ, ἣν καὶ φυγεῖν τοῦ λοιποῦ ἀμήχανον καὶ ὑπενεγκεῖν τοῖς ἐπηρεαζομένοις οὐ φορητόν. Ἀλλ' ἐν οἷς περὶ τῆς καταδυναστείας ταύτης ἐσκέπτοντο, πονηροτέρα ἄλλη τούτοις ἐπῆλθε, καὶ οὐχ ἧττον παράδοξος. Διεκελεύετο γὰρ ὁ παναγιώτατος συναγαγεῖν ἐκ τῶν ἐν Κωνσταντινουπόλει ὀρθοδόξων χριστιανῶν, καὶ ἀποδοῦναι τῷ βασιλικῷ ἀργυροκοπείῳ μυριάδας διακοσίας δραχμῶν ἀσήμου ἀργύρου. Ὁ δὲ προτρεψάμενος τὰ πρῶτα, ἔπεισε προσαγαγεῖν τὰ τῶν εὐγενῶν οἴκων ἀργυρᾶ σκεύη, ἅπερ καὶ συναχθέντα τὸ ἕβδομον τοῦ αἰτουμένου συνεπλήρωσαν, καὶ ταῦτα ἀπέδωκεν· ἐπειδὴ εἰς τοὺς ἱεροὺς ναοὺς ἀφορῶντας ἐπέγνω, ἐνόμιζον γὰρ πολὺν εἶναι ἐν ταῖς ἐκκλησίαις σταθμὸν ἀργύρου, περιελόμενος τοῦ ἐν τῷ πατριαρχείῳ ναοῦ τὸν κόσμον τῇ δεκάτῃ ἑβδόμῃ Φεβρουαρίου, καὶ ἐφεξῆς τῶν ἄλλων ἐκκλησιῶν, κανδήλας, πολυελαίους, κηροστάτας, θυμιαντήρια, δίσκους ἀπέδωκε τοῖς ἱεροσύλοις, συμποσωθέντα εἰς τεσσαράκοντα καὶ ὀκτὼ μυριάδας δραχμῶν· ὡς δὲ καὶ ταῦτα

προσήνεγκον, ἐδέοντο μεθεῖναι μηκέτι ἔχοντας. Οἱ δὲ καὶ ἐπέκειντο ἀποπληροῦν, καὶ ἐκ τῶν ἐχόντων πορίζειν. Ἐθλίβετο γοῦν περὶ τούτου ὅ τε παναγιώτατος καὶ ἡ περὶ αὐτὸν ἱερὰ σύνοδος, καὶ ἀναδασμὸν ποιησάμενοι εἰς τὸν εὐσεβῆ λαὸν κατὰ συμμορίας καὶ συστήματα, νόμισμα ἤθροιζον, ἐξωνούμενοι καὶ ἀποπληροῦντες τὸν ἀπαιτούμενον ἄργυρον. Διηνωχλεῖτο δὲ καὶ διὰ τῆς συστροφῆς τῶν ἐνταῦθα Χίων, ἀντιποιουμένων τῆς ψήφου καὶ ἐκλογῆς τοῦ ἐν τῇ πατρίδι αὐτῶν μητροπολίτου, καὶ ἀπαρεσκομένων τῇ προχειρήσει τοῦ νεωστὶ χειροτονηθέντος, ὃν ὁ παναγιώτατος καὶ ἡ ἱερὰ σύνοδος ἐξελέξατο καὶ ἐψήφισε. Προσετάγη δὲ ἐπὶ τούτοις καὶ περὶ λιτότητος ἱματίων, καὶ πενιχρῶς ἀμπίσχεσθαι φροντίζειν τὸν ὑπόφορον, ὡς ἄξια ὧν ἔπασχεν οἶμαι ἀμφιέννυσθαι, καὶ πενθεῖν τυραννούμενον. Οὕτως οὖν ἐπεκύμαινε τὰ λυπηρὰ ἐπὶ τοῦ καιροῦ τούτου, μυρίων τῶν καθ' ἕκαστα ἐπιτρεχόντων, τοῦ βαρβαρικοῦ θράσους ἐκμανέντος καὶ ἀσελγῶς ἐξυβρίζοντος. Ὁ δὲ εὐσεβὴς λαὸς οὐ μόνον πρὸς ταῦτα διεκαρτέρει, ἀλλὰ καὶ πολλὴν ἐπεδείξατο τὴν χριστιανικὴν ἀγάπην τοῖς ἀπὸ Μεχαιδίας αἰχμαλωτισθεῖσι, πλείστους διὰ χρημάτων ρυσάμενος. Ὁ δὲ παναγιώτατος κύριος Προκόπιος, ἀδιαλείπτως ἐν τοιούτοις συνεχόμενος τοῖς δεινοῖς, πλειστάκις ἐπιδακρύων ἐβόα — φεῖσαι Κύριε, τοῦ λαοῦ σου, καὶ ἐξελοῦ ἡμᾶς τῆς παρούσης ἀνάγκης καὶ θλίψεως! καὶ ἦν διὰ παντὸς κατοδυνώμενος ταῖς κοιναῖς συμφοραῖς· ἐπεφόβει δὲ αὐτὸν καὶ ἡ τῶν κακῶν μανία, δι' ἃς ἐξήμεσε συκοφαντίας καὶ ἀσυνειδήτους διαβολάς, καὶ ἀπαλλαγὴν ἐζήτει πρόσφορον τῆς πατριαρχείας καὶ μεγάλης ταύτης ἐπιστασίας, ᾠκονόμει δὲ τὸν καιρὸν εὐχόμενος ὑπὲρ σωτηρίας πρὸς τὸν θεόν. Οἱ δὲ ἐνδημοῦντες ἀρχιερεῖς, εἴτε διὰ τὴν ἀρχόντων ἀπαρέσκειαν, εἴτε διὰ τὰ ἴδια συμφέροντα ἢ καὶ δι' ὀλιγωρίαν καὶ περιφρόνησιν ἐν ταῖς συγκυρούσαις ὑποθέσεσι καὶ ὁμιλίαις, τὸ τραχὺ καὶ αὐθέκαστον τέως μεμφόμενοι τοῦ παναγιωτάτου ἀπηλλο-

τριοῦντο, συσκεπτόμενοι τὰ περὶ διαδοχῆς καὶ ἐξώσεως τούτου, πῶς ἂν οἰκονομηθείη βέλτιον.

Ἐπεὶ δὲ τὰ τῆς βασιλείας μετέπεσε, διαδεξαμένου τὸν θρόνον Σελήμου τοῦ τρίτου τῇ εἰκοστῇ ἑβδόμῃ Μαρτίου, εὐμαρεστέρα ἐδόκει τοῦ κυρίου Προκοπίου ἡ ἔξωσις, καὶ μᾶλλον πρόχειρος ἡ μεταβολή, μηκέτι τῆς ἀπὸ τοῦ στρατοπέδου ἀποφάσεως τοῦ ἐπιτρόπου δεομένοις. Εὐθὺς οὖν συνελθόντες τῶν ἀρχιερέων καὶ ἀρχόντων οἱ πρόκριτοι συνέθεντο τὰ πρὸς τοὺς κρατοῦντας διαθέσθαι περὶ μεταβολῆς πατριάρχου, καὶ διενεργήσαντες ἔλαβον γνώμην καὶ ἄδειαν εὑρεῖν τὸν ἄξιον τῆς τοιαύτης ἐπιστασίας. Οἱ δὲ καὶ ἔχειν μὲν ἕτοιμον εἶπον· ἐδέοντο δὲ κατὰ τὸ δίκαιον ἔθος ὁρισμὸν ἀποδοθῆναι, ἵν' ἐκ κοινῆς τῆς γνώμης ἡ ἐκλογὴ γένηται. Ἦν δὲ ἐκ πολλοῦ ἡ γνώμη τῶν προὐχόντων ἀρχιερέων καὶ εὐγενῶν ἐπὶ τὸν Μαρωνείας κύριον Νεόφυτον, ὃν καὶ ὑποπτεύσας ἐδίωκεν ὁ κύριος Προκόπιος, οἱ δὲ καὶ ἀντιπράττοντες κατεῖχον σκηπτόμενοι προφάσεις, καὶ τῶν ληστῶν τὰς ἐφόδους εἰς Μαρώνειαν προβαλλόμενοι, ὥστε κινδύνου δῆθεν προφανοῦς ἐξελόμενοι καὶ τοῦ πρωτεύοντος τὴν γνώμην θεραπεύοντες, παρεῖχον αὐτῷ ἄνετον τὴν διατριβὴν ἐν μιᾷ τῶν Κυανέων νήσων τοῦ Ἀντιγόνου περιορίσαντες. Ἧκεν οὖν τῇ εἰκοστῇ ἐννάτῃ Ἀπριλίου ἔγγραφος προσταγή, ἵνα κοινῇ γνώμῃ πατριάρχην ἐκλέξωσιν, ἐπὶ δὲ τὸν παναγιώτατον κύριον Προκόπιον ἐπιστὰς τζαούσιος ἡσύχως τοῦτον παραλαβών, εἰς τὴν παλαιὰν Χαλκηδόνα διεπέρασε, κᾀκεῖ ἐπέστη δευτέραν περιμένων τὴν προσταγήν.

Ἐπὶ μὲν οὖν τῆς ἐκλογῆς καὶ προχειρήσεως τούτου εἴποι τις ἂν χρονολογήσας, τὸν Προκόπιον ἐξαριθμεῖ ἔτος. Ἦν δὲ ὁ παναγιώτατος κύριος Προκόπιος τὸ γένος Πελοποννήσιος τῶν πενεστάτων· τραφεὶς δὲ καὶ παιδευθεὶς παρὰ τῷ ἀδελφῷ αὐτοῦ Γάνου καὶ Χώρας μητροπολίτῃ, τούτου θανόντος, οὐ μόνον τῆς περιουσίας κληρονόμος ὑπῆρξεν, ἀλλὰ καὶ ἐν τῇ ἐπαρ-

γίᾳ τῆς πνευματικῆς προστασίας κατέστη διάδοχος· διοικήσας δὲ τὴν ἐπαρχίαν ταύτην χρόνους ἱκανούς, χρείας καλούσης, μετετέθη προβιβασθεὶς εἰς Σμύρνην, ἐφ' ἧς διὰ μακροῦ εὐδοκιμήσας ἐπὶ τὸν οἰκουμενικὸν μετεπέμφθη θρόνον. Ἦν δὲ ἐπὶ τὸ κάλλιστον καὶ ἐπαγωγότατον διεσκευασμένος· σωφροσύνῃ γὰρ καὶ σεμνότητι διὰ βίου κοσμούμενος, καρτερίᾳ καὶ φερεπονίᾳ διέφερεν, ὕπνου βραχέος μεταλαγχάνων, καὶ τροφῆς ἀμελῶν. Φιλοδίκαιός τε ἦν καὶ φιλάγαθος, καὶ φιλομαθής. Πιθανός τε εἰπεῖν, καὶ τῷ πιθανωτέρῳ ἑκὼν εἶναι ἕπεσθαι, λόγῳ ὑπείκων. Ἀρχικὸς ἐν καταστάσει, καὶ εὐσύνετος, κανονικῆς τάξεως καὶ ἐκκλησιαστικῆς εὐκοσμίας ζηλωτής, διδακτικός, μισοπόνηρος, ἐλεγκτικός. Διὸ καὶ βαρὺς ἔδοξε καὶ πικρόχολος, καὶ ἐμισήθη παρὰ πολλῶν, καταμεμφόμενος τὰ ἐκείνων ἐλλείμματα εἴτουν ἁμαρτήματα, ἢ ἀδικήματα. Ἐφρόντισε δὲ καὶ περὶ χρηματικῆς οἰκονομίας τῶν ἐκκλησιαστικῶν χρεῶν ἐν τοῖς μάλιστα, ὑπὲρ ἧς καὶ μῶμον φειδωλίας ἑαυτῷ περιῆψε, κἂν ἐδόκει φιλότιμος περὶ τὰ χαρίσματα, μηδένα τε ἐζημίωσε τῶν ἀρχιερέων, καὶ πρὸς τὰς κοινὰς χρείας πολλὰ τῶν ἰδίων ἐδαπάνησε μικρὰ ἐκ τῶν πολλῶν ποριζόμενος, καὶ τὰς δαπάνας ὡς οἷόν τε ὑφαιρῶν, ἃς αὐλικὰς οἶδεν ὁ λόγος· κατευστοχήσας δὲ ἐν πολλαῖς ταῖς πράξεσι, φορτικώτερος εἶναι ἐδόκει, καὶ οὐκ ἔτι δὴ ἀνεκτὸς καὶ ἀρχιερεῦσι καὶ ἄρχουσι, τῇ κοινῇ περιπετείᾳ δῆθεν μὴ συμφερόμενος. Διέφερε δὲ καὶ μάλιστα ἀγαστὸς ἦν τῇ τε πρὸς θεὸν πίστει καὶ ἐλπίδι, καὶ τῇ πρὸς πάντας διαπύρῳ ἀγάπῃ, δι' ἧς τὰ τῶν εὐσεβῶν παθήματα καὶ τοὺς ἐπικειμένους διωγμοὺς καὶ κινδύνους καθ' ἑκάστην λογιζόμενος, ἠγωνία συναλγῶν καὶ συμπάσχων πᾶσι τοῖς εὐσεβέσι, κατὰ τὸν θεῖον Ἀπόστολον.

ΜΕΡΟΣ Ε΄.

Τοῦ παναγιωτάτου κυρίου Προκοπίου ἐξωσθέντος τοῦ οἰκουμενικοῦ θρόνου, καὶ τῆς ἐκλογῆς γενομένης ἐπὶ τὸν κύριον Νεόφυτον τὸν ς΄., γενομένης τῆς παραστάσεως ἐπὶ τοῦ ἐπιτρόπου τῆς βασιλείας, καὶ ἐπιβεβαιωθείσης τῆς ἐκλογῆς διὰ τῶν συνήθων καββαδίων, τῇ ά. Μαΐου τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ ἐννάτου σωτηρίου ἔτους ἐγένετο ἡ μετάθεσις τοῦ κυρίου Νεοφύτου ἀπὸ Μαρωνείας εἰς τὸν οἰκουμενικὸν θρόνον ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου, γενομένης τῆς ἀναρρήσεως ἐν τῷ πατριαρχείῳ πληθούσης ἐκκλησίας, ὡς νενόμισται.

Τὸν μὲν οὖν προχειρισθέντα νέον πατριάρχην ἔσαινον οἱ πλείους τῶν ἀρχιερέων καὶ ἀρχόντων, χρηστὰς τρέφοντες ἐλπίδας περὶ τῶν σφίσι διαφερόντων, περιώρισαν δὲ τὸν ἐξωσθέντα ἐν μιᾷ τῶν Κυανέων νήσῳ τοῦ Ἀντιγόνου, ἀπαιτοῦντες πλῆθος χρημάτων, ὡς δῆθεν τῶν κοινῶν ἀφελόμενον. Ἐπιλογισάμενοι γὰρ ὅσα εἰς χρείας τῆς μεγάλης ἐκκλησίας, καὶ ταῦτα ἐν τοιούτοις καιροῖς, καθ' οὓς τὸ βάρβαρον ἁβροτάτοις τοῖς δώροις ἐκμειλίσσεται, πάντα ἐκπληροῦν ἐκ τῶν ἰδίων ἠνάγκαζον, ἀπογυμνῶσαι ὧν εἶχε σκοποῦντες, δίκαιον ἡγούμενοι κατισχύσαι τοῦ ἀνδρός, πάντα ἐκ πάντων ποιοῦντες, καὶ περιελεῖν οὐ μόνα τὰ χρήματα, ἀλλὰ καὶ τὴν δόξαν ἣν εἶχε περὶ αὐτοῦ ὁ λαός, πλεονέκτην καὶ ἅρπαγα καὶ φθορέα τοῦ κοινοῦ διακηρύττοντες· ὑπέθραπτε γὰρ δέος αὐτοὺς τῆς ἐπανόδου, καὶ ἵνα μηκέτι φοβοῦνται, ταῦτα διεμηχανῶντο, παντοίως ἀδικοῦντες καὶ καταψευδόμενοι, ὥσπερ εἰώθασι τὰ πολλὰ οἱ δεινοὶ οὗτοι σοφισταί, καὶ λυμεῶνες ὑπουλότατοι. Ἀφεῖλον οὖν ὅσα ἐκ κληρονομίας καὶ ὅσα ἐν δυσὶ ταῖς ἐπαρχίαις αὐτῷ περιεγένετο μέχρι τῶν ἑβδομήκοντα πέντε ταλάντων, καὶ γυμνώσαντες εἰς τὴν ἐν τῷ ἁγίῳ Ὄρει Λαύραν ἐξέωσαν, ἐν αὐτῇ περιορίσαντες.

Οὐ μετὰ πολλὰς ταύτας ἡμέρας μετεπέμψαντο μὲν ἐκ τῆς αὐτοῦ ἐπαρχίας τὸν Προύσης Ἄνθιμον, ἀπελύσαντο δὲ τῆς ἐν Χίῳ ἐξορίας τὸν πολύτλαν γηραιὸν Μελέτιον Νικομηδείας, τῇ εἰκοστῇ ἕκτῃ μαΐου ἐγγράφως ἐπιτραπείσης παρὰ τοῦ ἀνθυπάτου τῆς ἐπανόδου. Ἐντεῦθεν οὖν ἤρξατο ἀγωνιᾷν ὑφορώμενος τὸν προκείμενον οἷ δίκυλον ὁ Χαλκηδόνος Παρθένιος, καὶ πρὸς ἄμυναν παρασκευάζεσθαι, παραλογισάμενος περὶ τὰς ἀρχάς, τῇ ὑποστολῇ καὶ τῶν κοινοτέρων δῆθεν πραγμάτων παραιτήσει καὶ αὐθαιρέτῳ ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ διατριβῇ φανερὰν τὴν ἀπαρέσκειαν καταστήσας, καὶ κατ᾽ αὐτοῦ διερεθίσας παγχάλεπα τὸν ἰσχύοντα. Οὐ γὰρ διὰ τῶν αὐτῶν ἀεὶ φιλεῖ νικᾷν τὸν ἀντίπαλον· ἀλλὰ τὸ μὲν ἅπαξ φανὲν χρήσιμον οὐκ ἔτι ἰσχύει, τὸ δὲ καὶ πρὸς ἄλλον καιρόν, ἀλυσιτελές, καὶ ὡς εἰπεῖν ἄλλα ἐν ἄλλοις κρατεῖ, καὶ ταῦτα ἐν τοῖς τοιούτοις, ἐν οἷς ἥ τε πονηρία πλεονάζει, καὶ ἀκάθεκτος ἡ ὁρμή, μήτε κανόσιν ὁριζομένη, μήτε λόγῳ ὑπείκουσα. Ὤετο γοῦν οὕτως καὶ αὖθις περιγενέσθαι, ὡς καὶ ἄλλοτε περιεγένετο τοῦ τότε Νικομηδείας Μελετίου καὶ τῶν περὶ αὐτὸν σπουδαζόντων, μὴ συνεννοήσας τῶν πραγμάτων τὴν μεταβολήν, μηδὲ καλῶς ἐπιστήσας τοῖς γενομένοις, ἴσως τῆς δίκης ἀγούσης τὴν αἰτίαν, ἐφ᾽ οἷς περὶ τὸν κύριον Προκόπιον ἐπλημμέλησε, μᾶλλον δὲ περὶ αὐτὴν ὅλην τὴν ἐκκλησίαν. Οἱ γὰρ ἐν τοῖς ἐκκλησιαστικοῖς διαφερόμενοι δοκοῦσι μὲν τὰ πρῶτα περὶ τῶν κοινῶν ἀγωνίζεσθαι, κατισχύσαντες δὲ οὐδὲν τῶν προτέρων, εἰ μή τι χεῖρον διήνεγκαν. Οὕτως οὖν πάντα λίθον κινήσας τὸ τοῦ λόγου, καὶ κατισχύσας τοῦ Νικομηδείας πρότερον ὡς τυραννικοῦ, καὶ ἐξώσας εἰς Αἴγυπτον αὐτὸς μοναρχεῖν ὕστερον ἤθελεν. Ἀλλ᾽ ἐπὶ μὲν τοῦ ἀοιδίμου πατριάρχου Γαβριὴλ, διὰ φόβον τοῦ ἐξωσθέντος ἐνομίζετο ταῦτα πράττειν, περιαιρῶν πάντοθεν τοῦ ἀντιπάλου τὰς μηχανάς, καὶ διαφράττων τὰς διώρυγας καὶ διατειχίζων ὡς εἰπεῖν τὴν ἐπάνοδον. Ἐπὶ δὲ τοῦ κυρίου Προκο-

πίου πρόφασιν τοιαύτην μηκέτι ἔχων, ὡς οὐ τῶν πάντων ἰδιαιτέρως αὐτῷ ἐκοινώνει, ἐφωράθη τὴν γνώμην μοναρχίαν νοσῶν, καὶ τοῦ πατριάρχου μὴ συγχωροῦντος, ἄντικρυς διεμάχετο καὶ ἐπανέστη ἀναιδῶς τοῦ πρωτεύοντος, καὶ ἐπιστήσας τὴν αὐτῷ παρεμβολὴν ἐπὶ μιᾶς τῶν Κυανέων νήσων, προσεταιρισάμενος τινὰς τῶν ἀρχιερέων καὶ ἀρχόντων, ἐπετοξεύετο ἀδίκως τοῦ δικαίου πατρὸς, πολλὰ ἄδικα καὶ παράνομα ὑποβάλλων ταῖς ἀβασανίστοις ἀκοαῖς τοῦ λαοῦ, καὶ τὰ ἄνω κάτω ποιῶν ἕως ἂν περιεγένοιτο, ὡς καὶ περιεγένοιτο, καὶ ὑπήγαγε καταχρησάμενος. Ἀλλ' ἐπεὶ ἀηδῶς αὐτῷ ἐπειθάρχει ὁ κύριος Προκόπιος, καὶ οὐ πάντα πάντως ἐδούλευεν, ὑφωρᾶτο, διὸ καὶ παρεώρα, καὶ ποικίλως παρώθει τοῦτον εἰς πτῶσιν καὶ περὶ τοῦ διαδεξομένου τὸν οἰκουμενικὸν θρόνον ἐσκέπτετο. Ἀλλὰ τὸν συμπράττοντα τέως οὐκ εἶχε· ἅπαντες γὰρ αὐτῷ διαπιστοῦντες, καὶ προσκεῖσθαι τῷ ἡγεμόνι Οὐγγροβλαχίας ὑπολαμβάνοντες, οὐκ ἔτι προσεῖχον, καὶ τὰ διενεργούμενα ἀπεκρύπτοντο παραφυλαττόμενοι. Διὸ καὶ τὰ περὶ τῆς ἀλλαγῆς τοῦ πατριάρχου αὐτοῦ πρότερον εἰπόντος, ἀπεπήδησαν ἔντρομοι, ἐπιβουλὴν ἡγησάμενοι, καὶ ἀκοὴν ἀποφράξαντες, ὅσα τε ἑξῆς συνεσκέψαντο, εἴτε μετ' ἀλλήλων οἱ ἐνδημοῦντες ἀρχιερεῖς, εἴτε καὶ μετὰ τῶν ἀρχόντων ἔλαθον αὐτὸν διόλου τὰ πραττόμενα ἀγνοοῦντα, καὶ κεναῖς ἐλπίσι τρεφόμενον. Ὥστε παρὰ τὸ εἰκὸς αὐτῷ γενομένης τῆς μεταβολῆς, καὶ παρὰ γνώμην τῆς ἐκλογῆς ἐπὶ τὸν Νεόφυτον, εὐθέως οὐ συνῆκε μεταπεσόντα Κλωθοῦς τὸν ἄτρακτον ᾗ λέγεται, καὶ συγκλώθειν ἐπειρᾶτο τὰ ἄκλωστα.

Ἀλλὰ καὶ κατὰ τοῦ μεγάλου λογοθέτου τότε τῆς ἐκκλησίας Στεφάνου, ἤτοι τοῖς ἄλλοις χαριζόμενος, ἢ ἑαυτὸν ἐκδικῶν, ὅτι νέον ἐπὶ τῆς ἐκλογῆς ὠνόμασε, καὶ τοῖς ψηφίζουσιν ἑτοίμως οὐ συνηνέχθη, εὐθὺς ὀλιγωρίαν ἐπεδείξατο, καὶ μῖσος ἐνέφηνεν ὁ κύριος Νεόφυτος, καὶ νεανικῶς εἰς προῦπτον ἐφήλλατο κίνδυνον, εἰ μὴ ὅτι ὁ ἄρχων εὐσεβὴς ἦν, καὶ πολλοὶ ὑπὲρ

τῆς ἐκκλησίας συναγωνιζόμενοι, εἰς τὸ κοινὸν τῆς βλάβης ἐξικνουμένης δι' ἐκδικήσεως· τοῦ γὰρ ἐξώλους καὶ προώλους ἀτασθάλου πολέμου χαλεπῶς σφαδάζοντος καὶ μαινομένου, καὶ εἰς τρεῖς ἀρχὰς τότε συνισταμένου, Χιμαίρας δίκην τρικεφάλου, τὸ δέος ἐφ' ὅλην τὴν Ὀθωμανικὴν ἐξουσίαν κατίσχυε τῶν δοκούντων ὡς μέγα τε καὶ παγχάλεπον, καὶ ψιλή τις φάσις ἤρκει ἀπαρεσκομένοις εἰς ὄλεθρον, πολλοῦ γε καὶ δεῖ ἀντιπράττουσι· κατὰ τούτων οὖν προπετήσας ὁ παναγιώτατος, μηδαμῶς τὴν ἐντεῦθεν καταστροφὴν λογισάμενος, εἰς πολλὴν ἀγωνίαν ἐνέβαλλε, καὶ πράγματα μὴ εἰδὼς τοῖς νοοῦσι παρεῖχεν ὑπὲρ αὐτοῦ ἀγωνίσασθαι, γνώμην τυχόντος τοῦ ἄρχοντος εὐγνώμονά τε καὶ εὐσεβῆ, ὥστε ἀνεχομένην τῆς ὀλιγαρχίας καὶ ἀπιδοῦσαν εἰς διαλλαγάς, πράως διενεγκεῖν καὶ μηδέν τι αὐτῷ φλαῦρον διαπράξασθαι. Ἤρκει γὰρ πρὸς ἄμυναν τοῖς κρατοῦσιν ἀντιπράττοντα σφίσι τὸν πατριάρχην κατειπεῖν· ὅ τε γὰρ ὑπέρτατος ἐν Βουλγαρίᾳ καὶ γενικὸς ἀρχιστράτηγος ἠγάπα αὐτόν, καὶ πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν ὁ στρατηγὸς τῆς Βασαραβίας ὡς υἱὸν ἔστεργε· καὶ ὁ τῆς Οὐγγροβλαχίας ἡγεμὼν θεῖος αὐτοῦ ὤν, καὶ ἔντιμος ἦν αὐτοῖς καὶ πιστὸς, διά τε τὸ περιὸν αὐτῷ τῆς φρονήσεως καὶ ἀόκνου ὑπουργίας, καὶ δι' ἣν εἶχε τότε ἀξίαν διάκτορος πρὸς τὰς ἀρχὰς τῶν ναυτικῶν, καὶ ἀντιφωνητοῦ προσεδρείαν τοῦ πρὸς πατρὸς θείου πρὸς τὰς ὑπερκειμένας καὶ μείζονας. Ἀλλὰ καὶ τοιοῦτος ὢν οὐκ ἠθέλησε προαρπάσαι τὸν καιρόν, καὶ πρίν τι χεῖρον παθεῖν ἀντιδοῦναι, καίτοι προνοῶν, οἷος αὐτῷ ἀποβαίη, τοῦ καιροῦ ἐπιτρέψαντος, ὁ ἀντίπαλος· οὐ γὰρ ἁπλῶς τῶν ἀντιπολιτευομένων αὐτῷ ἐδόκει, ἀλλὰ πατριάρχης ἦν, καὶ σχῆμα περιέκειτο πάντων αἰδέσιμον, καὶ τὰ τῆς ἐκκλησίας ἐπὶ τούτῳ ἐσάλευεν, ὅτε καιρὸς βαρύτατος ἦν, καὶ στόματα ἐχθρῶν ἦσαν ἀπύλωτα, ἥ τε ταχεῖα μεταβολὴ τοῖς κακοῖς, μυρίας καθ' ἡμῶν παρεῖχε προφάσεις, δεινοί τε οἱ κρατοῦντες, ἐφ' οἷς τὰ τῆς πτώσεως ἂν διήνεγκε πρὸς ἄμυναν,

καὶ τὸ ὅλον μηδένα βλάψαι οὐκ ἠνέσχετο εἰς ἅπαν τὸ πρόσωπον τῆς ἐκκλησίας, ἐφ' ὅσον διατείνει ἡ θεωρία τῶν τοιούτων φαίνεσθαι μαχόμενος τῷ πατριάρχῃ καὶ δοκεῖν φιλέκδικος καὶ κακοποιὸς, τῶν πλειόνων τὰς αἰτίας ἀγνοούντων, ἑλόμενος παθεῖν τι μᾶλλον ἢ πρίν τι δράσαι κακόν. Ἐγένετο δὲ καὶ κοινοτέρα συνέλευσις ἐφεξῆς ἀρχιερέων καὶ ἀρχόντων, ἐν ᾗ ἔδοξεν ἀνανεώσασθαι τὰ διὰ βασιλείου κεραίας περί τε ἐλευθέρας ἐκλογῆς καὶ ἀπαραβιάστου προχειρίσεως τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ γενικῆς ἐπιτροπῆς τῶν χρηματικῶν τοῦ πατριαρχείου, καὶ ἐγκαθιδρύσεως τῆς παρενδημούσης δεκάδος. Διὸ καὶ ὡς ἔθος ἱκετικὸν ἐνυπόγραφον κατεστρώθη, πάντων ἐξαιτουμένων δουλικῶς τὰ πρότερον βασιλικῶς ἐπιχορηγηθέντα ἡμῖν ἐλέη κατὰ δικαιοπραγοῦσαν εὐμένειαν τῶν κραταιῶν προκατόχων τοῦ ἄνακτος, ἐπιβραβευθῆναί τε καὶ αὖθις καὶ ἐπιβεβαιωθῆναι διὰ διπλώματος ἐπισημανθέντος τῇ βασιλείῳ κεραίᾳ εἰς πρᾶξιν καὶ ἐνέργειαν ἀπαράτρεπτον, ἔμμονόν τε καὶ ἀσφαλῆ διατήρησιν, ὡς λυσιτελῶς κελεύει, νομίμως τε ὥριστο, τὴν κοινωφελῆ εὐταξίαν βασιλικῶς συνιστῶντα, καὶ συνέχοντα. Καθήπτοντο δὲ ἐν τῇ ἐκθέσει τῆς ἱκεσίας καὶ διέβαλλον τὸν κύριον Προκόπιον ὡς παραβάτην καὶ ὀλιγωρητὴν τῆς βασιλείου ταύτης διαταγῆς καὶ νομοθεσίας· εἰς τοσοῦτον γὰρ τὸ δέος τῆς ἐπανόδου τούτους ἐξέστησεν, ἥκιστα συνορῶντας, ἢ μὴ βουλομένους συνιδεῖν τὸν ἑπόμενον κίνδυνον. Ὡς δὲ τὴν περικοπὴν τῆς ἀναφορᾶς ταύτην ἑώρακεν ὁ τότε τῆς ἐκκλησίας μέγας λογοθέτης Στέφανος, ἐξεβόησεν: εἰ ἀνελεῖν τὸν ἄνδρα βούλεσθε ῥᾷον ὑμῖν βουλομένοις διαχειρίσασθαι, τί ὅτι τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς ἐπάγειν βουλεύεσθε; ἀθῶοι ἡμεῖς τοῦ δικαίου, ὑμεῖς ὄψεσθε! Αἰσχυνθέντες οὖν οἱ ῥᾳδιοῦργοι περιεῖλον ταύτην τὴν ἄδικον διαβολὴν, καὶ ἐξαιρεθέντος τοῦ δηλητηρίου, τὸ λοιπὸν πρὸς τὸν σκοπὸν διεύθυναν καὶ κοινῇ κατεσφράγισαν· ἐπηνέθη δὲ ἐπ' αὐτῷ παρὰ τῶν πολλῶν ὁ ῥηθεὶς λογοθέτης,

καὶ εὐχὰς ἔλαβε, τοῦ δικαίου προστάτης φανείς, καὶ τὸν ἐγκεκρυμμένον δόλον ἐκκαλύψας, παρρησίᾳ ἐξελέγξας τὴν μιαιφονίαν τοῦ ἀνοσίου ῥᾳδιουργήματος, καὶ τῆς ἐπιβουλῆς ἀπαλλάξας τοὺς πλείονας, οἳ ἐν τοῖς τοιούτοις μήτε τῆς Τουρκοαραβικῆς διαλέκτου ἅλις ἐπαΐουσι, μήτε σκευορραφίας συνιέναι ὡς τάχος, καὶ πλοκὰς κακεμφάτων ῥημάτων καὶ λόγων δολίων διαλύειν ἰσχύουσι, καὶ τοῦ κινδύνου τὸν ἀθῶον ῥυσάμενος. Ὁ γὰρ παναγιώτατος κύριος Προκόπιος προδήλως καὶ ἀναντιρρήτως τὸ κατὰ τὸ ͵αψνθʹ. σωτήριον ἔτος ἐπὶ τοῦ ἀοιδίμου πατριάρχου Σεραφεὶμ περὶ προχειρίσεως τοῦ οἰκουμενικοῦ ἐκδοθὲν καὶ διὰ βασιλικῆς κεραίας ἐπισημανθὲν διάταγμα, εὐθὺς ἐξεπλήρωσεν, ἐξ ἰδίων ἀποδοὺς πάντα τὰ ἐπὶ τῆς προχειρίσεως αὐτοῦ ἀναλώματα, τά τε περὶ τῆς ἐνδημούσης τῶν ἀρχιερέων δεκάδος ἐντάλματα ἀκριβῶς διετήρησε, καὶ τὰ περὶ τῆς ἐπιτροπικῆς διενήργει προστάγματα. Ἐδόκει μέντοι τὴν ἄθεσμον καὶ ἔκτοπον κολούειν εὐλόγως ἐπιτροπάρχειαν, καὶ τὰ παρὰ τὴν νομοθεσίαν ἀπείργειν τολμήματα· ἡ γὰρ πρὸς τὸ συμφέρον τῆς ἐκκλησίας δι' εὐλόγων κεφαλαίων ὁρισθεῖσα ἐπιτροπική, δοκοῦσα τὴν ἐκκλησιαστικὴν ἔννομον καὶ σύνναον τῇ εὐπαρρησιάστῳ πρὸς θεὸν συνειδήσει τῶν ἱερῶς ἐν ἱεροῖς ὑπουργούντων συνιστᾷν καὶ κρατύνειν, καὶ πρὸς τὰς ὑπονοουμένας τυραννίας διαμάχεσθαι καὶ ἐναντιοῦσθαι, εὐθὺς ἀρχομένη ἐπὶ τὸ ἀντίθετον ἐξετράπη, τῇ μὲν ὀχλοκρατίας, τῇ δὲ ὀλιγαρχίας μορφὴν μεταμείβουσα, καὶ μεταβαλλομένη, καὶ ἐμμένειν τοῖς ὁρισθεῖσιν ἥκιστα βουλομένη. Διὸ καὶ ἐξ αὐτῆς οὐδὲν ἡ ἐκκλησία ἀπώνατο, θορύβους δὲ καὶ ὕβρεις, ἀπηνείας τε καὶ ζημίας, εἰσὶν οἳ τῶν ἀρχιερεων ἐκτόπως ἀπέλαβον, ἀλλὰ καὶ τὸ κοινὸν ἐλπίδα ἔχον χρηματικῆς οἰκονομίας προσεζημίωτο, καὶ χρέεσι βαρυτάτοις ὑπέπεσεν. Ἐντεῦθεν οὖν οἱ μὲν ἀρχιερεῖς διέβαλλον τῶν λαϊκῶν τὴν ἐν τοῖς ἱεροῖς τόλμαν, καὶ ἀνεπιστήμονα ἐκάλουν τὴν οἰκονομίαν, κατολιγωροῦντες τῆς προπετοῦς αὐτῶν φιλαρ-

χίας, καὶ τῆς ἀδίκου πλεονεξίας μεμφόμενοι. Οἱ δὲ ἄρχοντες ἐν αὐτοῖς διαφερόμενοι, δεδοικότες δὲ καὶ τὰς τοῦ ἡγεμόνος Οὐγγροβλαχίας ὀργάς, ἀπεκρύπτοντο. Διῃσχύνοντο δὲ καὶ τῶν χειρωνακτῶν καὶ ἐμπόρων οἱ πρόκριτοι, καὶ οὐκ ἔτι σοβεῖν διὰ τῆς ἱερᾶς αὐλῆς ἀπετόλμων, οὐδ᾽ αὐχεῖν ἐπὶ τῇ ἀξιώσει, ὡς εἰώθασι πρότερον, ἐπίτροποι τοῦ κοινοῦ, καὶ οἰκονόμοι τῆς ἐκκλησίας ὑπερσεμνυνόμενοι. Ἐντεῦθεν οὖν ἐξ ἀκολασίας σωφρονιζούσης τῆς ἐπιτροπικῆς, οἱ ἀκολασταίνειν θέλοντες, τὰς αἰτίας τῆς μεταβολῆς ἐπὶ τὸν κύριον Προκόπιον περιῆψαν, καὶ εἰς τοῦτο παροινίας παρήλασαν, ὥστε καὶ πρὸς τὸν βασιλέα διαβάλλειν παραβάτην τῶν συνθηκῶν, καὶ καταφρονητὴν τῶν βασιλικῶν διαταγμάτων ἀσεβῶς ἐγκαλοῦντες, καὶ διαμαρτυρεῖν θέλοντες.

Ἡ μὲν οὖν κοινὴ ἱκεσία ὑπὲρ τῶν ἱλαρῶν ἀνενεχθεῖσα τῇ εἰκοστῇ δευτέρᾳ Ἰουλίου ἀπεδόθη τῷ κράτει. Ὁ δὲ δικαιοπραγὴς καὶ φιλάνθρωπος ἄναξ, εὐμενῶς ἀποδεξάμενος προσεκυρώσατο τῶν προκατόχων αὐτοῦ τὰς ἀποφάσεις καὶ τὰ ἐντάλματα, νέον ἐπιδοὺς διάταγμα. Ὁ δὲ παναγιώτατος τὸν Χαλκηδόνος Παρθένιον εἰς Χάλκην περιώρισεν, ἀπειπάμενος αὐτῷ τὴν μετὰ πολλῶν ὁμιλίαν καὶ εἰς βασιλεύουσαν ἄφιξιν. Ποτνιώμενος γοῦν ἐκεῖνος τῆς ἀδίκου τοῦ ἰσχύοντος βίας ἀναιτίως διώκεσθαι, καὶ ἐκ διακένου ὑπονοίας τοῦ πατριάρχου παραλόγως διωθεῖσθαι, εἶχε μὲν τῶν ἀρχόντων τινὰς συνηγοροῦντας, καί τινας τῶν ἀρχιερέων ἀπαρεσκομένους τῇ βίᾳ, ὅτι παραλόγως εἰς πράγματα ἐμβάλλει τὴν ἐκκλησίαν ὁ πατριάρχης ὑποτονθορύζοντας, οὐκ ἐξέφυγε μέντοι τῶν ἀρκύων, οὐδ᾽ ἀπελύθη περιορισθείς.

Ἀλλὰ καὶ τῶν Ἁγιοριτῶν βαρυτάτοις τοῖς χρέεσι καταπιεζομένων καὶ δυσφορούντων, ἐκεῖ μὲν παραπληκτισμὸς καὶ διχόνοια ἦν, ἐν δὲ τῇ μεγάλῃ ἐκκλησίᾳ καταβοαὶ καὶ ἐνοχλήσεις, τῶν δανειστῶν ἀπαιτούντων ὧν μὲν τόκους, ὧν δὲ καὶ κεφάλαια. Ἐντεῦθεν οὖν τὸ κακὸν ἀρξάμενον ἐξ ἐνδείας, ἐπὶ

μέγα προήχθη ἐκ προσωποληψίας τοῦ δικάζοντος. Τῶν γὰρ πολλῶν διαφερομένων μετὰ τῆς Λαύρας, ὡς μὴ ἀποπληρούσης τὰ ἐπιβάλλοντα, δόξαντα προαρπάζειν τὴν δίκην καὶ ἑτεροζυγεῖν τὸν παναγιώτατον, ἀπεώσαντο ἀφ' ἑαυτῶν οὐχ ὡς οἰκουμενικὸν, ἀλλ' ὡς Λαυριώτην ἐπιδικάζοντα οἱ λοιποὶ τῶν Ἁγιοριτῶν.

Ἐν αὐτοῖς δὲ καὶ τὸ σχολεῖον τοῦ Ὄρους, ὅπερ μετὰ τὸν ἐκ Μεσόδου Νικόλαον ἠμοίρησε μὲν ἀνδρὸς τελεωτέρας ἐπιστημονικῆς ἕξεως, εἶχε δὲ ἐφεξῆς διδασκάλους ἐπιμελητὰς τῶν λογικῶν ἕξεων, τῶν ἐπιστημονικῶν οὐκ ἀδαήμονας μαθημάτων, πατριαρχικῆς κηδεμονίας καὶ τῆς τῶν φιλογενῶν καὶ φιλολόγων συνδρομῆς μὴ παντάπασιν ἀποστερούμενον, μηδεμιᾶς ἀξιώσας προνοίας, τοὐναντίον δὲ ἀκαίρως ἐπιτιμήσας τὸν ἐν αὐτῷ διδάσκαλον, τούτου αὐτῷ δύσνουν καταμαθόντος τὸν προστάτην, ταχέως τε ὑποχωρήσαντος, καὶ τῶν μαθητῶν διασπαρέντων, ἀπέκλεισεν ἤδη καὶ ἐρήμωσεν ὁ παναγιώτατος. Αὐτὰ ταῦτα ἔπαθε καὶ ἡ ἐν Πάτμῳ σχολή· ἀλλὰ ταχέως ἀποκατέστη. Ἡ δὲ παρὰ τῷ πατριαρχείῳ ἐνταῦθα εἰσέτι διακαρτερεῖ παντοίως ἐπηρεαζομένη, τὰ λοίσθια πνέουσα.

Ἀρχομένου δὲ τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ἐννενηκοστοῦ σωτηρίου ἔτους καὶ αὖθις προσταγὴ περὶ ναυτικῆς ἀνδρολογίας ἐγένετο, καὶ τῶν παραλίων ἐπαρχιῶν μηκέτι δυναμένων ἀνδρολογεῖν, χρήματα συλλεξαμένων, ἐμισθοῦντο πλείονας τῶν ἐν ταύτῃ τῇ πόλει δι' ἀμηχανίαν βίου ναυλοχεῖν αἱρουμένων, συνέπραττον δὲ καὶ ἐβοήθουν οἱ ἐνδημοῦντες ἀρχιερεῖς πρὸς τὴν ἀνάγκην, τὸ ἐπιβάλλον ἑκάστῃ ἐπαρχίᾳ συνεισφέροντες.

Ἐξορισθέντος δὲ κατὰ Μάϊον μῆνα τοῦ μεγάλου λογοθέτου Στεφάνου δι' ὁρμὴν ἄλογον τοῦ αὐτῷ θείου αὐθέντου Οὐγγροβλαχίας, ἐπανέλαβε τὴν μεγάλην λογοθετίαν ὁ Μάνος Ἀλέξανδρος. Μετὰ μικρὸν δὲ αἰτήσας διὰ γραμμάτων ἔλεος παρὰ τῆς ἐκκλησίας ἐτήσια ἔξοδα ὁ κὺρ Προκόπιος, θλίψεις

ἀπέλαβε· καὶ πολλὰ ἂν ἔπαθεν ἐν τῷ πύργῳ τῆς Λαύρας καθειρχθεὶς παρὰ τῶν σταλθέντων, τοῦ τε μεγάλου σακελλαρίου καὶ ραβδούχου τῆς αὐλῆς, ἵν' ἀποδώσῃ δώδεκα ἔτι τάλαντα, εἰ μὴ ὁ εὐσεβὴς ζῆλος τῶν ὁσίων τῆς Λαύρας διεκώλυσε τὴν ἄνομον καὶ παράλογον βίαν τῶν ἀδίκων ἀπαιτητῶν.

Ἀλλὰ τὸν μὲν παναγιώτατον κύριον Προκόπιον καταπαλαίσας οὐκ ἔτι ἐφοβεῖτο ὁ διάδοχος. Ἠνώχλει δὲ αὐτὸν καὶ συνέστρεφε, καὶ τῆς ποθουμένης εὐημερίας ἀπολαύειν οὐκ ἀνεῖκε τὰ ἐπὶ τῇ προχειρίσει αὐτοῦ καὶ τοῖς διαπληκτισμοῖς γενόμενα πάμπολλα δαπανήματα, ἥ τε τῶν Ἁγιοριτῶν γενναία ἔνστασις. Παντοίως γὰρ διενεργήσας καὶ τεχνιτευσάμενος, ὥστε ὑπαγαγεῖν καὶ κατὰ τὴν αὐτοῦ γνώμην ἀναδασθῆναι τὰ παρ' ἐκείνων ὀφειλόμενα, καὶ ὅλως ὑποτάξαι, ὥστε ἄγειν καὶ φέρειν τὰ αὐτῶν, τέως ἀπειθούντων, ἀναφορὰν κατ' αὐτῶν πρὸς τοὺς κρατοῦντας δέδωκεν, ἐγκαλῶν καὶ ὀργὴν κατ' αὐτῶν ἐρεθίζων. Ἀλλ' οὐδὲν ἤνυσε, μᾶλλον δὲ καταπλήξας αὐτοὺς ἀποπηδῆσαι ἐξ αὐτοῦ ἠνάγκασεν· ὥστε καὶ διὰ βασιλικῆς προσταγῆς περὶ χρηματικῶν τοῦ Ὄρους μηκέτι ἐπιδικάζειν τῆς ἀπολύτου κατ' αὐτῶν ἐξουσίας παραιτησάμενος. Ἑπομένως δὲ ἐπιδοὺς ἱκέσιον καὶ περὶ ἀπολύτου καθόδου τῶν ἀρχιερέων παρωράθη, ἀσύμφωνα τοῖς ἐν τῇ γενικῇ ἀναφορᾷ περὶ ἀνανεώσεως τῶν ἱλαρῶν αἰτησάμενος. Ἐπέκειτο δὲ αὖθις τῷ προκατόχῳ αὐτοῦ Προκοπίῳ τὰ δώδεκα τάλαντα ἀπαιτῶν· καὶ τὴν πνευματικὴν τέως στιλβώσας ρομφαίαν ἔγραψε καθαίρεσιν, διαμηνύσας, εἰ μὴ σπεύσας ἐκ παντὸς τρόπου ἀποδώσει τῷ διορισθέντι ἐξάρχῳ τὰ ρηθέντα τάλαντα, καθαίρεσιν ὑποίσεται, καὶ ἀποτόμως τῆς ἀξίας καὶ στάσεως ἐκπεσεῖται. Ἀπεστάλη οὖν ταῦτα τὰ γράμματα κατὰ μῆνα σεπτέμβριον εἰς τὸ ἅγιον Ὄρος.

Κατ' αὐτὸν δὲ τὸν μῆνα φονευθέντος τοῦ τῆς Οὐγγροβλαχίας ἡγεμόνος Νικολάου Μαυρογένη, καὶ τῆς περιουσίας αὐτοῦ δημευθείσης, πάλιν ἐνοχλήσεις ἔλαβεν ὁ παναγιώτατος,

δι' αὐτοῦ ἀνερευνωμένων τῶν λανθανόντων χρημάτων τοῦ ἀποκτανθέντος, καὶ τῶν δανείων ὅσα αὐτοῦ τε καὶ τῶν συγγενῶν αὐτοῦ ἐν τοῖς ἐκκλησιαστικοῖς ὑπῆρχον παρὰ τοῦ πατριάρχου ἀπαιτουμένων. Ἔθος τοῦτο δὴ τὸ δεινὸν ἀρξάμενον ἐπὶ τοῦ ἀοιδίμου Σαμουὴλ, καὶ κατὰ μικρὸν ἐπισχύσαν, τὰ λανθάνειν νομιζόμενα τῶν χρημάτων καὶ κτημάτων τῶν δημευομένων χριστιανῶν, διὰ τοῦ πατριάρχου προσαπαιτεῖσθαι, ἐπιτιμῶντος τοὺς κρύπτειν τι ὑπονοουμένους, εἰ μὴ πάντα φέροντες ἀποδώσουσι τοῖς ἀπαιτοῦσι, διενεργεῖται ἤδη ἀπαραιτήτως καὶ χαλεπῶς, πάντοθεν καταδυναστευομένων ἀνιλεῶς τῶν συλουμένων· φέρει δὲ τοῖς πάσχουσι δυσανάσχετον ἄλγημα, οἰκιῶν ἐκπίπτοντας, καὶ στερουμένους τροφῆς, καὶ γυμνουμένους ἱματίων, καὶ πάντα ἐκ πάντων ἄρδην ἀφαιρουμένους, ὑπὸ τοῦ ἰδίου πατρὸς καὶ ποιμένος, ἐν λύθροις καὶ δάκρυσιν ὄντας πνίγεσθαι δι' ὑπόνοιαν, ἀπαιτουμένους ἔτι ἤτοι ὅσα ἀπὸ δεινῆς οἱονεὶ τῆς πυρκαϊᾶς περισωθέντα διέλαθεν, ἢ ὅσα μηδ' ἔχουσι. Καὶ δημίων χείρων δήπου αὕτη ἡ βάσανος· τῶν μὲν γὰρ μέχρι τοῦ σώματος, τοῦ δὲ καὶ κατ' αὐτῶν τῶν ἁπαλῶν πνευμάτων ἐπισείεται τἀπιτίμια. Ἐπὶ τοσοῦτον φεῦ, δ' ἤλασεν ἡ βία, ὅρον μὴ ἔχουσα, ὥστε οἰμωγῶν, ὀλοφυρμῶν, καὶ δακρύων, ἀλλὰ δὴ καὶ αἱμάτων αὐτῶν, καὶ τῆς ἀπανθρώπου θηριωδίας, ἔθνη καὶ φυλάς, οἰκίας καὶ πόλεις, μέλεθρα καὶ ἀργεῖα, ἀλλὰ καὶ ὀπὰς καὶ ἄντρα γῆς ἐνταῦθα ἐπλήρωσεν.

Ἐν δὲ τῷ ἐφεξῆς μηνὶ ἐκ τοῦ Αἰγαίου πελάγους ἐπανελθὼν ὁ βασιλικὸς στόλος, κατῆρε συνεπαγόμενος ἐκεῖθεν ληστείας ἄνδρας ἐπέκεινα τῶν ἑξήκοντα, οὓς μὲν ἐκ φορτηγῶν πλοίων, οὓς δὲ καὶ ἐκ τῶν νήσων παρανομώτατα ἁρπασθέντας, πάντας δῆθεν ἑαλωκότας ὡς πολεμίους, καὶ ἐπὶ τούτοις θριαμβεῦσαι ἠτήσαντο, τοῦ ναυάρχου τῶν Καρχηδονίων μάλιστα ἀλαζονικώτερον παραφρονήσαντος. Καταπολεμηθέντας γὰρ τριάκοντα ὅλα πλοῖα ὑπὸ ἑνὸς ἑλληνικοῦ, μάλιστα σμικροτάτου,

αἰσχρὸν μὲν διομολογεῖν, ἀλλ' εὔγνωμον θύειν τούτους σωτήρια. Ἐπιτεχνᾶσθαι δὲ τὴν ἐκεῖθεν φυγὴν καὶ σωτηρίαν θρίαμβον, ἀφροσύνης ἔργον οἰομένους τὴν αἰσχύνην συγκρύπτειν, ἐπιθύειν δ' ἐπ' αὐτῷ ἄνδρας ἀθώους, ἀπονοίας τῆς ἐσχάτης ἀδίκημα. Ἧκον ἀλλ' οὖν ἐπαγόμενοι τινὰς ἁλιευτικὰς λέμβους καὶ φορτηγὰ πλοῖα δύο, καὶ γραμματοκομιστήν τινα καὶ ἕτερον ὑπὲρ ἄλλης χρείας διάκτορα πρὸς τὸν αὐτοῖς πολέμιον Λάμπρον, ὑφ' οὗ νικηθέντες, ὅτι μὴ τέλεον διεφθάρησαν, θριαμβεῦσαι ἀναιδῶς ἐξητήσαντο, καὶ τοὺς γενναίους τῷ ὄντι καὶ ἀθώους ἄνδρας ἀπήγαγον· καὶ τούτων δὴ τοὺς μὲν τῇ εἰκοστῇ ἑβδόμῃ Ὀκτωβρίου ἀπηγχόνισαν, κρεμάσαντες ἀπὸ κεραιῶν μετὰ Ρωσσικῆς σημαίας ἐν ταῖς ναυσὶ τῶν Καρχηδονίων, τοὺς δὲ τῇ εἰκοστῇ ὀγδόῃ κατέσφαξαν ὑπὸ δημοσίᾳ περιαγωγῇ ἐν ταῖς πύλαις καὶ ρύμαις ταύτης τῆς πόλεως, ὅπου οἰκοῦσι χριστιανοί, τάχα ἡμῖν ἐπεκδικούμενοι. Περιῆγον δὲ καὶ ἱστάμενοι ἐφ' ἑκάστης πύλης ἢ ρύμης, τὸν πρώτως ἀγόμενον κατέσφαττον, ἵνα τοὺς λοιποὺς θεασαμένους τὰς σφαγὰς φοβίσωσι, τῆς εὐσεβείας παρασαλεῦσαι μηχανώμενοι οἱ παράνομοι, ἐφ' ἑκάστου προσλαλοῦντες, ᾗ ἔθος αὐτοῖς, καὶ πρὸς ἀσέβειαν παρακαλοῦντες, ζωήν, πλούτη, τιμάς, καὶ πάντα τὰ αὐτοῖς ἀγαθὰ νομιζόμενα, τούτοις ὑπισχνούμενοι. Ἀλλὰ δόξα Χριστῷ τῷ θεῷ, τῷ βασιλεῖ τῶν αἰώνων καὶ ποιητῇ τῷ ἐν παντὶ καιρῷ καὶ πάσῃ γενεᾷ θριαμβεύοντι! οὐδένα γὰρ ἐσάλευσαν, ἀλλὰ πάντες φαιδροὶ μετὰ κρείττονος ἐλπίδος, ὅτι ὑπὲρ Χριστοῦ καὶ τῆς ἀληθοῦς εἰς αὐτὸν πίστεως θνήσκουσι, γενναίως διεκαρτέρησαν, καὶ μαρτυρικῶς ἐδοξάσθησαν οἱ μακάριοι. Κατήσχυναν οὖν δαίμονας, κατήσχυναν τοὺς ἐχθροὺς τοῦ σταυροῦ, ὕψωσαν κέρας χριστιανῶν, ἐφαίδρυναν πρόσωπα, καὶ καρδίας διεθέρμανον τῶν πιστῶν πρὸς τοὺς ἀγῶνας τῆς πίστεως τῷ ἐκχεομένῳ αὐτῶν ζέοντι αἵματι, ἐν ἡμῖν πρὸς αἰσχύνην δῆθεν, καὶ πτοίαν σφαττόμενοι, ἡμᾶς τῇ δαψιλεῖ τῆς πίστεως χάριτι κατελάμ-

πρυναν· νέοι γάρ, γέροντες, παιδία, καὶ ἁπαλὰ γύναια εὐθαρσῶς περιϊστάμενοι, καὶ τῶν θυρίδων προσβλέποντες, καὶ ταῖς εὐχαῖς ἐπὶ τὸ μακάριον αὐτῶν τέλος συναγωνιζόμενοι, θανάτου δι' αὐτῶν ὀλιγωρεῖν ἐπερρώσθησαν. Ἔτι γὰρ ἔναυλον ἔχουσι τοῦ γενναίου ἐκείνου ἀλείπτου τὴν φωνήν: ὕπνος ἡμῖν ἀδελφοὶ ὁ θάνατος, μηδεὶς δειλιάτω· μηδεὶς φοβείσθω· θνήσκομεν ἵνα ζήσωμεν· ὑπνώσωμεν ἵνα ἐγερθῶμεν· ὑπὲρ Χριστοῦ θνήσκομεν· Χριστὸς ἡμῖν ἡ ζωή, καὶ ἡ ἀνάστασις· χαρά, χαρά, χαρά, ἡμῖν! Οὗτος γὰρ ὁ μακάριος τελευταῖος ἐπαγόμενος πλησθεὶς πνεύματος οὑτωσὶ ἐπεφώνει, ὅλως ὢν περιχαρής, ὅλως φαιδρός, ὅλως ἀδεὴς καὶ ἄτρεστος, ἐπιστηρίζων τοὺς πάντας, καὶ ἐπιθαρρύνων πρὸς τὸ μαρτύριον, ὃς καὶ τελευταῖος ἐν μέσῃ τῇ ἀγορᾷ τὸν καλὸν δρόμον ἐπλήρωσε διὰ ξίφους, μετὰ τοὺς ἄλλους σφαγείς, πλήρη παραλαβὼν μαρτύρων χορόν, καὶ εἰς Χριστὸν ἀναδραμών. Οὕτως οὖν τελειωθέντων τῶν μακαρίων, διὰ τριῶν ἡμερῶν κειμένων ἀψαύστων τῶν ἱερῶν λειψάνων, εἶτα περισταλέντων ὑπὸ τῶν εὐσεβῶν, ἡμῖν ἀντὶ αἰσχύνης δόξα, τοῖς δὲ ἀσεβέσιν αἰσχύνη καὶ ὄνειδος τῶν ἐθνῶν καταβοώντων προσεγένετο. Καὶ θεήλατοι ἐνέσκηψαν σφίσι ποιναί.

Συνέσχε δὲ ἐν τοῖς αὐτοῦ ἄρκυσι καταγαγὼν τὸν Χαλκηδόνος Παρθένιον ὁ πατριάρχης, ἀπατήσας ὡς διαλλαγησόμενος, καὶ εἰς Κύπρον ἐξόριστον ἀπέωσε, παντελεῖ καθαιρέσει ὑποβαλών, τῇ τρίτῃ Νοεμβρίου τοῦ τρέχοντος, καὶ ἀντὶ αὐτοῦ προεβίβασεν εἰς Χαλκηδόνα τὸν Βιδύνης Ἱερεμίαν.

Ἀρχομένου δὲ τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ἐννενηκοστοῦ πρώτου σωτηρίου ἔτους, εἰς τέλος διέλυσε τὴν κατ' αὐτοῦ ἐπήρειαν ὁ παναγιώτατος κύριος Προκόπιος, προσπεσών, καὶ πάντα ὅσα εἶχεν ἐν σκεύεσι καὶ ἱεροῖς ἀμφιεσμοῖς ἐκτιμηθῆναι τοῖς φίλοις ἐπιτρέψας, καὶ δι' αὐτῶν ὀκτὼ τάλαντα τοῖς ἀπαιτοῦσιν ἀποδούς· οὕτως οὖν πολυτρόπως καταπαλαίσας τὸν προ-

κάτοχον ὁ διάδοχος, κατέπαυσε παρεάσας, καὶ τραπεὶς πρὸς ἄλλα ἐταλαιπώρει. Τοῦ γὰρ πολέμου ἀτασθάλως ἔτι φερομένου, προσταγῆς ὑπὸ τῶν κρατούντων περὶ ἀνδρολογίας καὶ αὖθις ναυτῶν, εἴτουν εἰσφορᾶς ὁπλομάχων τῷ πατριάρχῃ ἐνεχθείσης, πάλιν ἀπαιτήσεις χρημάτων παρὰ τῶν ἐνδημούντων τῇ μεγάλῃ ταύτῃ πόλει ἀρχιερέων ὑπὲρ τῶν παραλίων ἐπαρχιῶν ἐπεβαρύνοντο. Ἐν τούτοις οὖν ἐταλαιπώρουν οἱ ἅγιοι ἀρχιερεῖς, καὶ οἱ ἐπ' αὐτοῖς παράλιοι εὐσεβεῖς ἀπαιτούμενοι χρήματα περιελαύνοντο ὑπὸ δεινῆς τῆς ἀνάγκης, ἀποδιδόντες μὲν ὅσα εἶχον, δανειζόμενοι δὲ ὅθεν ἠδύναντο.

Τοῦ δὲ ἔαρος ἐπανθοῦντος προέλαμψεν ἡ τῆς ποθουμένης εἰρήνης αὐγὴ προανατέλλουσα. Τὰ δὲ τῆς ἐκκλησίας συνέστρεφε καὶ συνετάραττεν ἥτε ἐπάνοδος τοῦ πρὶν ἐξωσθέντος Νικομηδείας Μελετίου, καὶ ἡ τοῦ πατριάρχου παλιμβουλία, καὶ ἄστατος γνώμη, καὶ ἀκανόνιστος ἐν πᾶσι περιφορά. Ὁ μὲν γὰρ ἐπανελθών, ἀδίκως ἀπελαθῆναι τοῦ θρόνου ἀπισχυρίζετο, καὶ τῆς τοιαύτης ἀδίκου ἐξορίας ἔγγραφον παρὰ τῶν ἐνδημούντων ἀρχιερέων τὴν μαρτυρίαν ἐλάμβανε, καὶ τοὺς κατ' αὐτοῦ μανέντας ὑπὸ χεῖρα εἶχε λαβὼν αὐτῶν τὰς ὑπογραφάς, ἐκεῖνον μὲν ἀθωούντων, ἑαυτῶν δὲ καταμαρτυρούντων ἀνοσιώτατα. Ὁ δὲ ἐκαραδόκει, καὶ τὸν πάντα ἑαυτοῦ ἐξυφαίνειν ἱστὸν ἐπὶ τὸν θάνατον τοῦ τότε Δέρκων Ἀνανίου ἀπέβλεπε, πολλὴν ἐντεῦθεν καρπωσάμενος, ὡς ἐδόκει, τὴν ὠφέλειαν. Κατευτυχήσας οὖν, ὡς τοῦ ἀοιδίμου ἐκείνου γέροντος τῇ εἰκοστῇ ἕκτῃ Μαρτίου ἐντεῦθεν εἰς τὰς μακαρίων μονὰς ἀπελθόντος, τὸν μὲν Νικομηδείας Γεράσιμον ὑπαγαγὼν εἰς Δέρκων κατέστησε, ἀπέδωκε δὲ τὴν Νικομήδειαν τῷ Μελετίῳ, δόξας διευθετῆσαι τὰ σκολιά, καὶ τὰ ἀντιπίπτοντα περιελεῖν.

Ἀλλ' οὔπω ταῦτα διαθέμενος, εἰσπηδήσας δὲ ὡς βαρὺς ἀπ' Ἀντιόχειαν ὁ οἰκουμενικός, πρότερον τὸν μακαριώτατον πάπαν καὶ πατριάρχην Ἀλεξανδρείας διαταράξας καὶ μὴ κα-

τισχύσας κατ' αὐτοῦ, τὸν μακαριώτατον Ἀντιοχείας Δανιὴλ ἀφήρπασε, καὶ εἰς Κωνσταντινούπολιν διὰ φερμανίου καὶ ἐξάρχου ἀπαγαγεῖν ἐσπούδαζεν. Ἀλλ' ἐν τοιούτοις κακοῖς εὐθηνούμενος οὐκ εἶχεν οὐδ' αὐτόν, ὑπὲρ οὗ τέως τοσαῦτα ἐπεποιήκει ἐπίηρα αὐτῷ φέρων, ἐπαρεσκόμενον τὸν Νικομηδείας Μελέτιον, τοὐναντίον δὲ ἀντιπράττοντα, καὶ καταστέλλειν τὰ πρῶτα, ὕστερον δὲ καὶ καθελεῖν διανοούμενον· ἤσχαλλεν οὖν ἰσχυρὸν τὸν ἀντίπαλον λογιζόμενος, καὶ ἑαυτὸν συνιστᾷν ἐπειρᾶτο τὰς τῶν ἁπλουστέρων γνώμας ὑποδυόμενος, Πρωτέως μορφὰς παραλάσσων, καὶ τρόπον μιμούμενος χαμαιλέοντος. Ὁ δὲ μεγαλόφρων καὶ πολύπειρος τῶν βαρυτίμων γερόντων Μελέτιος κατωλιγώρει τοῦ πρωτεύοντος τῆς γνώμης, καὶ τῆς ἐκκλησίας φροντίζων ἤρξατο διατιθέναι τούτου τὴν ἔξωσιν. Ἀλλὰ νοσήσας μικρόν, τοῦ πολυπήμονος βίου ἐξῆλθε, τῇ ιδ'. νοεμβρίου ἐκδημήσας πρὸς κύριον.

Ἔδοξε δὲ πάλιν εὐτυχὴς ἐκ θανάτου ὁ πατριάρχης· μέγιστα γὰρ ἦν αὐτῷ τὰ συνοίσοντα, ὡς ᾤετο, θανόντος τοῦ Μελετίου· τόν τε γὰρ ἐγγὺς κίνδυνον τῆς ἐξώσεως ἐξέφυγε. Προσεκτήσατο δ' ἑαυτῷ ἵλεως καὶ εὐμενεῖς καὶ τοὺς τότε ἐκ τῶν ἡμετέρων μέγα δυναμένους, αὐτοῖς αἰτησαμένοις τὸν Λιβύης εἰς Νικομήδειαν προαγαγών, ὃν διὰ μακροῦ προσλαβεῖν ἐπόθει, καὶ ὑπὲρ οὗ ἐπ' Ἀντιόχειαν βιαίως ἐφώρμησε, τὰ μείζονα συλήτων ἵν' αὐτῷ δωρήσηται, καὶ συνήγορον ἐλπίσας πρὸς αὐτοὺς ἔχειν καὶ τῶν σπουδαζομένων αὐτῷ συνεργόν.

Ἀλλ' ἐν τούτοις κατῆρεν ὁ τῆς ἀδικίας ἔξαρχος, ἄγων ὡς ἐπὶ πολλοῖς δῆθεν τοῖς ἐγκλήμασι τὸν μακαριώτατον Ἀντιοχείας Δανιήλ, καὶ εὐθὺς εἱρκτὴ ἦν αὐτῷ τὸ λεγόμενόν ποτε Συνοδικὸν ἐν τῷ πατριαρχείῳ· ἔνθα περιστήσας καὶ διατειχίσας τῆς μετὰ τῶν ἄλλων ὁμιλίας, ἠνάγκασε παντοίως ἀποστῆναι τοῦ θρόνου· ὁ δὲ πρὸς τὴν ἡλικίαν ἑαυτοῦ, καὶ τὴν ἄλλην ἐκ τῆς ἐνστάσεως πρὸς τοιοῦτον ἀντίπαλον ζημίαν ἀπο-

βλέψας, παραίτησιν τοῦ ἀποστολικοῦ θρόνου Ἀντιοχείας ἐποιήσατο· τῇ γοῦν δεκάτῃ πέμπτῃ δεκεμβρίου, γνώμῃ αὐτοθελήτῳ τοῦ μακαριωτάτου Ἀντιοχείας κυρίου Δανιήλ, συναινούντων τῶν ἁγίων πατριαρχῶν, καὶ ψήφῳ τῶν μητροπολιτῶν, ἀποκρισαρίων τῶν ἐκεῖ ἀρχιερέων, καὶ κληρικῶν καὶ τοῦ καθολικοῦ ἐπιτρόπου, προεβιβάσθη εἰς τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον Ἀντιοχείας ὁ ἐπίσκοπος Ἑλενουπόλεως Ἄνθιμος, μετονομασθεὶς Ἀνθέμιος.

Ἑξῆς δὲ τῇ δεκάτῃ ἑβδόμῃ ἀπῆλθεν εἰς τὰς τῶν μακαρίων μονὰς Καλλίνικος ὁ Τουρνόβου· μεταθέμενος οὖν Σερρῶν Ματθαῖον εἰς Τουρνόβου καὶ τὸν Μεσεμβρίας Κωνστάντιον εἰς Σερρῶν, καὶ χειροτονήσας τὸν πρώην μέγαν πρωτοσύγκελον Θεόκλητον εἰς Μεσεμβρίαν, αὐτὸν εὗρε χρυσορροῦντα τὸν Πακτωλὸν καὶ τοῦ Κροίσου ἐξήντλησε τάλαντα ὁ πατριάρχης.

Τοῦ δὲ ἐννενηκοστοῦ δευτέρου ἔτους ἀρχομένου, συντελεσθείσης εἰρήνης καὶ καταλλαγῆς τῶν μαχομένων ἐθνῶν, συνήδετο πᾶς τις ἐπαγαλλόμενος ἐπ' αὐτῇ καὶ χαίρων. Ὁ δὲ παναγιώτατος μαθὼν τὸν ἐν Κύπρῳ θάνατον τοῦ ἐξορισθέντος Παρθενίου Χαλκηδόνος, ὀγκωδέστερος ἑαυτοῦ ἐγένετο, μηδένα ἔχειν ἑξῆς ἢ λόγῳ ἀντειπεῖν ἢ ἀντιπράξασθαι ἔργῳ οἰόμενος. Τῷ ὄντι γὰρ τοὺς γενναίους καταβαλόντα καὶ ἀποστήσαντα ἐδεδοίκεσαν αὐτὸν οἱ λοιποί, ὥστε ἕκαστος ἐσκόπει ὅτῳ τρόπῳ χρησάμενος φύγῃ τὸν ἐπικείμενον οἷ κίνδυνον, ἀλλήλους τε ὑπώπτευον, καὶ αὐτῷ πάντες προσεῖχον δουλεύοντες· κατίσχυσε δὲ καὶ τοῦ δήμου, προσλαβόμενος ἑκάστου συστήματος τοὺς ἀναιδεστέρους, καὶ τὸν πάντα ἦγε καὶ ἔφερεν ὄχλον ὡς ἐβούλετο. Ἐπεὶ δὲ θανόντος τοῦ μητροπολίτου Μολδοβίας, καὶ τῶν ἐκεῖ ἀρχόντων καὶ κληρικῶν αἰτησαμένων, προβέβληται χειροτονηθεὶς ὑπὸ τοῦ Αἰκατερινοσλαβίας μητροπολίτης Μολδοβίας ὁ Γαβριήλ, καὶ γενομένης εἰρήνης παρέμεινεν. Ὁ δὲ ὑπὸ τοῦ ὀθωμανικοῦ κράτους σταλεὶς ἡγεμὼν Ἀλέξανδρος

Μουρούζης, μέλλων εἰσιέναι, παρεκάλει αὐτὸν ἐκστῆναι τοῦ θρόνου, καὶ μὴ συγχέειν τὰ καλῶς καταστάντα. Ὁ δὲ μένειν ταχθείς, οὐδὲν εἰδέναι παρὰ τὰ τεταγμένα ποιεῖν ἔλεγεν, οὐδὲ ὑποχωρεῖν δύνασθαι δίχα αὐτοκρατορικοῦ θεσπίσματος, καὶ ἐντολῆς συνοδικῆς. Ὁ οὖν ἡγεμὼν ἰσχυρὰν ταύτην εὑρὼν τὴν ἔνστασιν, συνορῶν δὲ καὶ τὰς ἑξῆς δυσχρηστίας, μηδ᾽ ἀνεχόμενος τὴν κατατομὴν τῆς διοικήσεως, καὶ τὴν ἔκτοπον κατάστασιν τοῦ ἐπ᾽ αὐτῷ πολιτεύματος, ἔγνω ἐπὶ τὸν οἰκουμενικὸν πατριάρχην ἀναθέσθαι τὰς δυσχερείας καὶ ἐπ᾽ αὐτὸν ἐπιτρέψαι τὴν ἀποκατάστασιν τῆς ἐπαρχίας. Ὁ δὲ παναγιώτατος παραχρῆμα ἔκδοσιν πέμψας εἰς τὸν ἐπίσκοπον Χουσίου τοῦτον ἀπεδείκνυε μητροπολίτην, τὸν δὲ Γαβριὴλ ἀποτόμως κατέκρινε, καὶ παντελεῖ καθαιρέσει ὑπέβαλε, καὶ αἰτήσας παρὰ τοῦ ὀθωμανικοῦ κράτους ὁρισμὸν ἀπέστειλεν ἀπάγειν εἰς Κωνσταντινούπολιν. Ἥρπασαν οὖν ὡς κατάκριτον καὶ κατήγαγον οἱονεὶ δέσμιον τὸν Γαβριὴλ οἱ τοῦ ἡγεμόνος, καὶ τῷ πατριάρχῃ παρέδωκαν. Ὁ δὲ τοῦτον ὃν ἐν Μολδοβίᾳ καθαιρέσει ὑπέβαλεν, ὡς ἀρχιερέα ἐν Κωνσταντινουπόλει ἐδέξατο, ἤτοι ἀνάγκῃ τότε δουλεύων, ἢ ὕστερον μαθὼν τὰ τῆς ἐκκλησίας ἔθιμα· οὐ γὰρ αὐτῷ ἐπιδικάζειν ἀπολύτως ἐφεῖται, οὐδὲ μετακινεῖν τὰ τῶν ἐκκλησιῶν ὡς βούλεται. Διὸ καὶ ὁ διωκόμενος ἀρχιερεὺς ἐτύμως ἀπεκρίνατο, διώκει μέν, ἀλλ᾽ οὐ δύναται λαβεῖν παρ᾽ ἐμοῦ ὅπερ μοι οὐκ ἔδωκεν ὁ πατριάρχης· ἐγὼ γὰρ ἔφη, τὴν ἀρχιερωσύνην διὰ τῆς ἐν Πετρουπόλει ἱεραρχίας παρέλαβον, καὶ ταύτην κεφαλὴν γνωρίζω, καὶ ταύτῃ εἰ δέοι εὐθύνομαι, τῇ δὲ καθόλου ἐκκλησίᾳ συνενούμενος ἐν ἁγίῳ πνεύματι τὰ αὐτὰ ὑμῖν φρονῶ καὶ πρεσβεύω. Ἐν τούτοις ἄρα ἀπεώσατο ἀπ᾽ αὐτοῦ τοῦ πατριάρχου τὴν ἐξουσίαν, ἀδελφοὺς καὶ συλλειτουργοὺς σὺν αὐτῷ τοὺς περὶ αὐτὸν ἐπιγινώσκων, καὶ τιμῶν ὡς εἰκός, καὶ τιμώμενος παρ᾽ αὐτῶν· παρεκελεύοντο δὲ τὸν πατριάρχην καὶ οἱ κρατοῦντες περιέπειν αὐτόν, ὡς τότε δῆθεν μαθόντες

ὁποῖος ἦν· ὅ τε ἐπὶ τῶν ὑποθέσεων τῆς Ρωσσικῆς αὐλῆς παρενδημῶν παρεθάρρυνεν, ἐπειπὼν μηδέν τι πτοεῖσθαι καὶ περιμένειν τὰ κρείττονα. Ἐντεῦθεν ἠγωνία μὲν ὁ πατριάρχης σὺν τῷ ἡγεμόνι περὶ τῆς βιαίας ἀπαγωγῆς. Καὶ ὁ μὲν τὸν παθόντα, ὁ δὲ τοὺς ἐπ' αὐτῷ ἀτιμασθέντας δυσχεραίνοντας ἐξευμενίζειν ἐσπούδαζε, καὶ δέος οὐ μικρὸν τούτοις ὑπῆν, μή τις ἐνσκήψῃ κεραυνὸς τοῦ τολμήματος, ἐφ' ἕτερον τῶν κρατούντων ῥᾳδίως τὰ πραττόμενα ἀπωθούντων πλημμελήσαντα. Κατηρῶντο δὲ καὶ οἱ εὐλαβέστατοι τοῖς προπετῶς κατατολμῶσιν, ὡς τὴν ἐκκλησίαν εἰς πράγματα ἐμβάλλουσι, καὶ βίαν πρὸ λόγου αἱρουμένοις. Τὸ μὲν γὰρ μεταστῆσαι τοῦ θρόνου τυχὸν ἦν ἐπάναγκες· εἶχε δὲ λόγους ἱκανοὺς ὁ πατριάρχης, καὶ ἐπ' αὐτὸν ἦν τὰ δίκαια· βιαίως δ' ἐφορμήσας, ὑπ' αἰτίαν ἦν, καὶ ἐδεδοίκει μὴ χείρονα πάθῃ, ὧν ἔδρασεν. Ἔμεινε δὲ ὁ Γαβριὴλ ἐν τῷ πατριαρχείῳ, εἰς Πετρούπολιν ἀφορῶν, κἀκεῖθεν ἐκδεχόμενος κέλευσμα.

Ἐπεὶ δὲ καθ' ἑαυτῶν λυττήσαντες οἱ Γάλλοι, παραφρονοῦντες ἔπραττον μὲν σφίσιν αὐτοῖς ἀνοσιώτατα, ἐπεχείρουν δὲ καὶ τοῖς πέλας ἐπάγειν κακά, φωραθέντες μέντοι ἐδεδοίκεσαν τὸ κοινὸν ἔχθος τῶν ὁμόρων ἐθνῶν, καὶ τῶν πόρρω βασιλέων τῆς Εὐρώπης, ἔκδικον τούτων τὴν ὀργὴν εἰς ὅπλα ἐρεθίσαντες, ἐπειρῶντο παντοίως τοὺς Ὀθωμανοὺς παρατρέψαι, ὡς εἰώθασι, καὶ εἰς πόλεμον ἐμβαλεῖν κατὰ τῶν Γερμανῶν, καὶ λῦσαι τὴν ἔναγχος εἰρήνην μετὰ τῶν Ρώσσων, μυρία τούτοις ὑπισχνούμενοι ἐντεῦθεν τὰ ἀγαθά, λόγοις σπουδάζοντες πείθειν τοὺς δυνατούς, καὶ δώροις ἁδροῖς, ὅπῃ παρήκει, δεκάζοντες, λογοποιοῦντες τῷ ὄχλῳ καὶ ὑποβάλλοντες τὰ θυμήρη διὰ μυρίων στομάτων, τῶν μὲν ὠνητῶν, τῶν δὲ καὶ ἰδίων ὑποκρινομένων καὶ φωνὴν καὶ γνώμην καὶ αἵρεσιν βίου, καὶ σχῆμα ὀτμανικόν. Ἐκ τούτων ἄρα ἐξήχησε καὶ μέγα ἐπέσχε τις φήμη καὶ πτοία οὐ μικρὰ ἐπέπεσεν, ἢ γοῦν ἐμπεσεῖν ἔδοξεν, ὡς ὁ

συμμαχήσας τοῖς Ῥώσσοις Λάμπρος ἐν πλοίοις περιπλέων τὴν Πελοπόννησον διασείει ἅπαν τὸ ἑλληνικόν, ἔρυμα ἐπὶ Μαΐνης συνιστῶν, καὶ ναυτικὸν συνάγων, καὶ συμπάσης διανοούμενος κρατῆσαι τῆς χερσονήσου. Κατὰ τούτου οὖν ἐξώρμησεν ὁ μέγας στολάρχης, καὶ ἀνδρολογίαν ναυτῶν πάλιν ἐξητήσαντο τὸν πατριάρχην, ἢ ἄλλως εἰπεῖν συνεργὸν καὶ ὑποκριτὴν ἐν τῷ δράματι ἐκαλέσαντο. Ὁ δὲ ἐπὶ τὰ πρόσω ἔκθερμος προχωρεῖ, καὶ ἐπιστολὰς προτρεπτικὰς εἰς τὴν ὀφειλομένην τῷ κράτει ὑποταγὴν πρὸς τοὺς μητροπολίτας καὶ πάντα τὸν ἐκεῖ λαὸν γράψας, ἐξαρχίαν διατυποῖ καὶ τρόπον χρηματολογίας ἐκεῖθεν διατίθησι, καὶ τὸν μὲν Βιζύης Παρθένιον, ὡς μὴ βουληθέντα ἀπιέναι, τῆς μητροπόλεως ἀδίκως ἀπέωσε, τὸν δὲ Σεβαστείας προαγαγὼν εἰς Βιζύης ἀνῆκεν εἰς Πελοπόννησον. Ἔνθεν πλείονα συναγαγὼν αὐτῷ ἀπεκόμισεν, ἱκανώτατος δόξας καὶ πρόθυμος ὑπηρετεῖν τὰ κοινά.

Κατὰ δὲ τὸν ἰούλιον μῆνα, παραιτησαμένου τοῦ Λαρίσσης Μελετίου τὴν ἐπαρχίαν εἰς Διονύσιον τὸν ἀνεψιὸν αὐτοῦ, καὶ θανόντος τοῦ Οὐγγροβλαχίας, καὶ πεμφθείσης τῆς ἐκδόσεως ἐπὶ τὸν Ῥεμνίκου, πολλὰ ἔλαβεν ἀφ' ἑκατέρας τῆς μεταθέσεως χρήματα ὁ πατριάρχης. Ἀλλὰ καὶ τὸν Νικαίας μεταστήσας εἰς Ἀδριανούπολιν, καὶ τὸν Ἀδριανουπόλεως εἰς Νίκαιαν, ξένῳ τρόπῳ τὰ κέρδη ἐπλήθυνεν. Ἐπὶ τούτου οὖν ἤρξαντο καὶ οἱ παράλογοι οὗτοι ὑποβιβασμοί, καὶ τὸ ἐπὶ τρισὶ μεταπηδᾶν καὶ διαβαίνειν ἐπαρχίαις παρὰ τοὺς ἱεροὺς κανόνας, ἤδη πρόχειρον καὶ ἀνέγκλητον.

Ἐφωράθη ἄρα δημοσίως ἡ ἐπιβουλὴ καὶ ῥᾳδιουργία τῆς τεθρυλλημένης πρότερον φήμης. Καὶ γὰρ ἐπανῆκεν ὁ βασιλικὸς στόλος ἄγων πλοιάρια ἄττα, ὡς δῆθεν πολέμια ἐκ τῶν τοῦ Λάμπρου κατειλημμένα, καὶ ἐπ' αὐτοῖς θρίαμβος ἀναιδὴς ἐξηρτύετο, τεσσάρων καπιτανέων προσονομασθέντων ἐν ῥωσσικοῖς παρασήμοις, καὶ ἀπὸ κεραιῶν ἀναρτηθέντων ἐφ' ὕβρει τοῦ ῥωσ-

σικοῦ ὕψους. Ἦν δὲ τὰ μὲν ὑπὸ ρωσσικαῖς ταῖς σημαίαις φιλίως ἀπαντήσαντα, καὶ ἐχθρικῶς κρατηθέντα, τὰ δὲ ἀρχιληστοῦ τινος ἀμφιβίου παραλλὰξ ἤπειρον καὶ νήσους ληΐζοντος, καὶ τότε περιπλέοντος τὴν Πελοπόννησον καὶ εἰς Μαΐνην ἀποβάντος, ἔνθεν καὶ τὰ μικρὰ ταῦτα ἀκάτια, ὡς μέγα τι ἕρμαιον κατέλαβον, αὐτοῦ διὰ μέσου τῆς Πελοποννήσου διαβάντος εἰς Ἤπειρον. Ὁ γοῦν παράλογος οὗτος θρίαμβος καὶ ἡ ἀνοσιωτάτη αὕτη τῶν ἐπιβούλων τῆς εἰρήνης ἐπιβουλή, μικροῦ δεῖν τὰ καθεστῶτα ἀνέτρεψε, καὶ εἰς μέγαν συνώθησε τὸν πάντα κίνδυνον. Ἀλλ' οἱ συνετοὶ τοῦ βασιλέως σύμβουλοι κατανοήσαντες τὴν ἀτοπίαν τοῦ δράματος, λόγοις μειλιχίοις καὶ τρόποις μεταμελείας παρῃτοῦντο τὴν ὀργὴν τῶν Ρώσσων, συγγνώμην ἐπὶ τοῖς πεπραγμένοις αἰτήσαντες, καὶ διὰ γραμμάτων ἱκετικῶς τὸ ἐκείνων κράτος ἐξευμενήσαντες. Ἐπέμφθησαν δὲ καὶ τοῦ πρώην Μολδοβίας Γαβριὴλ δῶρα ἀπὸ Πετρουπόλεως, λιθοκόσμητος σταυρὸς καὶ λευκὸν καλυμμαύχιον, καὶ κατὰ τὴν προσταγὴν ἣν ἔλαβεν ὁ ἐπὶ τῶν ὑποθέσεων τῆς ρωσσικῆς αὐτοκρατορίας, δι' ἀδείας τῶν κρατούντων ἀπέστειλεν ἐντίμως τοῦτον πρὸς ἐκεῖνον ὁ πατριάρχης.

Ὁ δὲ πατριάρχης τοῖς δυνατωτέροις εἰωθὼς δουλεύειν, μεταπηδήσας ἐκ τῶν περὶ τὸν ἡγεμόνα τότε Οὐγγροβλαχίας, οὐ μόνον ἐκείνοις οὐ προσεῖχεν, ἀλλὰ καὶ ἀντιπράττειν ὡς εἶχεν οὐκ ἔπαυε, χαριζόμενος τοῖς δοκοῦσι δυνατωτέροις περὶ τὸν ἡγεμόνα Μολδοβίας, ἔνθεν τοι καὶ ἐλύπει ἐν πολλοῖς, τῶν ἡγεμόνων τηνικαῦτα ἀντιφερομένων· δυσχεραίνοντας οὖν ἐπὶ τούτοις καὶ ἐπ' ἄλλοις, οἷς ἔπραττε, τοὺς συγγενεῖς καὶ ἄρχοντας τοῦ ἡγεμόνος Οὐγγροβλαχίας προσλαβόμενοι οἱ ἀρχιερεῖς, οἷς οὐ προσεῖχεν ὁ πατριάρχης, μηδ' ἀνεχόμενος ἔτι τῶν εὐλαβεστέρων καὶ φιλαρέτων τὰς μομφάς, ἀμελεῖν τῆς ἐκκλησιαστικῆς σεμνοπρεπείας καὶ δικαιοπραγίας ἐγκαλούντων, εἰς ἔξωσιν τοῦ πατριάρχου συνεκινοῦντο. Ὁ δὲ ὑπονοήσας, προλαβὼν καὶ

δαπανήσας τοῖς κρατοῦσι συνιστᾷ ἑαυτῷ τὴν καθίδρυσιν, καὶ ἔγγραφον δίδωσι πρὸς τοὺς κρατοῦντας, ἐγκαλῶν τοὺς ἀρχιερεῖς ὡς διαταράσσοντας τὴν κοινὴν εὐπραγίαν, ἐξῶσαι τούτους, οὓς ὑφωρᾶτο, εἰς τὰς σφετέρας ἐπαρχίας διενεργῶν. Καὶ δὴ τοῦ πολέμου δεινῶς ἐκραγέντος ἀμφαδὸν συστάντες ἐμάχοντο οἱ εἰρηνικοί, ἕτερος ὑφ' ἑτέρῳ σκήπτρῳ τῶν ἡγεμόνων παραταχθέντες. Τῆς δὲ μάχης δι' ἡμερῶν διαπρηθούσης, ἑκάτεροι χρήματα ἐζημιώθησαν· καὶ ὁ μὲν πατριάρχης προσετάγη μένων πράττειν τὰ κοινὰ τῇ συναινέσει τῶν ἐνδημούντων ἀρχιερέων, οἱ δὲ ἀρχιερεῖς ἀπελθεῖν εἰς τὰς αὐτῶν ἐπαρχίας, πλὴν μέντοι ἐκείνων, ὧν ἤθελε μάλιστα ὁ πατριάρχης, τούτους ὑφορώμενος. Ἔνθεν τοι ἐπαύσαντο μαχόμενοι, ἔξωθεν συνελασθέντες εἰς εἰρήνην. Καὶ συνερχόμενοι γνώμῃ κοινῇ τὰ ἐπιβάλλοντα τῇ ἐκκλησίᾳ διοικεῖν καὶ εὐθύνειν οἱ ἐνδημοῦντες ἐπειρῶντο.

Ἐπεὶ δὲ οἱ Παρίστριοι Κοζάκοι, κόμμα ὂν τῶν ἀπεσχισμένων τῆς ὀρθοδόξου ἐκκλησίας ἀκέφαλον, καὶ τέως ἀνίερον, παρὰ τῆς μεγάλης ἐκκλησίας ἐζήτουν ἱερεῖς, ὑποπίπτοντες καὶ ὑποταγὴν ὑπισχνούμενοι, προσεκαλέσατο ἡ τοῦ Χριστοῦ ἐκκλησία ἐκ τῆς ἐν τῷ ὄρει τοῦ Ἄθωνος μονῆς τοῦ Χιλιανταρίου ἄνδρας ὁσίους, ὡς εἰδήμονας τῆς διαλέκτου αὐτῶν, καὶ τούτους ἐπ' ἐκείνους ἔγνω πέμψαι διδασκάλους καὶ κήρυκας τῶν ὀρθῶν δογμάτων. Ἔγραψεν οὖν ἔκθεσιν τῆς ὀρθῆς πίστεως ἐν κεφαλαίοις, παραίνεσίν τε ὧν δέον ἀπέχεσθαι καινοτομιῶν, παρακαλοῦσα ἐπὶ τὴν γνησίαν μητέρα ἐπανελθεῖν ἀπορρίψαντας πᾶσαν φρενοβλαβίαν ἐν ἐθίμοις καὶ δόγμασιν ὑπὸ ἀμαθῶν καὶ κακοφρόνων ἐπὶ τὰς ψυχὰς αὐτῶν εἰσρυεῖσαν. Καὶ προχειρισαμένη τῶν δύο ἐλθόντων τὸν ἕτερον ἀρχιμανδρίτην τοῦ οἰκουμενικοῦ θρόνου, καὶ ἐπιδοῦσα αὐτοῖς τὰ πατριαρχικὰ καὶ συνοδικὰ γράμματα, καὶ βασιλικὸν ὁρισμὸν ὑπὲρ ἀσφαλείας, ἀπέστειλεν αὐτούς, παραγγείλασα προσέχειν ἀκριβῶς ἐπιμελουμένους τὴν ἐπιστροφὴν τῶν ἐκεῖ, φυλαττομένους τῶν αἱρετικῶν τὴν ὕπου-

λον γνώμην, καὶ εἰς βάθος, ἀφ' ὧν ρίζα ψυχώλεθρος φύεται καὶ βλαστάνει πονηρία, ἐμβλέποντας ἐκτίλλειν τὰ ζιζάνια, καὶ διακαθαίρειν τὰς ψυχάς. Ταύτας οὖν τὰς ἐντολὰς παραλαβόντες ἀπῄεσαν παρὰ τὸν Ἴστρον πρὸς τοὺς ἀπεσχισμένους Κοζάκους, κατελθόντας ἀπὸ τοῦ Βορυσθένους κἀκεῖ συνοικήσαντας, οἱ τὴν ἐπιστροφὴν αὐτῶν καὶ ἕνωσιν μετὰ τῆς ὀρθοδόξου ἐκκλησίας μετελθεῖν ὁρισθέντες κατ' ἀρχὰς τοῦ ἐννενηκοστοῦ τρίτου σωτηρίου ἔτους.

Ὡς δὲ τὰ τῆς ἐνταῦθα σχολῆς εἰς πενίαν περιέστη, καὶ διδασκάλοις ἐπαρκεῖν οὐχ οἷά τε ἦν, ἐπιλαβόμενοι οἱ φιλομαθεῖς τῶν ἀρχιερέων τοῦ περὶ εὐμουσίας λόγων καὶ τῆς ἄλλης παιδείας καὶ μαθήσεως ζήλου τῶν ἐν τέλει ἐκλάμπρων καὶ περιβλέπτων καὶ εὐγενῶν τοῦ γένους, ἐνδείας μὲν τῆς παρούσης ἀπαλλάξαι, καταστῆσαι δ' ἐφ' ἁδροτέραις ταῖς χορηγίαις, καὶ μαθητῶν πενομένων ἐπιμελείαις, προείλοντο, τάξαντες τὰ μὲν ἐξ ἐράνου ἀρχοντικοῦ, τὰ δὲ ἐκ συνεισφορᾶς τῶν ὑπὸ τὸν οἰκουμενικὸν πατριάρχην ἀρχιερέων. Ἐν τούτοις οὖν τὰ μὲν πρῶτα ὁ παναγιώτατος ὑποκρινόμενος ἔδοξε πολὺν ἔχειν τὸν ζῆλον, γράφων καὶ προτρέπων τοὺς κύκλῳ ἀρχιερεῖς εἰς συνδρομὴν τοῦ κοινωφελοῦς τούτου ἐράνου· οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς ἐν Δακίᾳ ἡγεμόνας παρενδεικνύμενος τὸν ὀφειλόμενον τῇ προγονικῇ τῶν λόγων ἑστίᾳ προσαπῄτει ζῆλον· ὥστε πανταχόθεν συνθέων ἐφοίτα ὁ ἔρανος, καὶ συμμετέχειν τοῦ καλοῦ οὐκ ἀπεῖπον οὐδ' ἀγοραῖοι. Ἀλλὰ τῶν μὲν καλῶν κἀγαθῶν ὁ ζῆλος ἦν ἀληθής, καὶ φιλογενὴς ὁ τρόπος· τοῦ δὲ τοῦ ἔργου κατάρχειν δοκοῦντος κίβδηλος ἐφωράθη ἡ γνώμη, καὶ ὁ ζῆλος ψευδής· ὡς γὰρ τῶν ἐκτὸς συνδραμόντων συνέστη, τὰ ἔνδον κακῶς διετίθει, καὶ συγχέειν ἤρξατο· διὸ εὐθὺς φιλοσοφία ταύτης ἀπέπτη, καὶ μουσῶν χορὸς σεσίγηκε, καὶ πᾶσα αὐτῆς διαρτία παίζεται ὑβριζομένη, ἀφ' ἧς τοσοῦτοι ἐν τοσούτοις τὰ μέγιστα εἰς φιλοσοφίαν καὶ λόγων εὐφράδειαν ἀπώναντο. Ἀπὸ

γὰρ τοῦ χιλιοστοῦ πεντακοσιοστοῦ πεντηκοστοῦ πέμπτου σωτηρίου ἔτους ἀρξαμένη παρὰ τὸν οἰκουμενικὸν πατριάρχην δημοσίως ἀμφιέπειν φιλοσοφίαν καὶ ἐπιστήμας, καὶ πᾶσαν εὐμουσίαν λόγων, πλείστους ἤνεγκεν ἐν πάσῃ ἰδέᾳ λόγων ἀρίστους μαθητὰς καὶ διδασκάλους σοφοὺς καὶ ἐπιστήμονας, οἵους Γ'ωάννην καὶ Θεοδόσιον τοὺς Πελοποννησίους, Συρίγον καὶ Κορυδαλέα τοὺς περιωνύμους, Ἰωάννην τὸν Καρυοφύλλην, καὶ Α'λέξανδρον τὸν Μαυροκορδάτον τοὺς εὐκλεεστάτους, Σεβαστὸν τὸν Τραπεζούντιον καὶ Σπαντωνῆν τοὺς πολυμαθεστάτους, Γ'άκωβον τὸν Ἀργεῖον καὶ Δωρόθεον τὸν Λέσβιον καὶ Εὐγένιον τὸν μέγαν τοὺς φιλοσόφους, Ἀντώνιον, Χουρμούζιον, Ἀνανίαν τοὺς ἐν γραμματικῇ ἐπισήμους, δι' ὧν καὶ ἡ πολιτικὴ εὐγλωττία καὶ ἡ ἐκκλησιαστικὴ εὐφράδεια, καὶ ὡς εἰπεῖν ἡ ἑλληνικὴ εὐμουσία ἐν τοιούτῳ βαρυτάτῳ κατὰ πάντων Ἑλλήνων χειμῶνι ἀκμὴν οὐ διέλιπεν. Ἀλλ' ἐκ τοιούτων καὶ τοσούτων ἄρα διὰ μακροῦ συγκροτουμένη καὶ εἰς πάντας πολυειδῶς ἐφαπλοῦσα τὰς ὠφελείας καὶ τῇ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ γενναίως ὑπουργοῦσα, καὶ ὁτὲ μὲν πολλῆς, ὁτὲ δὲ ἐλάσσονος ἐπιμελείας καὶ χορηγίας τῶν δυνατῶν μεταλαγχάνουσα, μηδέποτε μέντοι ὑπ' οὐδενὸς καταπολεμηθεῖσα, ἤδη μαχόμενον ἐπὶ τέτταρσιν ἔτεσι τὸν πατριάρχην ἀπεκρούσατο, καὶ δυσμενῶς ἐπικείμενον διεκαρτέρησεν· φιλίως δὲ ὑποδεξαμένη ἐν σχήματι πατρὸς καὶ προστάτου, δεινὰ πέπονθε, καὶ εἰς ἔσχατον ἥκει τὸν ὄλεθρον, κακομηχάνως ἀνατρέψαντος.

Τοῦ δὲ Οὐγγροβλαχίας Φιλαρέτου ἐξωσθέντος τοῦ θρόνου, ἀπέστειλε προχείρως ἐπὶ τὸν Μποζέου Δοσίθεον τὴν ἔκδοσιν ὁ παναγιώτατος, λαβὼν ἁδρὸν τὸ φιλότιμον. Συνεκίνει δὲ πάντα καὶ διετάραττε πάντοθεν χρηματίζεσθαι ἐπειγόμενος, ὅτι πολλὰ ἐδαπάνησεν ὑπὲρ συστάσεως ἑαυτοῦ ἀγωνιζόμενος, καὶ τοῖς δυναμένοις ἀρέσκειν παντοίως ἐσπούδαζε. Περὶ δὲ τὰ τέλη τοῦ Δεκεμβρίου μηνὸς τῆς εἰσόδου τοῦ πρέσβεως

τῶν Ῥώσσων μεγαλοπρεπῶς προευτρεπιζομένης, οἱ μὲν κρατοῦντες ὑφορώμενοι τὸν ῥᾴδιον ὄχλον κούφως συγκινεῖσθαι, ἐπιεικῶς παρεκελεύοντο, ἐντειλάμενοι τῷ πατριάρχῃ προσέχειν καὶ παραινεῖν τὸν ὑπόφορον λαόν, μὴ προπετῶς μεταπηδᾷν, καὶ προσφεύγειν πρὸς τοὺς ὁμοδόξους, οἰομένους παρ' ἐκείνους ἐλευθερίαν εὑρεῖν καὶ πλούτη καὶ τὴν ἄλλην ῥᾳστώνην τοῦ βίου, ὥστε συγχέειν τὴν κοινὴν τῶν ἐθνῶν ἁρμονίαν· ὁ δὲ τοῖς κρατοῦσι μᾶλλον χαρίζεσθαι βουλόμενος, ἰταμώτερον ἀντεπεξῄει, καὶ μανικώτερον καθ' ἡμῶν ἐξύβριζε, τὸν ἤπιον καὶ πρᾶον λαόν, τὸ ποίμνιον τοῦ πρᾳοτάτου Χριστοῦ ἀγρίως διασπαράττων, καὶ ἵν' ἐπεκδικῇ τοῖς ἐχθροῖς, τὰ ἴδια, ἀπὸ γοῦν τοῦ σχήματος κατασφάττων πρόβατα· ταῦτα οὖν ἐνορῶντες οἱ φιλόθεοι ἔφριττον, οὐδὲ πρόσχημα εὐσεβείας, οὐδὲ γνώμην ἔμφρονα ἔχοντα, οὐδὲ πρὸς τὴν σπουδαζομένην τῶν διαλλαγέντων εἰρηνικὴν ἁρμονίαν συμφέροντα, μᾶλλον δὲ ἐναντία καὶ πολέμια. Ταῦτα καταμαθὼν καὶ ὁ περιώνυμος στρατηγὸς καὶ περίβλεπτος πρέσβυς, ἐξουθένησε παριδὼν αὐτόν, καὶ τιμῆς καὶ ὁμιλίας, ἣν τῷ οἰκουμενικῷ πατριάρχῃ ὁ κατὰ καιρὸν μέγας εἰς ταῦτα πρέσβυς τῶν Ῥώσσων ἀπέδιδεν, οὐκ ἠξίωσεν, ἀλλ' οὐδὲ ὅλως προσειπεῖν κατεδέξατο. Οἵ τε ἐνδημοῦντες ἀρχιερεῖς διεσκέπτοντο, εὐθετοῦντες τὰ πρὸς τὴν ἔξωσιν, οἵ τε κύκλῳ ἀρχιερεῖς κατεβόων, γράφοντες πρὸς τοὺς ἐνταῦθα αὐτῶν προστάτας, καὶ ποτνιώμενοι ἀπαλλαγὴν ᾐτοῦντο· διὸ καὶ ὁ Νικομηδείας προϊστάμενος τοῦ Σερρῶν, καταλαβὼν ὡς οὐκ ἠρκέσθη οἷς πρότερον ἔλαβεν, ἀλλ' ἵνα πλείονα λάβῃ, ἐπενοχλοῦντα καὶ διαταράσσοντα τὸν Σερρῶν καὶ διερεθίζοντα κατ' αὐτοῦ ὀργὰς καὶ συγκινοῦντα ἐκεῖ σκάνδαλα, ἀναφοράς τε συμπλάττοντα καὶ μυρία κακὰ κατ' ἐκείνου διατεχνώμενον, τοῦτον κατήλεγξε, καὶ μετὰ τῶν ἄλλων ἀρχιερέων συνέστη τούτου ἀπαλλαγείς. Ἐπὶ τούτοις οὖν καὶ τὸ ἐννενηκοστὸν ἐπῆλθεν τέταρτον ἔτος.

Ὑπονοῶν δὲ ὁ πατριάρχης τὴν κατ' αὐτοῦ τῶν ἀρχιερέων σύστασιν, παντοῖος ἦν. Ἀλλ' ἐπὶ τοῖς δυνατοῖς θαρρῶν εὐνοϊκῶς πρὸς αὐτὸν ἔχουσιν, οὐκ ἐδεδοίκει τὴν πτῶσιν. Ἐνέπαιζε μέντοι προαναφωνῶν καὶ προλέγων, ὅτι πεπλήρωται αὐτῷ ὁ καιρός. Ἄλλοις δ' ἔλεγε κόρον λαβεῖν τῆς ἀρχῆς, καὶ ἡσυχίας ἐφίεσθαι· καὶ ποικίλος ἦν, καιρὸν ἐπιτηρῶν ἐπιθέσθαι καὶ λῦσαι τὴν σύστασιν, καὶ ἀπελάσαι ἐντεῦθεν τοὺς ὑπόπτους ἀρχιερεῖς. Παρεφύλαττε δὲ μάλιστα, καὶ παραλαβὼν καὶ φιλεῖν μάλιστα καὶ τιμᾶν προσεποιεῖτο τὸν Δέρκων Γεράσιμον, καὶ ἐπ' αὐτὸν ἔστρεφε τὰς ὑπονοίας, ὅτι πέρυσιν ἀντιφερόμενοι οἱ ἀρχιερεῖς προσέβλεψαν εἰς αὐτόν. Ὁ δὲ τὴν γνώμην τοῦ πρωτεύοντος εἰδὼς καὶ τὴν ὀργὴν ἐκκλίνων ὑπεκρύπτετο, καὶ τοῦτον διέλαθε νόσον ἤτοι ὅλως σκηπτόμενος, ἢ τὴν μικρὰν μείζονα ὑποδείξας, καὶ ὑποφυγὼν καὶ μετοικήσας καὶ μετὰ τῶν ἄλλων βαρυτίμων δοκούντων γερόντων γενόμενος· ὑπελάμβανε δὲ τὰς γενομένας συχνὰς αὐτῶν συνελεύσεις διὰ τὰς ἐμπεσούσας ἐνστάσεις περὶ τῆς γνώμης τοῦ Ἡρακλείας. Ἐπεὶ γὰρ πολλάκις προτραπείς, ἵνα ἐπὶ τὸν Μυριοφύτου ἐπίσκοπον ζῶν ποιήσῃ παραίτησιν τῆς ἐπαρχίας, ἐπένευσεν, ἐν ὑποθέσει μέντοι εἰ δοκεῖ τῇ ἱερᾷ συνόδῳ· καὶ δὴ προθεὶς τὴν γνώμην αὐτοῦ ἐπὶ συνόδου, ἐζήτει τὰς γνώμας· ἔνθεν τοι μὴ πάντων συναινούντων ἐνστάσεις ἀπεναντίας ἀνεφύησαν· ὑπὲρ ὧν συνέρχεσθαι εὐθετοῦντας τοὺς ἀρχιερεῖς, καὶ νοσοῦντα αὖθις τὸν Γεράσιμον ἐπισκέπτεσθαι ᾤετο ὁ πατριάρχης. Ἀλλ' αἴφνης ἐπέγνω, ὡς τέχνῃ, ᾗ λέγεται τέχνην παίζει.

Τῇ γὰρ α'. Μαρτίου τοῦ ἐννενηκοστοῦ τετάρτου τοῦδε ἔτους οἱ ἐν τῷ Καταστένῳ παροικοῦντες ἀρχιερεῖς πρωῒ κατελθόντες καὶ τοὺς ἐν Φαναρίῳ παρενδημοῦντας ἀγηοχότες, καὶ τούτοις τὴν γνώμην ἑαυτῶν ἀνακαλύψαντες, καὶ συναινοῦντας παραλαβόντες ἐπέστησαν ἀθρόοι τῷ πατριάρχῃ, καὶ τοῦτον σφοδρῶς ἐλέγξαντες, ἐφ' οἷς παρὰ νόμον καὶ δίκην ἐπεποιήκει,

ἀπεκήρυξαν τὴν ἀξίαν ἀφελόντες, καὶ εὐθὺς ἐξελθόντες ἀπ' αὐτοῦ ἐποιήσαντο ἀναφορὰν πρὸς τοὺς κρατοῦντας, τοῦτον ἀδόκιμον ἐπ' αὐτοῖς μαρτυροῦντες, καὶ δεόμενοι τοῦτον ἀφ' αὐτῶν ἀποπέμψασθαι, καὶ ἐπιτρέψαι ἕτερον ἐκλέξασθαι, ὃν κοινῇ γνώμῃ ἕλοιντο. Ὁ δὲ Νεόφυτος δείσας παντελῆ καθαίρεσιν, ἀπέστειλε τῷ μεγάλῳ ἑρμηνεῖ ἔγγραφον παραίτησιν, μηνύων αὐτῷ τὴν κατ' αὐτοῦ ὁρμήν, καὶ ἀποστροφὴν τῶν ἀρχιερέων, καὶ τὴν ἀπὸ τοῦ θρόνου καθαίρεσιν, ἐλπίσας τυχὸν ἀντιλήψεως τυχεῖν, εἰ καὶ δεινὸν ἡγεῖτο τοσαύτην τόλμην παρὰ γνώμην γενέσθαι τῶν κρατούντων. Ἔμεινεν οὖν κατ' ἐκείνην ἐν τῷ πατριαρχείῳ ἀργὸς τῆς ἀξίας, μετακινῶν τὰ ἑαυτοῦ, καὶ περιμένων τοῦ κράτους τὸν ὁρισμόν, μικρὰν ὑποτρέφων ἐλπίδα, ἐξ ὧν αὐτῷ ἀπεκρίνατο ὁ μέγας ἑρμηνεύς, μηδέν τι προσταράσσεσθαι καὶ θροεῖσθαι ὑπὸ φωνῶν· τῇ δὲ ἐφεξῆς ἕωθεν ἐξελθὼν τοῦ πατριαρχείου καὶ ὁμιλήσας μετὰ τοῦ μεγάλου ἑρμηνέως ἐκτὸς παρέμεινε, τοῦ θρόνου ἐκπεσών.

Κατ' αὐτὴν οὖν, ἐκλογῆς γενομένης παρά τε τῶν ἐνδημούντων ἀρχιερέων, κληρικῶν τε καὶ ἀρχόντων, καὶ τῇ ἐφεξῆς γ' τοῦ μαρτίου μηνὸς παραστάσεως ἐπὶ τὸν ἐπίτροπον τοῦ βασιλέως καὶ διὰ καββαδίων ἐπικυρώσεως καὶ τιμῆς καὶ προπομπῆς, ὡς εἴθισται, προήχθη ἐπὶ τὸν οἰκουμενικὸν θρόνον ἀπὸ μητροπόλεως Δέρκων ὁ κὺρ Γεράσιμος ὁ Κύπριος, διὰ κανονικῆς μεταθέσεως, τῆς τυραννίας ἀποσείσας τὸν φόβον, ὃν πολλοῖς ἐνεποίει ἡ τοῦ πρὶν πατριάρχου ἔπαρσις, καὶ χρηστὰς ἐπανατείλας ἐλπίδας, διά τε εὐμάθειαν, καὶ τρόπον ἄρεσκον καὶ ἡσύχιον, ὃν ἐν πολλοῖς καὶ διαφόροις καιροῖς καὶ προσώποις ἐξήσκητο. Μετετέθη δὲ ἀπὸ Ἄρτης εἰς Δέρκων Μακάριος ὁ Βυζάντιος, ὁ καὶ τὸν εὐαγῆ ναὸν τῆς Ζωοδόχου πηγῆς πρῶτος ὑποχωρήσας τῇ ἐξουσίᾳ τοῦ πατριάρχου.

Τῶν δὲ οἰάκων ἐπειλημμένος τοῦ μεγίστου τοῦδε σκάφους τῆς ἐκκλησίας ἐν γήρει βαθυτάτῳ ὁ κὺρ Γεράσιμος, εὐθὺς

ἐδόκει νεανικῶς περιάγειν, καὶ οἰακοστροφεῖν κατ' αὐτὸν τὸν Νεόφυτον συνωθούμενος ἐν τῷ κλύδωνι, πολὺν δὲ καὶ ἐν τοῖς ἐγκυκλίοις τῆς εἰδήσεως γράμμασι συνειρήκει ὑπὲρ αὐτοῦ τὸν ἔπαινον, τῇ ῥύμῃ τοῦ γράφοντος ἑαυτὸν δούς, καὶ τοῖς βουλομένοις πάντα καλῶς λέγειν, τὰ ἄλλως πραχθέντα ἢ γραφέντα παρ' ἐκείνου ὑποκύψας, καὶ ὑπογράψας ἁπανταχῇ τὸν ἑαυτοῦ ἤτοι ἀγενοῦς πτοίας καὶ ἀνελευθέρου θωπείας, ἢ ἀδικίας ἔλεγχον· εἰ γὰρ δεόντως ἐτέλει, καὶ νομίμως εἶχεν, ὅσα ἐκείνῳ ἐπράττετο, κακῶς καὶ ἀδίκως ἄρα τοῦ θρόνου ἀπώσαντο, καὶ οὐδὲ αὐτὸς συμπράττων τοῖς ἀδικοῦσι, καὶ τοῖς βιασταῖς συναινῶν, καλῶς τὸν θρόνον ἐδέξατο. Ἀλλὰ ταῦτα καὶ λέγειν καὶ πράττειν κατ' ἀρχὰς ἐπεχείρει διά τι δέος ἴσως τῶν δυνατῶν. Οὐκ εἰς μακρὰν μέντοι κατ' ἴχνος τοῦ κὺρ Νεοφύτου ἐβάδισε, καὶ μεταβαλὼν τὴν κατ' αὐτὸν ἐτράπη. Καὶ τὸν μὲν κὺρ Νεόφυτον εἰς Ῥόδον ἀπώσατο περιορίσας, τοῖς δὲ ἀρχιερεῦσιν ἀνῆκε γενικὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων διάγνωσιν, καὶ κυριότητα, διαταξάμενος ἀφεύκτως ἐκτὸς τῶν κατεπειγόντων, ἐν μιᾷ τῆς ἑβδομάδος συνέρχεσθαι ἅπαντας, καὶ τὰ ταῖς ἐκκλησίαις συγκυροῦντα ἀνακρίνειν, καὶ σκεπτομένους ἐπιδιορθοῦν, καὶ τὰς εὐλόγους αἰτήσεις τῶν ἔξωθεν προσαιτούντων ἀρχιερέων, καὶ πανταχόθεν χριστιανῶν ἀποδεχομένους ἐκπληροῦν, καὶ τῶν ἐν ἀνάγκαις προΐστασθαι, καὶ ἐκτελεῖν ἐν πᾶσι τὰ δέοντα.

Τῆς δὲ ἐκκλησιαστικῆς διοικήσεως τῇ συνοδικῇ διαγνώσει οὕτως προσκυρωθείσης, εὐθὺς οἱ δυνατοὶ τῶν ἀρχιερέων ἤρξαντο ἀντιφέρεσθαι. Ἔδοξεν οὖν ὁ Νικομηδείας Ἀθανάσιος μάλιστα τοῦ πλείονος ὀρεγόμενος, ὅτι οἱ συνιστῶντες αὐτὸν ἰσχυρότεροι ἦσαν, καὶ ὁ πατριαρχεύων φίλος αὐτῷ ἦν καὶ πατριώτης, δι' ἃ καὶ τοῦ κύρους τῶν ἐκκλησιαστικῶν ἀντεποιεῖτο, καὶ εὐθὺς τὴν κοινὴν ὁμόνοιαν τῶν ἀρχιερέων διετάραττε, καὶ τὸν πρωτεύοντα ἡσυχάζειν βουλόμενον διηνώχλει, καὶ δικαιοπρα-

γεῖν θέλοντα ἐκλόνει παράγων· συνιδὼν δὲ ὁ παναγιώτατος τοὺς πολλοὺς αὐτῶν ἀπαρεσκομένους, καὶ ἀσθένειαν γήρους, οὐ γνώμης ἐπιείκειαν, καὶ τῆς ἀρχῆς προδοσίαν, οὐ τρόπου χρηστότητα διαμεμφομένους, καὶ λοιδοροῦντας τὴν τοιαύτην αὐτοῦ ὕφεσιν καὶ ὕπουλον τυραννίαν, οὐ νόμιμον καὶ συνοδικὴν διοίκησιν φημίζοντας, μεταβαλὼν ἐπὶ τοὺς πολλούς, τούτους ἐθεράπευε, δοκῶν παρορᾶν τὸν αὑτοῦ φίλον ἐν οἷς οἱ πολλοὶ ἠρέσκοντο. Ὁ δὲ μὴ ἀνεχόμενος ταύτης τῆς ὀλιγωρίας, μᾶλλον δ' εἰπεῖν μὴ ἐπισχύσας κρατεῖν, ὡς ᾤετο, καὶ δεσποτικῶς ἄγειν καὶ φέρειν τὰ τῆς ἐκκλησίας, ἵνα πάντα ᾖ τοῖς Κυπρίοις, θρόνοι, κυριότητες, δόξα καὶ πλοῦτος, καὶ ὁ χρυσοῦς αἰὼν, δυσχεράνας ἐπὶ τὴν κατ' αὐτὸν ἐπαρχίαν ἀπῄει καὶ τοῖς πλείοσι μετὰ τοῦ Ἐφέσου ὑπεχώρησεν. Ὁ δὲ παναγιώτατος τὰς γνώμας τῶν πλειόνων μετιὼν ἐθεράπευε τοὺς δυνατούς, κεχαρισμένα τούτοις ποιῶν, καὶ οὕτω τοι συνέχων τῶν πολλῶν τὴν ὁμόνοιαν.

Κατὰ δὲ τὸν σεπτέμβριον μῆνα, τοῦ Κυζίκου Ἀγαπίου εὐτεῦθεν πρὸς τὰ ἐκεῖσε δικαιωτήρια ἀπιόντος, τὰ κακῶς συναχθέντα χρήματα τοῖς ἅρπαξι καὶ κληρονόμοις κάκιστα καταλιπόντος εἰς ἔλεγχον αἰσχροκερδείας καὶ ἀνοσιότητος· τοῦτο γὰρ ἔθος νῦν εἰσεκώμασεν, ἐθῶν ἁπάντων φαυλότατον ἅμα καὶ ἀδικώτατον, κατασυλοῦντας ἐκκλησίας καὶ φθείρειν τὰ κοινὰ τοὺς ἀρχιερεῖς, ἐφ' ᾧ καὶ τοὺς συγγενεῖς ἑαυτῶν ἱεροσύλους ποιήσωσι, θεοστυγεῖς καὶ ὁμοίους ἑαυτοῖς ἀναδείξαντες· πλεῖστα δ' ἠγωνίσατο ὁ παναγιώτατος, ὥστε τοῦ Ἀγχιάλου Ἰωακεὶμ, ὃν ἠγάπα, εἰς Κύζικον προὐβίβασε. Θανόντος δὲ καὶ τοῦ Δημητριάδος ἀρχιεπισκόπου, τὸν ἀρχιδιάκονον καὶ ἀνεψιὸν αὐτοῦ Δημητριάδος ἐχειροτόνησε, μητρόπολιν αὐτὴν τιμήσας. Ὑπέσχετο δὲ καὶ τῷ τότε Ἡρακλείας Μεθοδίῳ τὴν κατ' ἔφεσιν αὐτοῦ διαδοχὴν ἐπὶ τὸν Μυριοφύτου Μελέτιον ἐκτελέσαι, ὡς καὶ ἐπλήρωσε.

Ἐπεὶ δὲ τὰ τῶν κοσμοσωτηρίων δεσποτικῶν ἑορτῶν τοῦ

ἐννενηκοστοῦ πέμπτου ἔτους προαναφωνεῖσθαι ἤρξαντο, καθ' ἃς ἱερουργεῖν καὶ πατριαρχικῶς παρρησιάζεσθαι τὸν οἰκουμενικόν, εἴθισται, οὐκ οἶδ' ὅσον τις ὑποβαλών, παρέκρουσεν, ἢ αὐτὸς ὁ πατριάρχης θελήσας καινοτομεῖν, καὶ τοῖς κούφοις συμμεταβάλλεσθαι, ἐπέτρεψε τὰ κατὰ τῆς κεφαλῆς ἐπιβλήματα παραλλάξαι, καὶ παραποιήσασθαι τὴν ἀρχιερατικὴν στολὴν τῶν συλλειτουργούντων αὐτῷ ἀρχιερέων ἐν ταῖς δεσποτικαῖς ἑορταῖς, τοῦτο δεύτερον καινοτομηθέν. Μέχρι γὰρ τῶν ἀοιδίμων πατριαρχῶν Καλλινίκου καὶ Σεραφεὶμ τοῦ δευτέρου, ἔθος ἦν τοὺς συλλειτουργοῦντας τῶν ἀρχιερέων ἐν τῇ μυσταγωγίᾳ φελώνην ἀναβάλλεσθαι, καὶ κατὰ κεφαλῆς τὸ σύνηθες φέρειν καμηλαύχιον, σὺν τῷ ἐπικαλυμμαυχίῳ πρὶν τοῦ χερουβικοῦ, μόνου τοῦ οἰκουμενικοῦ, ἢ καὶ τῶν ἄλλων πατριαρχῶν συλλειτουργούντων σάκκους, καὶ κορώνας, καὶ ἐγκόλπια φορούντων· ἐξ ἐκείνων δὲ ἀρχὴν μεταποιηθὲν τὸ παλαιὸν ἔθος, εἰς δεῦρο προήχθη, σάκκον μὲν τοὺς συλλειτουργοῦντας ἀρχιερεῖς ἀναβάλλεσθαι, ἐγκόλπιον δὲ μὴ ἐνάπτειν παραιωροῦντας, φέρειν δὲ κατὰ κεφαλῆς οὐδὲ τὰς συνήθεις μίτρας, ἐν αἷς κατὰ τὰς σφῶν ἐπαρχίας παρρησιάζονται, ἀλλὰ τὸ κοινὸν ἐπίβλημα, ὅπερ ἀντὶ καυσίας χρῶνται νῦν οἱ μοναχοὶ καὶ οἱ ἀρχιερεῖς. Ἔδοξε γοῦν χρυσῷ καὶ ἀργύρῳ τἆλλα περικεχυμένους, τί μὴ καὶ τὴν κεφαλήν; καὶ τὰς συνήθεις μίτρας ἀναθέσθαι, ὅπερ ἦν προχειρότερον, τούτοις οὐκ ἔδοξε. Καινοτομῆσαι μέντοι καὶ παραποιήσασθαι ἄλλας σὺν οὐδενὶ λόγῳ ἐπὶ τὴν ἐξίσωσιν καὶ ὁμοίωσιν τοῦ οἰκουμενικοῦ, μήτε βασιλικοῦ, μήτε δεσποτικοῦ καλύμματος ἐπὶ κεφαλῆς σχῆμα ἐχούσας· οὕτω γὰρ ἀδαεῖς καὶ ἐκκλησιαστικῆς ἱστορίας, καὶ συμβολικῆς ἱεροφαντίας, οἱ νῦν ἱεροφάνται καὶ διδάσκαλοι, μόνον περὶ τὰς ἐκ χρυσοῦ καὶ λίθων μαρμαρυγάς, καὶ τῶν βαμμάτων τὰς χροιὰς κεχηνότες καὶ βλέποντες, καὶ τὸ χεῖρον ὑπὸ τύφου ἐλαυνόμενοι, κακῶς καινοτομεῖν ἐπιχειροῦσι, μὴ αἰδούμενοι. Πᾶν γὰρ τὸ ἐν τῇ τοῦ

Χριστοῦ ἐκκλησίᾳ κανονισθέν, πολλῆς γέμει σοφίας, καὶ περὶ τὰ ἔξω ὁρᾶται, καὶ αὐτὴν συνέχει καὶ κοσμεῖ τὴν ἀναβολήν. Ἐτεκτήναντο γοῦν, καὶ οὕτω κατὰ τὴν μεγάλην ἑορτὴν τῆς τοῦ Χριστοῦ γεννήσεως περὶ τὸν πατριάρχην ὡράθησαν ἐν τῇ ἐκκλησίᾳ ξένως τὰς κεφαλὰς κοσμούμενοι, σὺν οὐκ ὀλίγῳ τῶν πολλῶν γέλωτι.

Ἀλλὰ σὺν τούτοις μὲν προΐει ἐπὶ τὸ ἐννενηκοστὸν πέμπτον ἔτος ὁ παναγιώτατος, λαμπρυνόμενος, διέπων τε καὶ συμφερόμενος ἠπίως, τοῖς μὲν ἐνδούς, ἄλλως δὲ θεραπεύων ἄλλους, παρορῶν πολλά, καὶ μηδενὶ μαχόμενος. Προσεποιεῖτο δὲ ἀπονεύειν τοῦ Νικομηδείας, ὑπὸ τοῦ Ἐφέσου ἀγόμενος, καὶ τοὺς διῃρημένους καὶ πρὸς αὐτοὺς συνισταμένους ἀρχιερεῖς οὕτως ἐδόκει συνάγειν, περὶ τοὺς ὑπόπτους αὐτῷ μᾶλλον προκσχολούμενος καὶ προσέχων, καὶ τῶν γνησίων δοκῶν ἀμελεῖν. Ἔδοξε δὲ καὶ τὸ χρηματικὸν τῆς ἐκκλησίας συμφερόντως οἰκονομῆσαι, τῶν εἰσόδων καὶ ἐξόδων ἀναθεωρηθέντων μετὰ ἐνιαυτόν, ὅτι τὰ ἀπὸ τοῦ Δημητριάδος καὶ τοῦ Ἀγχιάλου καὶ τοῦ Ἡρακλείας προσληφθέντα ἐξέπεσον ἐκ τοῦ κοινοῦ χρέους, ὅσον ἀφῆκεν ὁ προπατριαρχεύσας κὺρ Νεόφυτος, παρ' ὃν εὐδοκίμησεν ἐπαινούμενος, ὡς οὔτε πολλὰ κατ' ἐκεῖνον ἐλάμβανε, καὶ τὰ ὀλίγα καλῶς ᾠκονόμει παρὰ λόγον μὴ καταπροέμενος, σκνιπὸς εἶναι θέλων. Οὕτω γοῦν τοῖς πολλοῖς ὑπαχθείς, ὡς ἀρέσκειν σπουδάζων, ἀντιπεριέστη, ὡς μήτε τοῖς φίλοις ἐπαρκεῖν ἔτι, μήτε τὸν ἑαυτοῦ Φώτιον ἐπὶ τὴν σχολὴν τῶν γραμματικῶν, δι' ὃν ὅλην αὐτῆς τὴν καλῶς ἔχουσαν ἀνέκαθεν σύστασιν ἀνέτρεψε, λάθρα ὑποκινῶν καὶ ἐρεθίζων τὰ πρῶτα τὸν κὺρ Νεόφυτον συνιστᾷν, μήτε τὸν μακαριώτατον πατριάρχην Ἀντιοχείας ἀνεψιὸν ὄντα κατάγειν εἰς Κωνσταντινούπολιν, μήτε τοὺς ἄλλους Κυπρίους ἐπιβοηθεῖν δύνασθαι. Διετέλεσεν οὖν οὕτως μέχρι ιη'. Ἀπριλλίου τοῦ ἐννενηκοστοῦ ἑβδόμου ἔτους· ἐπεὶ δὲ καὶ τοῖς κρατοῦσι κατωλιγωρεῖτο, καὶ οὐκ ἔτι ἴσχυε διενεργεῖν τὰ ἐπι-

βάλλοντα, δείσας μή τι καὶ ἀεικὲς πάθῃ, τὸν θρόνον παρῃτήσατο.

Τοῦ γοῦν κυρίου Γερασίμου τὸν οἰκουμενικὸν θρόνον παραιτησαμένου τῇ δεκάτῃ ὀγδόῃ Ἀπριλλίου τοῦ ᾳψϛζ΄. ἔτους, τῇ ἐφεξῆς ιθ΄. Ἀπριλλίου, γενομένης γενικῆς συνελεύσεως, προεκρίθη εἰς τὸν οἰκουμενικὸν θρόνον κοινῇ ἐκλογῇ καὶ ψήφῳ ὁ Σμύρνης κύριος Γρηγόριος. Ἀπεστάλη οὖν ἔξαρχος καὶ τζαούσιος βασιλικὸς μετὰ ἐκκλησιαστικῶν γραμμάτων καὶ φερμανίου, ἀπὸ Σμύρνης μετακαλούντων αὐτὸν εἰς τὸν πατριαρχικὸν θρόνον· τῶν δὲ ταχέως ἀπελθόντων, τῇ ἐννάτῃ Μαΐου ἀνῆλθε μετ᾽ αὐτῶν ἀπὸ Σμύρνης εἰς Κωνσταντινούπολιν, καὶ τῇ ἑξῆς παραλαβὼν τοὺς ἐνδημοῦντας ἐνταῦθα ἀρχιερεῖς καὶ κληρικοὺς παρέστη τῷ ἐπιτρόπῳ τῆς βασιλείας, καὶ ἀπολαβὼν ὡς ἔθος τὰ καββάδια, προήχθη μετὰ λαμπρᾶς προπομπῆς εἰς τὸ πατριαρχεῖον· καὶ γενομένης κανονικῶς τῆς μεταθέσεως ἐν τῷ πανσέπτῳ ναῷ τοῦ ἁγίου Γεωργίου, ἐπευλόγησεν ἀπὸ τοῦ οἰκουμενικοῦ θρόνου τὸν συνελθόντα ἐκεῖ πολὺν εὐσεβῆ λαὸν, ἀγαλλιώμενον ἐπὶ τῇ αὐτοῦ προαγωγῇ, χρηστοτέρας ἔχοντα ἐπ᾽ αὐτὸν τὰς ἐλπίδας ἐννόμου ποιμαντορίας.

Ἀλλὰ παρὰ προσδοκίαν εὐθὺς διαταράττειν τὴν ἐκκλησίαν ἐνήρξατο, καὶ τὴν ἐπ᾽ αὐτὸν τῶν πλειόνων χαρὰν ἀφεῖλεν. Οὐ γὰρ ἡμερῶν καιρὸς παρῆλθε καὶ τοὺς πλείους τῶν ἐνδημούντων ἐνταῦθα ἀρχιερέων ἀκαίρως ἀπεσόβησε. Πρόνοιαν δὲ οὐ τῶν ἀνηκόντων τῇ ἱερᾷ καταστάσει, τῶν δὲ κοσμικῶν καὶ ὑλαίων ἀνέλαβε, καὶ διετυποῦτο οἰκοδομάς, τὰς παλαιωθείσας πατριαρχικὰς οἰκίας ἀνεγείρειν καὶ πλατύνειν διανοούμενος. Πρὸς δὲ τοιαύτας δαπάνας πολλῶν χρημάτων δεόμενος, κατέγραψε πάντας τοὺς ἐν Κωνσταντινουπόλει ἱερωμένους εἰσφέρειν καταναγκάσας, καὶ τοῖς ὑποτελοῦσι τῷ οἰκουμενικῷ θρόνῳ ἀρχιερεῦσι διενετείλατο τοὺς ἀνὰ πᾶσαν ἐπαρχίαν ἱερωμένους ὁμοίως εἰσπράττειν. Ἀλλ᾽ ἐν τούτοις κατελύπησε μὲν τοὺς πλείονας τῶν εἰσπραττομένων πένητας ὄντας, παρῴχετο δὲ

ἅπαξ τούτοις ἐπιβαλών, ὡς εἰ καὶ τοῖς ἱεροῖς τῶν μοναστηρίων τοιοῦτον ἐπήνεγκεν. Ἀλλ' ἐν αὐτοῖς μέγιστον καὶ ἀφόρητον τὸ κακὸν ἐνειργάσατο. Ὅσα γὰρ τῶν σταυροπηγιακῶν μοναστηρίων ἀπὸ παλαιοτάτων τῶν χρόνων τὸ ἄνετον, καὶ ἀσύδοτον καὶ ἀφορολόγητον ἐκκλησιαστικῶς ἀπεκληρώσαντο διὰ πατριαρχικῶν ἀλληλουχουμένων σιγγιλλίων, ἅπαντα ὑπὸ βαρυτάτοις ἐτησίοις φόροις καὶ διατάξεσιν ἀλογίστοις ὑπηγάγετο, τὰ πρεσβυγενῆ καὶ ἀρχαῖα καὶ ὕστερον αὐτοῖς προσκυρωθέντα πατριαρχικὰ σιγγίλλια ἀποσκυβαλίσας, καὶ τὰς ἐν τούτοις ἀρὰς παρ' οὐδὲν θέμενος, καταλογήσας τοῦ δικαίου, καὶ τῆς καλῆς τάξεως. Καὶ τὸ δὴ χεῖρον, σιγγίλλια δῆθεν νέα ἀμαθῶς διὰ ἀμαθεστέρων ἐκδούς, πολὺν κατέχεε τὸν φλήναφον κατὰ τῶν προεδρευσάντων ἁγίων πατριαρχῶν, μήτε ἃ γράφει εἰδώς, μήτε περὶ ὧν κατεπιχειρεῖ συναισθόμενος, περιτρέπων τὰ ἑαυτοῦ δι' ὧν τε ἐκείνων καθελεῖν ἀπετόλμησεν.

Ἤρξαντο γοῦν τῆς οἰκοδομῆς τῶν πατριαρχικῶν οἴκων κατὰ τὸν σεπτέμβριον τοῦ τρέχοντος ἔτους, καὶ διετέλει ρεμβόμενος ὑλαίως, μέγα μέντοι οἰόμενος ποιεῖν. Οὐ γὰρ τῆς μεγάλης καὶ πολλῆς κακώσεως τοῦ ἱεροῦ γένους συνήσθετο, οὐδ' ὅσα καθ' ἑκάστην πανταχοῦ ὑπὸ τὸ ὀθωμανικὸν κράτος ἐταλαιπώρει θλιβόμενον, κακουχούμενον καὶ ὑπὸ μυρίοις καὶ ἀνυποίστοις τοῖς δεινοῖς τυραννούμενον, προσέβλεπεν ὁ ὑπέρτατος δοκῶν ἐπίσκοπος, ἀλλὰ συνυπαγόμενος τοῖς ὑποκλέπτειν τὰ κοινὰ δολιωτέροις, καὶ τοῖς τὰ ἡμέτερα καταδαπανῶσι, καὶ παντοίως διαφθείρειν σπουδάζουσιν, ἔχαιρε μὲν ξύλα βάπτων, τὸν δὲ λαὸν τοῦ θεοῦ καταξέων, καὶ κατατρύχων ταῖς εἰσφοραῖς τοὺς ἐν πενίᾳ τῷ θυσιαστηρίῳ τῶν φρικτῶν μυστηρίων προσέχοντας, τοῦ ἰδίου ἀξιώματος μικρὰ φροντίζων. Οὐ γὰρ λίθους καταρτίζειν, ἀλλὰ ψυχάς, οὐδὲ κοσμεῖν τοίχους, ἀλλ' ἐκκλησίας ὅλας ἐτάγη, καὶ ὡς ἀφ' ὑψηλοῦ περιαθρεῖν τὴν σύμπασαν, καὶ ἀποσοβεῖν καὶ διώκειν ἐκ τῆς ποίμνης τοὺς λύκους,

μάλιστα κατ' αὐτοὺς τοὺς καιρούς, καθ' οὓς οἱ ἀπὸ δυσμῶν αἱ-ολόμορφοι εἰσέφρησαν λυττῶντες κατὰ πάσης λατρείας.

Κατὰ τούτων οὖν ἀρχομένου τοῦ ἐννενηκοστοῦ ὀγδόου ἠθέλησε δῆθεν ζῆλον ἐπιδείξασθαι. Ἐτράπη μέντοι καππεσὼν εἰς τὸν σύνεγγυς βόθρον, δόξας πρὸς χάριν τῶν κρατούντων γράφειν, καὶ διεκδικεῖν τὰ σφίσι σπουδαζόμενα, ἀλλόκοτα καὶ ξένα μᾶλλον δ' εἰπεῖν ἀσεβῆ δόγματα δημοσιεύσας· καὶ γὰρ ἀμαθοῦς καὶ χυδαίου ἐπιλαβόμενος συγγραφέως, μηδαμῶς αὐτὸς οἷός τε ὢν κρίνειν τὰ γραφόμενα, δοκῶν μέντοι πάντα εἰδέναι, φλήναφον ἀδολεσχίας, μεστὸν πάσης ἀσεβείας προπετήσας τύποις ἐξέδωκε, καὶ τὸ διὰ κοινῆς συνδρομῆς νεωστὶ συσταθὲν παρὰ τὴν αὐλὴν τυπογραφεῖον, αὐτόθεν κατήσχυνε τῷ ῥύπῳ καταμιάνας τῆς ἀθέσμου ταύτης ἀδολεσχίας, ἣν καὶ εὐπαράδεκτον συστῆσαι βουλόμενος, πατρικὴν νουθεσίαν τοῦ μακαριωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Ἀνθίμου ῥᾳδιουργήσας ὑπέγραψε· νόσῳ γὰρ τότε βαρυτάτῃ τοῦ ἁγιωτάτου καὶ σοφωτάτου αὐτοῦ πατριάρχου παλαίοντος, καὶ εἰς θάνατον κατακεῖσθαι δοκοῦντος, τὴν κοινοτέραν γνώμην παρακροῦσαι ὑπέλαβε, καὶ τὸν ἄδικον τοῦτον μῶμον προστρίψαι τῇ εὐσεβείᾳ τοῦ τοιούτου ἀνδρὸς κατετόλμησεν. Ἀλλ' ἤνυσεν οὐδὲν ἡ πάντολμος αὕτη ῥᾳδιουργία. Ὅτε γὰρ μακαριώτατος ἐλέει θεοῦ ἀναρρώσας, καὶ ἰδὼν ἐβδελύξατο, καὶ κατέπτυσε, νόθον καὶ ψευδεπίγραφον ἐπελέγξας τὸ ἄθεσμον ἐκεῖνο σχεδάριον, οἵ τε ἐνδημοῦντες ἐνταῦθα ἀρχιερεῖς ἀναγνόντες κατέκριναν, καὶ πᾶς εὐσεβὴς ἐν συνέσει κατέγνω, ἀλλότρια καὶ ἀπαράδεκτα καὶ ξένα εὐσεβείας εἰσηγούμενον· ἔδωκαν μέντοι τοῦ τύπου τὰ ἔξοδα, καὶ λαβόντες τὰ τυπωθέντα ἀπέρριψαν εἰς κυνόσαργες.

Ἀρχομένου δὲ τοῦ μαρτίου μηνὸς καὶ ἑτέραν καινοτομίαν κατεπεχείρει τῆς ἐκκλησίας καὶ ταραχὴν ἐμποιῆσαι ἐφώρμησε, τοὺς περιλειπομένους ἐπισκόπους τῶν ἰδίων μητρο-

πολιτῶν ἀφελεῖν σκεπτόμενος, ὡς ἂν σύμπασαν λύσῃ τὴν τῶν ἐκκλησιῶν ἔννομον ἁρμονίαν, καὶ ἰσοτίμους καταστήσας τοῖς προὔχουσι τοὺς ὑποτελοῦντας μητροπολίτας καὶ ἀρχιεπισκόπους μετονομάσαι, καὶ ῥᾳδίως μεταφέρῃ καὶ ἀθρόον κατατυραννῇ ἀπ' ἀλλήλων διαστήσας. Πρὸς ταύτην οὖν τὴν αὐτοῦ παράλογον ὁρμὴν ἀντέστησαν οἱ πλείους, μάλιστα οἱ ἔχοντες ἐπισκόπους τῶν μητροπολιτῶν, καὶ κατεβόων διαμαρτυροῦντες, τούς τε ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας, τάς τε τῶν εὐσεβῶν βασιλέων διαταγὰς, καὶ τὰ ἀνὰ χεῖρας αὐτῶν τῶν νῦν κρατούντων διπλώματα προβαλλόμενοι. Διηνώχλει δὲ μετακαλῶν τὸν Κρήτης μητροπολίτην, ἐκεῖθεν μὲν κατάρξασθαι τῆς διαλύσεως τῶν ἐπισκόπων σπουδάζων, καὶ αὐτὸν ἴσως τοῦ θρόνου ἀποστῆσαι βουλόμενος, ὅτι γεγήρακε, καὶ διὰ μακροῦ καρποῦται τὴν Κρήτην. Ἐπεὶ δὲ πρὸς ταῦτα τοὺς ἱκανωτέρους εὗρεν ἀντιφερομένους, ἀπώσατο ἀποστείλας εἰς τὰς ἐπαρχίας αὐτῶν, τόν τε Ἡρακλείας καὶ Νικομηδείας καὶ Προύσης κατὰ μῆνα τὸν μάϊον.

Μηδὲν δὲ τῶν τοιούτων ἐπιτελέσαι κατισχύσας, ἐφορολόγει τοῦ λοιποῦ τοὺς ἱερωμένους, κοσμῶν τὴν νεόδμητον οἰκίαν, καὶ ἐπ' αὐτῇ ἐπαγαλλόμενος ὡς μέγα δὴ ἐκτελέσας, λαμπρὰν οὕτω οἰκίαν δειμάμενος. Κατανοήσας δὲ τὸ πλῆθος τῶν ἐξόδων, καὶ ὡς οὐδὲν οἷς ἀγάλλεται ὁ εὐσεβὴς λαὸς θεῷ κεχαρισμένον ἀνεῖκεν, ὕστερον τὸν ναὸν δῆθεν τοῦ μεγαλομάρτυρος Γεωργίου ἐπικοσμεῖν ἐπεχείρει. Ἀλλ' οἴμοι, τῆς νῦν ἀβελτηρίας τῶν ἐκκλησιαστικῶς προϊσταμένων! Μὴ γὰρ εἰδότες μήτε τὰ ὑπ' ὄψιν τυπωθέντα, κατεπιχειροῦσι τῶν καθισταμένων, ἀναίδην μετακινεῖν κατατολμῶντες, οἷόν τι καὶ ἡ αὐτοῦ παναγιότης ἐν τῷ εἰρημένῳ ναῷ ἐκαινοτόμησε, τρεῖς ἐν τῷ βήματι ἀναστηλώσας τὰς ἱερὰς τραπέζας, καὶ τὸ μὲν δεξιὸν κλῖτος ναὸν τῆς ἁγίας μεγαλομάρτυρος Εὐφημίας καινοτομήσας, τὸ δὲ ἀριστερὸν τῶν τριῶν Ἱεραρχῶν, διελὼν τὴν ἱερὰν πρόθεσιν,

παραζηλώσας ὡς ἔοικεν ἐν τούτοις τῶν Λατίνων τὰ ἀλτάρια, ἀπ' ἐναντίας τοῦ ὀρθοῦ καὶ εὐσχήμονος τῆς ἐκκλησίας. Ἐν ἑνὶ γὰρ ναῷ μία ἀναστηλοῦται καὶ ἡ ἱερὰ τράπεζα· κἂν δὲ περὶ ἕνα περίκειται μικροὶ ἕτεροι, οἱ πάντες μέντοι φυλάττειν ὀφείλουσι τὸ ἴδιον σχῆμα, διττὸν διέχοντες χῶρον κατὰ τὸν ἄνωθεν παραδοθέντα τύπον, διατυποῦντες καὶ ὑπογράφοντες τὰ νοούμενα· ἅπαντα γὰρ τὰ ἐν τῇ ἐκκλησίᾳ διαταχθέντα, καὶ αὐτὰ δὴ τὰ ὁρώμενα μυστικὴν ἔχει τὴν θεωρίαν, ὥστε εἴ γε ὁ ναὸς σύμπαντα ὑποτυποῖ τὸν κόσμον, ἡ δὲ ἱερὰ τράπεζα θρόνος μὲν ἐν τοῖς νοουμένοις καὶ βῆμα Χριστοῦ, Γολγοθᾶ δὲ καὶ τόπος Κρανίου ἐν τοῖς φαινομένοις, τό τε ἡμερονύκτιον, τοῦ σύμπαντος χρόνου ἀντίτυπον, καὶ θῦμα καὶ θύτης αὐτὸς ὁ Χριστὸς, ἐπάναγκες ἐν ἑνὶ ναῷ καὶ ἐν ἑνὶ ἡμερονυκτίῳ ἕνα τῶν ἱερέων ἐπὶ μιᾶς ἱερᾶς τραπέζης ἐπιτελεῖν τὴν ἱερὰν μυσταγωγίαν· διότι ἐν τῷ κόσμῳ ἅπαξ τοῦ αἰῶνος, εἷς ὁ τοῦ Θεοῦ καὶ Πατρὸς μονογενὴς υἱός, ἐν ἑνὶ τόπῳ τοῦ Γολγοθᾶ ὡς ἄνθρωπος θανὼν τὴν παγκόσμιον ἐξετέλεσε σωτηρίαν· εἰς ταῦτα γοῦν ἀνάγει καὶ καθοδηγεῖ τὰ διατυπούμενα καὶ διενεργούμενα ἐν τῇ ἐκκλησίᾳ, ἅπερ οἱ Λατῖνοι διαταράξαντες, ἀπεπλανήθησαν τῆς θεωρίας ἐκπεσόντες· ἀλλ' ἡ ἐκκλησία τοῦ θεοῦ τῶν θεοπαραδότων ἀπρὶξ ἀντεχομένη, ἀεὶ τὰς τοιαύτας καινοτομίας ἀπέφυγε, καὶ τῶν διαταράττειν τὴν αὐτῆς οἰκονομίαν κατολιγωρεῖ.

Ταχὺς δὲ ὢν πρὸς τὸ λέγειν καὶ γράφειν ὅ,τι ἂν ἐπέλθῃ, ἐπλήθυνε τὰς γραφὰς πανταχοῦ ἐπιστέλλων, ὡς εὐνομίας δῆθεν φροντίζων· τέως δὲ καὶ πρὸς τὰς περιοίκους τῆς Ἑλλάδος νήσους κατασχεθείσας ὑπὸ τῶν Γάλλων, ἀπέστειλε προτρέπων ἀπωθῆσαι ἑαυτῶν τοὺς ἐπελθόντας, οὐ μετὰ τῆς δεούσης προσοχῆς διενεργῶν τὰ αὐτῷ ἐπιτεταγμένα· εἰ γὰρ μὴ ἄλλοθεν ἐπικουρία ἀξιόμαχος ταχέως τούτοις ἐπίσχυεν, εἰς μέγαν κίνδυνον αὐτοὺς καὶ τοὺς περιοίκους ὀρθοδόξους ὑπέβαλε, κατὰ τῶν Γάλλων, οὕτω προπετῶς ὁ εἰρηνάρχης διακηρύξας τὸν πό-

λεμον. Τὸ γὰρ ἐν τοῖς τοιούταις εὐδοκιμεῖν φιλοτιμεῖσθαι, ὅσον τοῖς ἐκκλησιαστικοῖς ἀπᾷδον, τοσοῦτον μάλιστα αὐτοῖς ἐπιβλαβὲς καὶ παντὶ τῷ γένει ἐπιζήμιον.

Δοκῶν οὖν κόρον λαβεῖν τῆς ἑαυτοῦ φιλοκαλίας, καὶ τὸν οἶκον διακοσμήσας ὡς ἐβούλετο, καὶ τὸν πανταχόθεν ἱερὸν φόρον ἀπολαβὼν καὶ ὅλως συντελέσας τὰ αὐτῷ ἐσπουδασμένα, μετεπέμψατο τοὺς ἐξωσθέντας κατὰ μάϊον μῆνα ἀρχιερεῖς, καὶ ἐπὶ πάντων δῆθεν ἀποδοὺς λογαριασμὸν τῶν προσόδων καὶ ἐξόδων, ἐφρόνει τοῖς πᾶσι κεχαρισμένα κατεργάσασθαι τοιαῦτα ἐκτελέσας, μηδενὸς ἀντιλέγοντος οἷς διέττατε καὶ περὶ ὧν διεβεβαιοῦτο· προΐει δὲ τόλμῃ ἐπιχειρῶν, μηδενὶ βουλευόμενος· οἱ δὲ ἐνδημοῦντες ἀρχιερεῖς καὶ τῶν προὐχόντων ἀρχόντων οἱ δυνατοὶ τὰ ἐπιγινόμενα ἐκ τοσαύτης ἀβουλίας καὶ τόλμης ὑφορώμενοι ἐβουλεύσαντο ἀπώσασθαι· καὶ διενεργήσαντες πρὸς τοὺς κρατοῦντας τῇ δεκάτῃ ὀγδόῃ δεκεμβρίου τοῦ αψϛη΄. ἔτους, τοῦ πατριαρχικοῦ θρόνου ἐξέωσαν, ἐξορίσαντες εἰς Καισάρειαν τοῦ Πόντου. Τῇ γοῦν ἐφεξῆς συνελεύσεως κοινῆς γενομένης, μετεκαλέσαντο ἀπὸ τοῦ ἁγίου Ὄρους τὸν κὺρ Νεόφυτον, σωφρονεστέρῳ διὰ τῆς εἰς Ρόδον καὶ ὕστερον εἰς Πάτμον, καὶ μετὰ ταῦτα εἰς τὸ ἅγιον Ὄρος περιπετείας ἐντυχεῖν ἡγησάμενοι.

Ἀνῆλθεν οὖν περὶ τὰ τέλη τοῦ Ἰανουαρίου μηνὸς τοῦ ἐννενηκοστοῦ ἐννάτου ἔτους, καὶ παραστὰς τῷ ἐπιτρόπῳ τῆς βασιλείας, ὡς ἔθος, ἐπελάβετο τοῦ οἰκουμενικοῦ θρόνου πάλιν ὁ κὺρ Νεόφυτος, καὶ πάλιν τὰ ἶσα τοῖς προτέροις παρὰ δόξαν τῶν κεκληκότων ἐπιχειρεῖν ἤρξατο, καὶ τὸν συνήθη ἑαυτῷ ἱστὸν ἐξυφαίνειν ἐπειρᾶτο· ἀλλ' οὐ τοιούτους εὗρε τοὺς συνεργοὺς καὶ ὑποδραστῆρας, οὐδὲ τὸν προστάτην, οἷον προσελάβετο τότε δεινὸν καὶ πανοῦργον δυνάστην, ὑφ' ὃν ἑρπύσας διὰ τῶν ἐκείνῳ ἐσπουδασμένων, ὑπούργει μὲν τὰ μὴ δέοντα, ἐτέλει δὲ τὰ δόξαντα τοῖς ὑπ' αὐτὸν βιαίως ἐπιφερόμενος, καὶ

ἀδίκως ἐπενεργῶν· τοῖς μὲν γὰρ τῶν ἡμετέρων τότε ἐλάνθανε ταῦτα διενεργῶν, τοὺς δὲ κατεφόβει ἰσχὺν ἐκεῖθεν ἀνόσιον προσλαβόμενος, φίλος καὶ ὑπουργὸς γνωριζόμενος τῷ κρατίστῳ καὶ πολυμόρφῳ τῶν δυναστῶν, τοσαύτην ἰσχὺν προσλαβόντι ἐκ ῥᾳδιουργίας, ὥστε τὴν αὐτοῦ ἐξωλεστάτην πανουργίαν σοφίαν τινὰ μεγίστην καὶ περίνοιαν ἀκροτάτην τοῖς πολλοῖς ἐξυμνεῖσθαι, ἐπ' ὀλέθρῳ πολλῶν ἐθνῶν καὶ καινοτέροις εἴτουν ἐξωλεστέροις τοῖς πράγμασι· τοῦτον οὖν προσοικειωσάμενος καὶ προστάτην λαβὼν τότε, ῥᾳδίως καὶ εὐμαρῶς πάνυ, καὶ παράφορος γενόμενος, τοῦ θρόνου ἐξέπεσεν.

Ἐπειλημμένος ἀλλ' οὖν ἤδη τοῦτο πρῶτον ἐπιεικὴς ἐνεδείξατο. Τοῦ γὰρ κυρίου Γρηγορίου μέχρι Νικομηδείας βαρυτάτῳ χειμῶνι προϊόντος, δεδιότος δὲ σφόδρα τὴν μακρὰν ἀποικίαν, καὶ θερμῶς ἐκεῖθεν προσλιπαροῦντος τοὺς ἐνδημοῦντας ἀρχιερεῖς, ὥστε ἐπ' ἄλλην ἀποπέμπειν ὁδὸν τὴν ἐξορίαν μεταθεμένους, καὶ παραμένειν ἐκεῖ διὰ συχνῶν παρακλήσεων ἐπιτυχόντος, ἀνελθὼν ἐπὶ τὸν οἰκουμενικὸν θρόνον ὁ κὺρ Νεόφυτος, μετέβαλε τὸν πρότερον ὁρισμόν, εἰς Ζίχναν ἀποπέμψας· καὶ περὶ τοῦ πρότερον πατριαρχεύσαντος Προκοπίου ἐν τῷ ἁγίῳ Ὄρει ταλαιπωρουμένου φιλάνθρωπα ὡμίλησεν· ἀλλὰ τὰ πρότερα κατὰ τῶν οἰκείων αὐτῷ σκαιωρηθέντα πάλιν ἀνεφύη, εἴτε ἐκ προλήψεως ἢ ἄλλης καινοτέρας μηχανῆς καὶ κακίας. Κατὰ μὲν οὖν τοῦ Ἰωαννίνων Μακαρίου ἐξεμάνη ὁ ἐκεῖ δεινὸς σατράπης ἢ τύραννος καὶ τοῦτον ἀπαγαγεῖν ἐξητήσατο, τὰ Γιάννινα τῷ Ἄρτης ὑπαγαγόντος, τὸν δὲ Παλαιῶν Πατρῶν οἱ Πατρεῖς ἐγκαλοῦντες ἀπεπέμποντο. Πρὸς μὲν οὖν τὴν βίαν τοῦ δεινοῦ τυράννου τῶν Ἰωαννίνων, μὴ δυνάμενοι ἀντισχεῖν οἱ ἐνδημοῦντες ἐνταῦθα ἀρχιερεῖς, εὐθὺς σῶον ἀπολαβεῖν τὸν συναδελφὸν ἐφρόντισαν, τὸν Εὐρίπου Ἱερόθεον Ἰωαννίνων μητροπολίτην ἀναδείξαντες, καὶ ἔξαρχον καὶ βασιλικὸν τζαούσιον ἀποστείλαντες μετὰ ἱκευτικῶν γραμμάτων παρέλαβον τὸν Μακά-

ριον, χρήμασι δὲ πολλοῖς τὸ ζῆν ἀνταλλάξαντα. Πρὸς δὲ τοὺς Πατρεῖς ἀντηγωνίζοντο, ἀδίκους τὰς ἀναφορὰς αὐτῶν ἀπελέγχοντες· ὡς δὲ ἐπέμενον καὶ πρὸς τοὺς κρατοῦντας κατίσχυον διαβάλλοντες τὸν αὐτοῖς ἀρχιερέα, καὶ πάντα τρόπον ἠρεμεῖν οὐκ ἤθελον τὴν ὀργὴν τῶν κρατούντων ἐρεθίζοντες, ἵνα μὴ καί τι χεῖρον αὐτῷ ἐπισυμβῇ, ἔγνωσαν ἀποστῆναι, καὶ τὸν ἀπὸ Γ'ωαννίνων Μακάριον μητροπολίτην Παλαιῶν Πατρῶν ἐνεδείξαντο. Τοῦ δὲ τῆς Ἄνδρου ἀρχιερέως θανόντος, τοῦ πατριάρχου τὸ ἴδιον κέρδος διενεργοῦντος, καὶ ἀπ' ἄλλων ἐπ' ἄλλους τρεπομένου καὶ μεταβάλλοντος, δυσχεράναντες οἱ ἀρχιερεῖς ἤλεγξαν αὐτὸν κατὰ πρόσωπον τοῦ ἰδίου κέρδους καταπροϊέμενον καὶ διαφθείροντα τὰ τῆς ἐκκλησίας, καὶ συστάντες πρὸς τὰς αὐτοῦ ὁρμὰς συνέστειλαν, ἀπευθύνειν πρὸς τὰς κοινὰς πράξεις ἐθέλοντες, συναισθόμενον τοῦ βαρυτάτου τῆς ἐκκλησίας χρέους, ὧν τὸ πλεῖον αὐτὸς ἐν τῇ προτέρᾳ αὐτοῦ πατριαρχείᾳ προσέθετο καταβαρύνας τὰς ἐπαρχίας.

Τῆς Κερκύρας καὶ τῶν λοιπῶν νήσων καὶ παραλίων πολισμάτων τῶν πρὶν ὑπ' ἐξουσίαν τῶν Ἑνετῶν, κατειλημμένων δὲ ὑπὸ τῶν Γάλλων, τῇ ἀηττήτῳ τῶν Ρωσσικῶν ὅπλων δυνάμει, θεοῦ ἐλεοῦντος, ἐλευθέρων γενομένων, ἐλθόντες εἰς Κωνσταντινούπολιν ἐκ τῆς κοινῆς αὐτῶν πολιτείας ἁρμοσταί, καὶ παραστάντες πρῶτον τῷ οἰκουμενικῷ πατριάρχῃ καὶ τῇ περὶ αὐτὸν ἱερᾷ καὶ ἁγίᾳ συνόδῳ, ᾐτήσαντο μητροπολίτην ἀποκαταστῆσαι Κερκύρας. Ἀποδεξάμενος οὖν αὐτοὺς ἐντίμως, πρῶτον μὲν ὕμνησαν καὶ ἐδόξασαν τὸν ἐλεήμονα θεόν, ὃς ἀνήγειρε καὶ ἀνύψωσε τὴν ἐκεῖ ἐκκλησίαν πάλιν εἰς μητρόπολιν, εἶτα τὸν ἐκεῖ ὑπὸ παντὸς τοῦ ἱεροῦ κλήρου ἐκλεχθέντα καὶ ψηφισθέντα ἐπεψήφισαν μητροπολίτην· ὥρισαν δὲ τὸν νεωστὶ μετατεθέντα ἀπὸ Εὐρίπου εἰς Ἰωάννινα μητροπολίτην Ἱερόθεον, ἵνα ἀμέσως ἀπέλθῃ εἰς Κέρκυραν, καὶ παραλαβὼν ἐκ τῶν πλησίων δύο τῶν ἀρχιερέων χειροτονήσῃ τὸν ψηφισθέντα μητροπολίτην Κερκύρας,

δόντες αὐτῷ τὴν συνήθη ἔκδοσιν. Ἀνεβίβασαν δὲ καὶ τοὺς δύο ἐπισκόπους τὸν Κεφαλληνίας καὶ Ζακύνθου, καὶ τὸν Λευκάδος καὶ Ἁγίας Μαύρας εἰς τάξιν μητροπολιτῶν, προσκυρώσαντες ταύτην τὴν τιμὴν τοῖς τε νῦν καὶ τοῖς ἔπειτα γενησομένοις εἰς τὸ διηνεκὲς ἐν αὐτοῖς διὰ πατριαρχικῶν συνοδικῶν σιγγιλίων.

Τοῦ δὲ Ναυπλίου εἰς θεὸν μεταλλάξαντος τῶν τῆδε, καὶ τοῦ Γερασίμου ἀρχιμανδρίτου Νικομηδείας ψηφισθέντος, τῶν προεστώτων τῆς Πελοποννήσου δυσαρεστουμένων παρῃτήσατο τὰς ψήφους ὁ κὺρ Γεράσιμος, ὁ δὲ ἀπὸ Παλαιῶν Πατρῶν ἀνεδέξατο τὴν ἐπαρχίαν Ναυπλίου.

Ἀρχομένου δὲ τοῦ ͵αω΄. σωτηρίου ἔτους καί τινος ὑποκινηθείσης διαφορᾶς δοκούσης χρηματικῆς ἐν τοῖς συνεδριάζουσιν ἀρχιερεῦσιν, πολλῆς δὲ οὔσης μεταξὺ τῶν ἀρχόντων περὶ τῶν σπουδαζομένων σφίσιν ἡγεμονειῶν, ὑποδὺς καὶ ἐκκαύσας τὰς ἐρεθιζομένας γνώμας τῶν ἀρχόντων ὁ εἰρηνάρχης, ἐξέωσε τῆς Κωνσταντινουπόλεως τὸν Ἐφέσου, τὸν Νικομηδείας, τὸν Νικαίας, τὸν Προύσης, καί τινας ἄλλους, ὑπονοῶν δύσνοας αὐτῷ, καὶ τοῖς οἷ σπουδαζομένοις ἀντιπράττοντας, οἰόμενος, εἰ τούτους ἐκβάλοι, πᾶσαν ἂν συλήσειεν τὴν πόλιν· ἐλήστευσε δὲ γυμνώσας πολλούς, οὐ πάντας μέν τοι ὡς ἤθελεν, ἄγων καὶ φέρων τὰ ἱερὰ καὶ τοὺς ἱερεῖς, καπηλεύων ὁ δεινὸς τὰ ἅγια.

Ἐν τούτῳ δὲ καὶ ὁ ψηφισθεὶς πρὶν Ναυπλίου Γεράσιμος, ἐγένετο Κρήτης, ὅ,τε πρώην Βιζύης ἀνέλαβε τὴν αὐτοῦ ἐπαρχίαν δι' ἐπιμονῆς τῶν ἐπαρχιωτῶν αὐτοῦ, ὅ,τε Βάρνης μετετέθη εἰς Δρύστας, τοῦ Δρύστας παραιτησαμένου.

Τὸ πρὸς τοὺς λογίους καὶ διδασκάλους ἔχθος παντοίως διενεργῶν, καὶ εἰς τέλος μὴ δυνηθὴς καθελεῖν τὴν ἐν Πάτμῳ σχολὴν, πάσας αὐτοῦ τὰς κακοβούλους καὶ ὑπούλους μηχανὰς συνεκίνησε κατὰ τῆς ἐν τῷ ἁγίῳ Ὄρει σχολῆς. Ὅθεν ἀνελθὼν εἰς τὸν θρόνον εὐθὺς μὲν διεκώλυσε τὴν ἐπισκευὴν τῶν οἰκοδομημάτων, ἣν ἐκ δαπανημάτων τῆς κοινότητος τοῦ ἁ-

γίου Ὄρους ἐγγὺς ἤγοντο διεκπεράναι· μετ' ὀλίγον δὲ τοῦ ἐν αὐτῇ διδασκάλου Κυπριανοῦ εἰς θεὸν ἐκδημήσαντος, τὸν προβαλλόμενον ἀντ' ἐκείνου Γρηγόριον, ἐκ τοὐμφανοῦς ἀπαγαγεῖν οὐκ ἔκρινεν· οὐ γὰρ κατὰ τὴν σπουδαζομένην αὐτῷ τέχνην κατὰ πρόσωπον ἐμβάλλειν ἐν τοῖς τοιούτοις ἐδόκει, οὐδ' οὕτως ἀντεμβάλλων περιελεῖν καὶ ἀνατρέψαι ἂν εἶχεν, ἐκ προὔπτου κακουργῶν· ἐπιτεχνᾶται τοίνυν δεινόν τι, παραδυόμενος, καὶ τοὺς ἀφελεστέρους ἐξαπατῶν, ἄλλα ἄλλοις λέγων, καὶ τὸν καλὸν δῆθεν ζῆλον τῶν φιλομαθῶν ἐπαινῶν, καὶ συντρέχειν ὑποκρινόμενος, ἐξαπατῶν τοὺς τῆς σχολῆς ἐκείνους ἐπιτρόπους· ἀπέστειλε γοῦν ἔξαρχον τὸν Σταγῶν ἐπίσκοπον εἰς τὸ ἅγιον Ὄρος, ἵνα ἔκ τε τῶν ἱερῶν μοναστηρίων καὶ κελειωτῶν καὶ ἀσκητῶν συνάξῃ χρήματα εἰς μισθοὺς τῶν ἐν αὐτῇ διδασκάλων, καὶ οὕτω βιασάμενος ἐρεθίσῃ τοὺς ἐκεῖ πάντας κατὰ τῆς σχολῆς, ὥστε τοῦ λοιποῦ μηδένα ἡσυχίαν ἄγειν, οὔτε διδάσκαλον, οὔτε μαθητήν, δυσαρεστουμένων, μᾶλλον δ' εἰπεῖν κακουμένων ἐπὶ τῇ σχολῇ τῶν ἁγιοριτῶν.

Τοῦ δὲ χιλιοστοῦ ὀκτακοσιοστοῦ πρώτου σωτηρίου ἔτους ἐπιτελλουμένου, ὁ μὲν κὺρ Νεόφυτος ἐλύσσα ὑπὸ φιλαργυρίας καὶ πάντα ἐποίει χρημάτων ἕνεκα, ἀλλ' ἐν ἅπασιν ἀτυχὴς ἦν ἡ βουλὴ αὐτοῦ, καὶ ἐπίμωμος ἡ γνώμη· εἶχε μέντοι συνεργοὺς τῆς ἁρπαγῆς, καὶ ἐπαινέτας τῆς γνώμης οὓς ἔφθη κερδήσας διὰ χρημάτων· μετὰ δὲ τὴν ἑορτὴν τοῦ Πάσχα εἰσήλασαν οἱ ἐξωσθέντες ἀρχιερεῖς εἰς βασιλεύουσαν, καὶ ἄκοντος αὐτοῦ, ἐλθόντες δὲ διέθεντο τὴν αὐτοῦ ἔξωσιν. Ὅθεν τῇ ιθ'. Ἰουλίου ἀπήλασαν ἐξώσαντες τοῦ θρόνου πάλιν εἰς τὸ ἅγιον Ὄρος, τῇ ἑξῆς προβιβάσαντες εἰς τὸν οἰκουμενικὸν θρόνον ἀπὸ Νικαίας τὸν κύριον Καλλίνικον.

ΣΗΜΕΙΩΣΕΙΣ.

Α. (σελ. 203). Κατὰ μὲν τὸν προλαβόντα ΙΖ΄ ἐκκλησιαστικὸν αἰῶνα πολλὰς μὲν ἐπηρείας καὶ παντοίας ἐπιβουλὰς κατὰ τῆς δυτικῆς ἐκκλησίας ἀπέκρουσε σὺν θεῷ ἡ τοῦ Χριστοῦ ὀρθόδοξος ἀνατολικὴ ἐκκλησία· πολλὰ δὲ καὶ χρήματα ἐκ κοινῆς συνεισφορᾶς πρὸς τὰς χρείας, μάλιστα πρὸς τὰς ἀντικαταστάσεις καὶ μεταθέσεις καὶ ἀλλαγὰς τῶν πατριαρχῶν τοῦ οἰκουμενικοῦ θρόνου, ἐδαπάνησεν. Ἀπεδίδε δὲ κατ᾽ ἔτος καὶ τὴν φορολογίαν τὸ λεγόμενον χαράτζι ὁ πατριάρχης ὑπὲρ τῶν κατὰ τόπον ἀρχιερέων, οἵτινες καὶ ἀντίγραφον τῶν ἐπιτετραμμένων αὐτῷ προνομιων δι᾽ ἐρυθραίας βασιλικῆς κεραίας περιφέροντες, ἀφορολόγητοι ἄλλως ἦσαν καὶ ἀνεμπόδιστοι ἐκτελεῖν τὰ σφίσι τεταγμένα· ἦσαν ἄρα πτωχοὶ μὲν οἱ κατὰ τόπον τότε ἀρχιερεῖς, ἥκιστα μέντοι ὑποκείμενοι καὶ βαρυνόμενοι χρέεσι καὶ ἀπαιτήσεσι τόκων, αὐτοσχέδιοί τινες ὄντες καὶ πρὸς τὰς κατεπειγούσας χρείας, ἕτοιμοι τὸν ζῆλον ὑπεκθερμαίνειν τῶν εὐσεβῶν ὑπὲρ τῆς κοινῆς τῶν ἐκκλησιῶν ἁρμονίας, καὶ τὰς πατριαρχικὰς προτροπὰς προχείρως ἐκπληροῦν ἐν ταῖς χρείαις ὑπουργοῦντες. Οὕτως οὖν ἀπὸ ἁλώσεως μέχρι διακοσίων τεσσαράκοντα τεσσάρων ἐτῶν ᾠκονομήθη τὰ τῶν ἐκκλησιῶν ἀβαρητί. Κατὰ δὲ τὸ ᾳχϞζ΄. σωτήριον ἔτος, ἐπὶ τοῦ παναγιωτάτου καὶ σοφωτάτου πατριάρχου κυροῦ Καλλινίκου τοῦ Β΄. πατριαρχεύοντος τὸ β΄, δεινή τις κατέλαβε τὰς ἐκκλησίας ἀ-

νάγκη· οἰστρούμενοι γάρ τινες πλεονεξίας μύωπι εἰς τοσοῦτον ἀσεβείας ἐξώκειλαν, ὥστε καὶ τὰς ἁπανταχοῦ ἐκκλησίας εἰς ἰδιοκτησίαν παρὰ τῶν κρατούντων αἰτήσασθαι, ὑποσχόμενοι διὰ πολλῶν μὲν χρημάτων ταύτην ἐξωνήσασθαι, ὡς μαλικανέ, ἀποφέρειν δὲ κατ' ἔτος εἰσφοράν, ὡς μουκαδᾶν. Ἐντεῦθεν καθ' ἑκάτερον δόξαν ἐπικερδὲς τὸ προτεθὲν τοῖς κρατοῦσι, καὶ τοῖς βασιλικῶς νεμομένοις ἐν σφίσι σύμφωνον τὰς γνώμας εἰς ἔργον ἐκίνησεν· ἐφόβισε γοῦν ἡ τοιαύτη σατανικὴ ἐπίνοια σύμπασαν τὴν ἐκκλησίαν, καὶ τοὺς αὐτῆς προστάτας, μάλιστα τοὺς κορυφαίους εἰς μεγίστην ἀγωνίαν ἐνέβαλλεν. Ὅθεν πρὸς τὸ κράτος, εἰς Ἀδριανούπολιν τότε ὄν, προσδραμόντες ἐπισχεῖν ἐσπούδασαν· διεσάφησαν οὖν τὴν ἐκ τῆς τοιαύτης ἐπιβουλῆς βλάβην ἐπὶ τῆς νενομισμένης εὐταξίας, καὶ τὸ ἀσύμφυλον καὶ ἀπρόσφορον τῆς ἀδίκου ταύτης ἰδιοκτησίας ἀπελέγξαντες, ἔστησαν τότε, δόξαντες ἀπώσασθαι τὴν ἐπήρειαν· προσεδαπάνησαν μέντοι πάμπολλα χρήματα, ὥστε μεταπεῖσαι τὰς γνώμας τῶν δυναστευόντων, ὑπὲρ ὧν, εἰ καὶ κοινὴ ἐγένετο συνεισφορά, πλεῖστα ὅμως ἀνεδέξατο ὁ οἰκουμενικὸς θρόνος, ὡς ἔστι περὶ τούτων ἁπάντων κατιδεῖν ἐν τῷ κατεστρωμένῳ ἐν τῷ ἱερῷ κώδικι πατριαρχικῷ συνοδικῷ γράμματι ἐν ἔτει σωτηρίῳ ͵αχϞζ'. κατὰ μῆνα μάϊον ἰνδικτιῶνος ε'.

Ἔκτοτε οὖν τὰ τῆς νῦν κατατρυχούσης δασμοφορίας καὶ τὰ βάρη καὶ δάνεια τῶν ἐκκλησιῶν κατήρξαντο· εἰ γὰρ πρὸς καιρὸν τότε ἀπέστησαν, μετ' ὀλίγον μέντοι αὖθις ἀνακινοῦντες καὶ αὖθις τὰ αὐτὰ ποιοῦντες οὐκ ἔπαυον, πόρον πλεονεξίας τὴν δαιμονικὴν ἐκείνην ἐπίνοιαν οἱ τὰς καθ' ἡμῶν ἐπηρείας ἀδίκως τεκταίνοντες πορισάμενοι· διὸ καὶ πρὸς τὰς δαπάνας ἀποναρκήσαντες καὶ πατριάρχαι καὶ ἀρχιερεῖς, διέγνωσαν συνοδικῶς ἐπὶ τοῦ ἀοιδίμου πατριάρχου Κυπριανοῦ τοῦ Α' πατριαρχεύοντος τὸ β'. ἀναδέξασθαι τὴν ἐκτίμησιν ταύτην καὶ τὴν ἐτήσιον εἰσφοράν, ὅ ἐστι μιρί, ὑποσχεθῆναι ἐκπληροῦν οἷα

διετάγη τὴν μεγάλην ἐκκλησίαν, ἵνα παῦλαν εὕρῃ τῆς διενοχλήσεως, καὶ καταργήσῃ τὰς μανιώδεις ὁρμάς, καὶ ἀποκόψῃ εἰς τέλος τὰς ἐλπίδας τῆς κακομηχάνου κοσμικῆς σκευωρίας· ὁ δὲ βαρὺ ἡγησάμενος κατ' αὐτὸν ὑπαγαγεῖν εἰς φόρον τὰς ἐκκλησίας, λογιζόμενος τὴν ἑξῆς ἐκ τούτου τῶν ἐκκλησιῶν ταλαιπωρίαν καὶ τὰς τῶν φιλαδίκων καὶ ἀνοσίων εἰς πλεονεξίαν προφάσεις, ἠρετίσατο μᾶλλον ἐκστῆναι τοῦ θρόνου ἢ ἐνδοῦναι τῇ βίᾳ τῶν φιλαδίκων. Τοῦ δὲ ἐκπεσόντος, ἀντεισήχθη Κοσμᾶς ὁ Γ'. ὁ ἀπὸ Σιναίου κατὰ τὸ ͵αψιγ'. σωτήριον ἔτος, ὃς καὶ ὑπέσχετο τὴν ταχθεῖσαν κατ' ἔτος φορολογίαν. Οὕτως οὖν ἀρξάμενον τὸ κακὸν ἀπὸ τοῦ ͵αχϞζ' ἔτους, καὶ διὰ μέσου παντοίως καταπολεμηθέν, περιτραπὲν οὐκ ἀπεκόπη, καὶ ἀλλοιωθὲν ἐπὶ τὰς ἐκκλησίας καὶ τοὺς ἀρχιερεῖς ἐπέπεσε δόξαν ἄφυκτον. Διὰ ταῦτα οὖν τὰ τῆς μεγάλης ἐκκλησίας δάνεια ἐκ παντὸς γένους ἐπλήθυναν ἐν ὀλίγοις τουτοισὶν ἔτεσιν, ὥστε κατὰ τὸ ͵αψκ'. ἔτος ἐπὶ τοῦ ἀοιδίμου πατριάρχου Ἱερεμίου τοῦ Γ'. εἰς χιλιάδας νομιζομένων ἀργυρῶν ταλάντων, εἴτουν π ο υ γ γ ε ί ω ν, συμποσοῦσθαι σχεδὸν τρεῖς. Ἰδὼν δὲ ὁ πατριάρχης ὡς οὐδὲ τοὺς τόκους ἀποτιννύειν ἐπήρκει, ἀπεκδυσάμενος τὴν συνήθη πατριαρχικὴν σκευήν, ἀποστείλας τε τοὺς ἐνδημοῦντας ἐν τῇ αὐλῇ ἀρχιερεῖς εἰς τὰς ἰδίας αὐτῶν ἐπαρχίας, καὶ διώξας τοὺς πολλοὺς ἱερεῖς καὶ ἱεροδιακόνους τῆς μεγάλης ἐκκλησίας, μόνους λιπὼν δύο ἀμοιβαδὸν καθ' ἑβδομάδα ἱερουργοῦντας, ἐνεδύσατο τὰ ρακώδη ἐπὶ κωδίας καθεσθείς, πενίαν πρὸς τοὺς δανειστὰς ἀποκλαιόμενος, ὑφ' ὧν ἐπὶ τοῦ ὑψηλοῦ βήματος ἐγκαλούμενος, ὁμολογῶν ὀφείλειν μέν, μὴ ἔχειν δὲ ἀποδοῦναι ὅσα ὤφελεν, εἰς φυλακὴν ἐνεβλήθη· ἐπιμείνας δέ, τέλος δι' ἀποκοπῆς ᾧ μὲν ἥμισυ, ᾧ δὲ τρίτον, ᾧ δὲ καὶ ἔλαττον πληρώσας ἀπελύθη, καὶ τὸ βαρὺ χρέος τῆς ἐκκλησίας διέλυσε, καὶ μετακαλεσάμενος τοὺς ἀρχιερεῖς τὰ εἰς τὰς ἀποκοπὰς ἀποδοθέντα ἀνεδέσατο, καὶ ἐπὶ τὰς ἐπαρχίας ἀπέλυσε. Τοῦτο

γοῦν πρῶτον ἐνομίσθη χρέος ἐπαρχίας, κοῦφον πάνυ ὂν καὶ βραχύ· αἱ μικραὶ δὲ καὶ πόρρω τῆς βασιλευούσης ἄνετοι ὅλως ἀφέθησαν.

---

(1) Ἶσον ἀπαράλλακτον τοῦ πρωτοτύπου ἐπὶ τῆς πατριαρχείας τοῦ ἀοιδίμου ἐν πατριάρχαις κυρίου Καλλινίκου κατὰ τὸ ͵αχϛζ΄ σωτήριον ἔτος, κατὰ μῆνα Μάϊον ἰνδικτιῶνος ε΄, ἐξενεχθὲν ἐκ τοῦ ἱροῦ κώδηκος.

† Καθάπερ ἄστροις τοῖς τε μείζοσι τοῖς τε ἐλάττοσι διαυγάζει τὰ οὐράνια σώματα τὴν οἰκουμένην ἅπασαν, καὶ τὰς ἐν αὐτῇ γενέσεις ἀπεργάζεται, καὶ μέχρι τῶν ἐνδοτάτω γῆς, ὅθεν ἄρουραι ποικίλον ἀμητὸν ἀποφέρουσι, δένδρα καὶ φυτὰ παντοδαποὺς καρποὺς καὶ σπέρματα φύουσιν εἴς τε τροφὴν ζώων, εἴς τε νοσημάτων ἀπαλλαγὴν καὶ ὑγείας ἀσφάλειαν, ὅθεν ζώων ἀριθμοῦ κρείττω παντὸς εἴδη, ὅθεν μετάλλων ὡραιότης, καὶ λίθων βαρυτίμων ἀγλαΐα καὶ κάλλος, καὶ ἵνα μὴ καθ' ἕκαστον ἰοῦσιν ὁ λόγος μηκύνεται, καὶ πάμπολλα ἀπορρεῖ τοῖς ἀνθρώποις καλὰ κἀγαθά· καὶ αἰνοῦμεν τὸ θεῖον τοῖς λόγοις οὐχ ἧττον ἡμεῖς, ᾗ τὰ πάντα διηγεῖται τὴν δόξαν αὐτοῦ· οὕτω τοι καὶ κατὰ τὴν ἁπανταχοῦ ἁγίαν ἐκκλησίαν φωταγωγοῦσι τὸν χριστώνυμον λαὸν οἱ ἐπίσκοποι, παραπλησίως τοῖς ἐλάττοσιν ἀστράσιν· ὑπερανίσχει δὲ ὁ τῶν μητροπολιτῶν ἱερὸς χορός, καὶ ὑπὲρ αὐτοῦ αἴρεται ἡ σεβάσμιος τριὰς τῶν ἀρχιεπισκόπων Ἀχριδῶν, Κύπρου καὶ Πεκίου, ὑπερανέστηκε δὲ πάντας ἡ θεοπρόβλητος τετρὰς τῶν πατριαρχῶν Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, καὶ Ἀντιοχείας, καὶ Ἱεροσολύμων, τοῖς φωτεινοτάτοις ἄστροις ἐοικυῖα, καὶ ταῖς ἀκτῖσι περιθάλπουσα τὴν ἁγίαν τοῦ

(1) Τὸ συνοδικὸν τοῦτο ἔγγραφον ἀνῆκον εἰς τὴν σημείωσιν ταύτην (Α) καταχωρεῖται ἐν τῷ χειρογράφῳ τοῦ Μακραίου ἐν τέλει πασῶν τῶν σημειώσεων ἄνευ παραπομπῆς τινος. Σ.

Χριστοῦ ἐκκλησίαν· καὶ δῆτα τῇ διαφορᾷ καὶ ποικιλίᾳ τῶν βαθμῶν αὕτη ἡ θεόθεν εὐθετηθεῖσα εὐταξία, καὶ εὐπρέπεια διαλάμπει, μηδαμῶς δ' ἐκ τῆς διαλλαγῆς ταύτης διασπᾶται ἡ τῆς ἐκκλησίας ἕνωσις, οὔτε ἐκ τῆς συναφείας αὖ πάλιν συμφύεται ἡ μεταξὺ διάκρισις, ἀλλ' οἱ μὲν ἀνωτάτω κείμενοι θρόνοι, καὶ αἱ μετ' αὐτοὺς ἀνέκαθεν τιμηθεῖσαι ἀρχιεπισκοπαὶ σὺν τοῖς ὑποκειμένοις ἀρχιερεῦσιν αὐτονομούμενοι περιφέρονται τῇ ἰδίᾳ σφαίρᾳ τῆς κατ' αὐτοὺς διοικήσεως, τηροῦντες κατὰ πάντα τὸ ἀκέραιον καὶ ἀσύγχυτον, τῇ δὲ συμφυΐᾳ τοῦ τρόπου, καὶ τῇ συμπνοίᾳ τῆς γνώμης πάλιν ἑνοῦνται, οὔτε εἰς ἀλλότρια ἐμβατεύοντες ὅρια, οὔτε διασχιζόμενοι καὶ διαιρούμενοι τῇ ἀμιγεῖ διακρίσει τῆς πρεπούσης τούτων ἑκάστῳ διοικήσεως, τῆς τε πνευματικῆς καὶ ἀεννάου, τῆς τε οἰκονομικῆς καὶ προσφάτου· ὅθεν μυστηρίων κοινωνία, καὶ μετάδοσις, καὶ χάρις· ὅθεν διαδοχαὶ καὶ ἀκολουθίαι ἱερωσύνης, καὶ ἐπισκοπαί· ὅθεν εὐχαὶ καὶ εὐλογίαι τοῖς εὐσεβέσιν ἀναχέονται, αἱρέσεων δὲ καὶ ἀλλοτρίων δογμάτων ἐπιβολαὶ ῥιζοτομοῦνται εἰς δόξαν τῆς ἁγίας Τριάδος τοῦ ἑνὸς καὶ μόνου Θεοῦ· καὶ τοῦτο δεδιδάγμεθα τοῖς θεοπνεύστοις κανόσι τῶν οἰκουμενικῶν καὶ τοπικῶν συνόδων, καὶ τοῦτ' αὐτὸ μεμαθήκαμεν ἐκ τῶν ἱερῶν λογίων τῶν θεοφόρων πατέρων καὶ διδασκάλων τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας, καὶ τοῦτο πρεσβεύομεν ἡμεῖς τε, καὶ πάντας παραινούμεθα τηρεῖν καὶ φυλάττειν ἀπαρασάλευτα τὰ πρεσβεῖα τῶν ἐκκλησιῶν. Καὶ νῦν, ἐπειδή τινες μαθηταὶ μὲν τοῦ Σατανᾶ, οὓς αἰσχυνόμεθα λέγειν ὀνομαστί, λαβὴν εὑρόντες τὴν κατὰ κτῆσιν τῶν ἐξωτερικῶν ὀφφικίων πώλησιν, ἣν μ α λ ι κ ι α ν ὲ φράζουσιν, ἐτόλμησαν εἰς τοῦτ' αὐτὸ δικτῦραι τὰς ἁπανταχοῦ ἐκκλησίας, ὥστε καὶ αὐτὰς μηδὲν ἧττον τῶν ἐξωτερικῶν μ ο υ κ α τ ά δ ω ν πωληθῆναι τοῖς πλείονα παρέχουσι, καὶ ὑποσχόμενοι πληρῶσαι ποσότητα χρημάτων ὑπερβαίνουσαν, μονονοὺκ συνηρπάσαντο τὴν γνώμην καὶ συναίνεσιν τῶν ἐξουσιαστῶν, καὶ διε-

κινδύνευσεν ἐκ ταυτησὶ τῆς παραβόλου ὁρμῆς διαφθαρῆναι τὸ πᾶν, καὶ καταπατηθῆναι τὰς ἁπανταχοῦ ἐκκλησίας ἐπιβιβάσεσιν ἀλλοφύλοις. Ἡμεῖς δὲ τῇ ἐξ ὕψους εὐμενείᾳ τεθαρρηκότες, προσεπεδράμομεν καὶ προσεπεπτώκαμεν αὐτοκρατορικῷ ἐδάφει, τῇ τε διασαφήσει τῆς σατανικῆς ἐξωλείας, καὶ τοῖς ἀναλώμασιν, ἀπεσείσαμεν τὸν κοινὸν ὄλεθρον. Καὶ συνελθόντες ἄρ' οὖν ἥ τε ἡμετέρα μετριότης, καὶ ὁ μακαριώτατος καὶ σοφώτατος πατριάρχης Ἱεροσολύμων κύριος Δοσίθεος, καὶ οἱ παρατυχόντες ἐν Ἀδριανουπόλει ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι, τιμιώτατοι καὶ λογιώτατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καὶ ἐντιμότατοι ἄρχοντες, ὡς κατ' οὐδένα τρόπον δυνάμενοι ἀπαντῆσαι μόνοι τῷ μεγέθει τῶν ἐξ ἀνάγκης κοινῆς καὶ ἐπηρείας καὶ συμφορᾶς περιφανοῦς καὶ πασιδήλου τῶν ἁπανταχοῦ ἐκκλησιῶν γενομένων ἀναλωμάτων εἰς ἀπαλλαγὴν αὐτῆς, εὕρομεν εὔλογον, ὅπως ἡμεῖς μὲν ὑποστῶμεν σχεδὸν ὅλον τὸ ἄχθος τῆς δαπάνης, ἐπιβοηθήσουσι δὲ οἱ ἐπὶ μέρους καὶ οἱ λοιποὶ πατριαρχικοὶ θρόνοι, καὶ αἱ αὐτόνομοι ἀρχιεπισκοπαί, ἵνα τὸ ἐπιδήλως κοινὸν κακὸν κοινοῖς βοηθήμασιν εἴη ἀποτετμημένον, καθὼς ἐν ἰδίοις γράμμασι δεδήλωται. Ἵνα δὲ μὴ εἰς παράδειγμα γένηται ἡ ἐξ ἀνάγκης γεγονυῖα αὕτη συνδρομὴ καὶ βοήθεια, καὶ λαβὴν ἔχῃ τις τῶν μεταγενεστέρων οἰκουμενικῶν πατριαρχῶν τῷ ἅπαξ καὶ διὰ κοινὴν θεραπείαν γεγονότι παραχρώμενος, καὶ εἰς ἰδίαν πλεονεξίαν αὐτὸ παρεξηγούμενος, ἀπαίτησιν ἢ μικρὰν ἢ μεγάλην, ἢ λόγῳ βοηθείας ἢ ἄλλῃ τινὶ προφάσει καὶ ἀφορμῇ ποιῆσαι πρὸς τοὺς αὐτονόμους, εἴτε πατριαρχικοὺς θρόνους, εἴτε ἀρχιεπισκοπικὰς καθέδρας, γνώμῃ κοινῇ συνοδικῶς ἀποφαινόμεθα, ἵνα εἴ τις τολμήσῃ τὸ λοιπὸν ὁποιανδήποτε σκῆψιν προτεινόμενος, χρημάτων ἀπαιτήσει, καταπατῆσαι τὰ ἀνέκαθεν πρεσβεῖα καὶ τὴν ἀκαταζήτητον ἐλευθερίαν τῶν λοιπῶν ἁγίων ἐκκλησιῶν, καὶ εἴ τις συντρέξῃ καὶ βοηθήσῃ εἰς τὸ παράνομον τοῦτο ἔργον

ἱερωμένος ἢ λαϊκός, εἴησαν πάντες ὁμοῦ ἀφωρισμένοι παρὰ Πατρός, υἱοῦ καὶ ἁγίου Πνεύματος καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι, καὶ ἔνοχοι τοῦ πυρὸς τῆς γεένης. Διὸ ἐγράφη αὕτη ἡ συνοδικὴ ἀπόφασις, καὶ ἐδόθη εἰς χεῖρας τοῦ μακαριωτάτου καὶ σοφωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Δοσιθέου, καταστρωθεῖσα καὶ ἐν τῷ ἱερῷ τῷδε κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας εἰς ἔνδειξιν καὶ ἀσφάλειαν.

† Ὁ Κυζίκου Κύριλλος. † ὁ Χαλκηδόνος Γαβριήλ. † ὁ Ἀδριανουπόλεως Ἀθανάσιος. † ὁ Ῥόδου Κωνστάντιος. † ὁ Διδυμοτείχου Ἱερεμίας. † ὁ Δρύστρας Ἀθανάσιος. † ὁ Νικομηδείας Παρθένιος. † ὁ Τουρνόβου Θεοδόσιος. † ὁ Φιλιππουπόλεως Νεόφυτος. † ὁ Ἰωαννίνων Κλήμης. † ὁ Ἀγχιάλου Δανιήλ. † ὁ Μαρωνείας Καλλίνικος.

Β. (σελ. 204). Ἐπὶ τοῦ ἀοιδίμου πατριάρχου Κυρίλλου τοῦ Ε'. πατριαρχεύοντος τὸ πρῶτον, ἐξεφωνήθη ἐν τῇ ἀνατολικῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ, ὅτι οἱ λατῖνοί εἰσιν ἀβάπτιστοι, καὶ τοὺς ἐκ τῆς λατινικῆς ἐκκλησίας προσερχομένους τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ ἐπετράπη βαπτίζειν· ἀπὸ γὰρ τοῦ σχίσματος μέχρι τοῦ ‚αψν'. σωτηρίου ἔτους, καὶ πρὸ ἁλώσεως τῆς Κωνσταντινουπόλεως καὶ μετὰ τὴν ἅλωσιν, κατὰ τὸν ὅρον τὸν ἐπὶ Συμεὼν τοῦ πατριάρχου, τοὺς προσιόντας μύρῳ ἔχριζον, οὐδ' ἐνεκάλεσε τὴν δυτικὴν ἐκκλησίαν ἡ ἀνατολικὴ πρίν, ὅτι ἠθέτησε τὸ κυριακὸν καὶ ἀποστολικὸν βάπτισμα, οὔτ' ἐπ' ἐκείνης τῆς ἐν Φλωρεντίᾳ συνόδου, οὔτε ὕστερον· διότι ἐφύλαττον τὸ ἀρχαῖον καὶ θεοπαράδοτον βάπτισμα· εἰ δέ που τι τοιοῦτον ἐγίνετο, οἷον ἐπίχυμα ἢ ῥάντισμα, ὅπερ ὕστερον κατεκράτησεν, οὐκ ἦν κοινὸν οὐδὲ γνώριμον· ἐλέγετο μέντοι καί που τι τοιοῦτον γίνεσθαι, καὶ μερικὸν ἦν τὸ σφάλμα, οὐ καθ' ὅλης ἐκκλησίας ἔγκλημα. Ἐπεὶ δὲ κατὰ τὸν ΙΗ'. ἐκκλησιαστικὸν αἰῶνα

τὸ κακῶς παρεισαχθὲν ράντισμα ἐξεχύθη καὶ ἐπλεόνασεν εἰς τὴν δύσιν, καὶ τὸ θεοπαράδοτον βάπτισμα ἠμελήθη μᾶλλον, ἢ μετεποιήθη εἰς ἐπιχύσεις καὶ ραντίσματα, τοὺς οὕτω ραντισθέντας, ὡς μὴ τὸ θεοπαράδοτον βάπτισμα δεχθέντας, ἀβαπτίστους ἐκήρυξε καὶ προσιόντας βαπτίζειν προέτρεψεν· οὐκ ἐξέθετο μέντοι εἰσέτι περὶ τούτου ὅρον ἀπαράβατον, ἐλπίζουσα τὴν ἐπιστροφὴν καὶ διόρθωσιν τῶν ἐν τῇ δύσει, καὶ τὴν κάθαρσιν τοῦ πλημμελοῦς αὐτῶν καὶ ἀσυμβάτου τύπου, ἐν ᾧ περισσοῖ ἀδιαφόρως τὸ βάπτισμα τῇ ἐπιχύσει καὶ τῷ ραντίσματι ὁ διατάσσων ἐν τῷ σφῶν εὐχολογίῳ· ἢ γάρ, φησι, βαπτίζεις, ἢ ἐπιχέεις, ἢ ραντίζεις· διὸ καὶ βαπτίζειν ἐπάναγκες τοὺς προσιόντας τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ τοὺς μὲν ὡς ἀβαπτίστους, τοὺς δὲ ὡς ἀμφιβαλλομένους διὰ τὴν τοῦ τύπου σύγχυσιν. Τοὺς γὰρ ἀμφιβαλλομένους εἰ ἐβαπτίσθησαν, βαπτίζειν ὁ κανὼν διακελεύει. Αὕτη γοῦν ἡ ἐποχὴ ἀφ' ἧς ἤρξατο καταβοᾶν τῆς δυτικῆς ἐκκλησίας ἡ ἀνατολικὴ ἐκκλησία ἐγκαλοῦσα, ὅτι ἠθέτησε τοῦ Κυρίου τὸ βάπτισμα, ἑλομένη τὰς ἐπιχύσεις καὶ τὰ ραντίσματα, καὶ οὕτως ἐπιχεομένους καὶ ραντιζομένους ἀβαπτίστους ἐκήρυξε, καὶ προσιοντας βαπτίζειν τοῖς ἱερεῦσιν ἐπέτρεψεν· ὡς ἄρα ἀμαθῶς, ὡς ἀλόγως καὶ λίαν προπετῶς καὶ πόρρω ἀληθείας ὁ μήτε ἐκκλησιαστικὴν ἱστορίαν μαθών, μήτε ἐθνικὴν ἐξακριβώσας, καὶ περὶ πάντα ἀναιδῶς κατατολμήσας καὶ ἀνυποστόλως καταψευδόμενος ἀδιάκριτος ἱστορικὸς καὶ ψευδώνυμος φιλόσοφος Βολτέρος ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ γράφει, ὅτι οἱ Γραικοὶ ἀπὸ τῆς ἐν Φλωρεντίᾳ συνόδου ἤρξαντο βαπτίζειν πνευματικῶς τοὺς λατίνους ὡς ἀβαπτίστους, ὡς νῦν φησιν, ἐν τῇ Ρήγᾳ ποιοῦσιν οἱ ἱερεῖς τῶν Ρώσσων· ἀλλὰ τοιαῦτα τοῦ γενναίου τούτου τὰ συμπεράσματα καὶ τὰ φρονήματα ἄνω, κάτω, βαβυλὼν, σύγχυσις, οὐδὲν ὑγιές.

Γ. (σελ. 204). Κατὰ τὸ ͵αψιζ΄. σωτήριον ἔτος διεβίβασεν ἡ Ρώμη εἰς Συρίαν πατριάρχην Ἀντιοχείας· ἐχάρη γοῦν

ὅτι τὸ διὰ πολλῶν αἰώνων σχεδιαζόμενον ἐξετέλεσε· μέχρι γὰρ τούτου πλάττουσα ἀνδριάντας ἑαυτῇ παρίστη ἀντίτυπα πατριαρχῶν Ἀντιοχείας. Ὁ δὲ διαβὰς ἐκεῖσε παντοίους τοὺς ὀρθοδόξους καὶ τοὺς ἁπλουστέρους τούτων διέφθειρε συλήσας, καὶ πλεῖστα ἐζημίωσε τὴν ἀνατολικὴν ἐκκλησίαν ἐπὶ μακρὸν ἐκεῖ ἐπιβιούς· ἔκτοτε ἅμα ἐξεχύθη ἡ πληθὺς τῶν φρατόρων καὶ μισιοναρίων κατ' Αἰγύπτου, καὶ Παλαιστίνης καὶ Συρίας, καὶ πολλὰς ἐνοχλήσεις καὶ παντοίας σκευωρίας κατειργάσατο κατὰ τῶν ἁγίων ἀρχιερέων καὶ ἁγιωτάτων πατριαρχῶν Ἀλεξανδρείας, Ἱεροσολύμων, καὶ Ἀντιοχείας.

Δ. (σελ. 205). Οἱ προσκείμενοι τοῖς δόγμασι τῆς δυτικῆς εἴτουν Ρωμαϊκῆς ἐκκλησίας, μάλιστα ὁ τῆς Γαλλίας πρέσβυς, ὃς πάντα ἐποίει καθελεῖν τοῦ θρόνου τὸν πατριάρχην Κύριλλον.

Ε. (σελ. 209). Τῶν Ἀρμενίων τὸ ἔθνος ἐφύλαττε τὸν ἀληθῆ τύπον τοῦ βαπτίσματος· κατὰ δὲ τὸν προλαβόντα δέκατον ὄγδοον αἰῶνα, ἀγόμενον καὶ φερόμενον ὑπὸ τῶν μισιοναρίων καὶ πολλῶν ὑπαγομένων τοῖς δόγμασι καὶ ἐθίμοις τῆς Ρώμης, συνέχεε τὴν ὀρθὴν παράδοσιν τοῦ βαπτίσματος· ἐλεγχόμενοι δὲ τῆς ἀνατολικῆς ὀρθοδόξου ἐκκλησίας, τῆς ἄνωθεν μητρός, ἤρξαντο ἐπιδιορθοῦν καὶ ἀναλαμβάνειν τὸν ὀρθὸν τύπον· διὸ καὶ ἡ ἐκκλησία ὡς καὶ πρότερον προσιόντας μύρῳ χρίει. Οὕτω δὴ μύρῳ χρισθέντα διὰ πατριαρχικῆς συνοδικῆς ἐπιστολῆς κελευούσης, ἀνεδεξάμην Ἀρμένιόν τινα ἐν Προικονήσῳ κατὰ τὸ ͵αψξʹ. τὸ σωτήριον ἔτος ἐπὶ πατριάρχου Ἰωαννικίου τοῦ Γʹ. ἐπερωτήσας γὰρ ὁ Προικονήσου Ἀνανίας ὅπως ὀφείλει δέξασθαι τὸν προσιόντα, ἔλαβε πατριαρχικὴν συνοδικὴν γνώμην δι' ἐπιστολῆς, ὡς πρὸς τοὺς προσιόντας τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ Ἀρμενίους ἀποπτύσαντας τὰς αἱρέσεις καὶ τὰ ὀρθὰ καὶ ἄτοπα καὶ ἄπταιστα δόγματα τῆς ἀμωμήτου πίστεως καθομολογήσαντας, μύρῳ χρίειν ὀφείλει τῇ ἐκκλησίᾳ συντάσσων.

ΣΤ. (σελ. 210). Οὐδέποτε πρὶν ὑπὸ τὸ ὀθωμανικὸν κράτος δημώδης συστροφὴ ἐγένετο κατὰ πατριάρχου· παράδοξος ἄρα ἡ τόλμη· ἀλλ᾽ εἴ τις τὸ ἐπιεικὲς τοῦ τότε κρατοῦντος λογίσαιτο, δημοτικὴν εὕροι καὶ ἄνετον τοῦ ὑπηκόου τὴν ἀγωγήν, καθ᾽ ἣν αἱ συνεχεῖς ἐνοχλήσεις καὶ παντοῖαι ἐπήρειαι κατὰ τῶν ὀρθοδόξων αἱ γενόμεναι διὰ χρόνου κατά τε τὴν Ἀσίαν καὶ τὰς νήσους ὑπὸ τῶν δυτικῶν, ἔμμονον τὸ ἄλγος καὶ τὴν ὀργὴν ἀκάθεκτον ἐνεπεποιήκεσαν μάλιστα νησιώταις· δόξαντες οὖν ἐκδικεῖσθαι ἐπὶ ἀναποδράστῳ ἐλέγχῳ παρανομίας τῇ ἀθετήσει καὶ κιβδηλίᾳ τοῦ θείου βαπτίσματος ἐμπαίζοντες, καὶ ἐξουθενοῦντες τοὺς ἐπηρεαστὰς ὡς ἀβαπτίστους, καὶ τὸν πατριάρχην μὴ οὕτως ἐπεκδικοῦντα συνορῶντες, τὸ σφαδάζον τῆς κατὰ τῶν ἀλλοτρίων ὀργῆς ἐπ᾽ αὐτὸν ἐξέχεον· τὰ γὰρ πάθη ἐφ᾽ ἑαυτὸ συστρεφόμενα πολλάκις μανικώτερα γίνεται.

Ζ. (σελ. 218). Ἐπὶ τοῦ ἀοιδίμου Κυρίλλου τοῦ Ε΄. ἐτάχθησαν πρῶτον ἐπίτροποι τῶν χρηματικῶν τοῦ κοινοῦ λαϊκοί· ἀλλ᾽ ἦν αὕτη ἡ ἐπιτροπικὴ περιωρισμένη καὶ δουλική,

Η. (σελ. 221). Ὡς μεγάλη καὶ σφοδρὰ ἦν ἡ ἐπιμονὴ τῶν Φράγκων εἰς ἔξωσιν τοῦ παναγιωτάτου κυρίου Κυρίλλου καὶ κατασίγασιν τῆς περιηχούσης διαλαλιᾶς, ὅτι οἱ δυτικοί εἰσιν ἀβάπτιστοι· ἐνεῖχον οὖν ἐπαπειλοῦντες τοὺς ἄρχοντας καὶ ἀρχιερεῖς τὰ πάνδεινα καθ᾽ ἡμῶν, εἰ μὴ καὶ τὸν πατριάρχην τοῦ θρόνου ἐκστήσαιεν καὶ τοὺς διακηρύττοντας κατασιγήσαιεν.

Θ. (σελ. 222). Οὕτως ἐλέγετο πάλαι, καὶ κώμη τις ἦν ἀτείχειστος, ὅπου κατῴκει καὶ ὁ ἐπίσκοπος Βυζαντίου ἀπὸ Στάχυος μέχρι Μητροφάνους· διὸ καὶ ἐς ἀεὶ συνημμένη διέμεινε καὶ κώμη ἴσα καὶ πόλις τῷ Βυζαντίῳ ὑπὸ τὴν ἄμεσον κυριαρχίαν τοῦ πατριάρχου. Μετωνομάσθη δὲ ὕστερον Γαλατᾶς συνοικισθεῖσα μετὰ τὴν ἔξωσιν τῶν Φράγκων ἐκ Κωνσταντινουπόλεως, ὑφ᾽ ὧν καὶ περιτειχισθεῖσα ἀλαζονικῶς ἐπήρθη καὶ δουλικῶς ὑπέκυψε τῇ κυρίᾳ.

Θ.΄ (σελ. 225). Παράδοξος ἔδοξεν ἡ προσταγὴ τοῦ ὑπερτάτου ἐπιτρόπου Ραγήπου ἐν τῇ παραστάσει τοῦ ψηφισθέντος πατριάρχου Σεραφείμ, εἰπόντος πρὸς αὐτὸν αὐτολεξεί, ὀρθοδοξίαν γκιοζέτιν! Ἀλλὰ τοῦτο συνετῶς ἅμα καὶ πολιτικῶς ἐξεφώνησε, βουλόμενος καταπαῦσαι τὰ σκάνδαλα καὶ τὸν λαὸν καθησυχάσαι, καὶ πρὸς τὸ ἴδιον ἔργον τὸν πατριάρχην ἀπευθύνας, μὴ προβλέποντα, μηδὲ πτοούμενον τὰς ὑλακὰς τῶν ὑπεναντίων· ἄλλως τε πολυμαθὴς ὢν καὶ πολύπειρος, καὶ διὰ χρόνου ἐπ' Αἰγύπτου καὶ Συρίας ὑπατεύσας, καὶ τὰ ὑπὸ τῶν δυτικῶν κατὰ τῶν ὀρθοδόξων διενεργούμενα καταμαθών, καὶ τὰς μεταξὺ ἡμῶν καὶ τῶν δυτικῶν ἐξακριβώσας διαφοράς, καὶ τὰ ἀπ' ἀρχῆς ἄδικα καὶ κακεντρεχῆ αὐτῶν βουλεύματα καθ' ἡμῶν καὶ ἐπιχειρήματα καταγνούς, ἐνστερνιζόμενος τὴν ἡμῶν ἀπ' αὐτῶν ἀποστροφήν, ἐνίσχυεν ἐπιστηρίζων τὸν πατριάρχην τῇ προστασίᾳ τῶν αὐτοῦ δογμάτων καὶ προΐστατο τῶν ἡμετέρων δικαίων κατὰ τῶν ἀντιφερομένων ἡμῖν δυτικῶν.

Ι. (σελ. 227). Ἦν δὲ οὗτος Ἀθανάσιος ὁ Ὑψηλάντης, ἀνὴρ εὐσεβής, μέγας σκευοφύλαξ τῆς ἐκκλησίας προχειρισθείς, καὶ ὕστερον πρωτοσπαθάριος τοῦ ἀοιδίμου αὐθέντου Οὐγκροβλαχίας Στεφάνου Ρακοβήτσα.

Κ. (σελ. 227). Ἦν δὲ οὗτος Γρηγόριος ὁ Γκίκας, ὁ εὐτυχῶς τὰ πρῶτα ἡγεμονεύσας Μολδοβίας καὶ ὕστερον γενόμενος αὐθέντης Οὐγκροβλαχίας, καὶ ἐν τῷ πολέμῳ μεταστὰς εἰς τοὺς Ρώσσους, καὶ μετὰ τὸν πόλεμον ἐπανελθὼν κατὰ τὸ ᾳψοδ'. σωτήριον ἔτος αὐθέντης Μολδοβίας, καὶ μετὰ δύο ἔτη δολοφονηθεὶς ὑπὸ τῶν Τούρκων.

Λ. (σελ. 227). Τοῦ τότε Ἡρακλείας Γερασίμου καὶ Νικομηδείας Γαβριήλ, ὧν ὁ μὲν διὰ φιλίαν μεγιστάνων, ὁ δὲ διὰ τόλμην καὶ ἀγχίνοιαν μάλιστα ἴσχυσεν· ἤρξατο δὲ εὐδοκιμεῖν οὗτος, ἐξυπηρετήσας τῇ χρείᾳ τῆς μεγάλης ἐκκλησίας, ἀπελ-

θῶν εἰς Δακίαν καὶ μετακομίσας εἰς ἐξόφλησιν τοῦ ὑπολειφθέντος τῇ ἐκκλησίᾳ χρέους τὸ ἔλεος τοῦ ἀοιδίμου αὐθέντου Μιχαὴλβοδα Ρακοβήτσα.

Μ. (σελ. 227). Οἱ ἐν τῇ Κωνσταντινουπόλει εὐσεβεῖς μετὰ τὴν ἅλωσιν εἶχον δι᾽ ἐτῶν οὐκ ὀλίγων ἐκ τῶν προτέρων ἱερῶν ναῶν μολυβδοσκεπεῖς τινας καὶ θολωτούς· κατὰ γὰρ τὴν γενομένην συνθήκην τῇ ἑξῆς τῆς ἐφόδου τῶν Ὀθωμανῶν ἐν τῇ πόλει, τοὺς μὲν πρὸς θάλασσαν καὶ τὸ παλαιὸν παλάτιον ἐβεβήλωσαν οἱ Τοῦρκοι, τοὺς δὲ πρὸς ξηρὰν καὶ πρὸς τὸ ὕστερον ἐπὶ Παλαιολόγων παλάτιον παρέλαβον οἱ εὐσεβεῖς. Παρῃτήσατο μέντοι ὁ πατριάρχης τὸν περίφημον ναὸν τῶν ἁγίων Ἀποστόλων διὰ τὴν κύκλῳ τότε ἐρήμωσιν, καὶ τὸ πατριαρχεῖον μετέστησε πρὸς τὸν ναὸν τῆς Παναχράντου, ὅπου καὶ διετέλεσεν ἐπὶ τριῶν βασιλέων μετὰ τὴν ἅλωσιν. Ἐπεὶ δὲ ὁ Ὀθωμανῶν βασιλεὺς Σελίμης ὁ Α′ ἔμαθεν, ὡς τὰ ἐν χερσὶ τῶν εὐσεβῶν τῆς συνθήκης ἔγγραφα ἔν τινι αἴφνης ἐμπρησμῷ ἀπώλοντο, βουλόμενος καὶ τὴν γνώμην αὐτῶν ἀπαλεῖψαι καὶ καταδουλαγωγῆσαι τοὺς ἐν τῇ πόλει χριστιανούς, ἐπαπειλήσας φόνον καὶ ὄλεθρον μὴ μεταθεμένους τῆς εὐσεβείας, ἠρκέσθη περισχεῖν σφῶν τοὺς ἀρχαίους ναούς, ὡς ὑπομνήματα λαμπρὰ ὄντας καὶ ἀναντιρρήτους μαρτυρίας τῶν ἐπὶ τῆς συνοικήσεως συνθηκῶν· ἀλλ᾽ ἔμαθεν οἷς ἐδόκει σπουδάζειν ἐπονομάσας τὸ πατριαρχεῖον φετιχιὲ τζαμισί, ὡς δευτέρας οἱονεὶ ἁλώσεως κτῆμα. Ἐκ γὰρ τούτου δῆλα τὰ τῆς συνθήκης καὶ τὰ ἱστορούμενα περὶ τῆς ἁλώσεως ἀψευδῆ, ὅτι τὸ ἥμισυ τῆς πόλεως δι᾽ ἐφόδου τῶν Ὀθωμανῶν ἑάλω, τὸ δὲ ἥμισυ τῇ ἑξῆς διὰ συνθηκῶν παρέστη, ἐν οἷς ἦν καὶ τῶν προτέρων ναῶν ἐν μέρει κατάσχεσις. Οἱ γὰρ τῶν πρὸς χέρσον ἐπάλξεων, καὶ πύργων καὶ πυργοβάρεων, καὶ τῶν ἐντὸς ἐρυμνῶν στρατιῶται καὶ λοιποὶ φύλακες, μένοντες ἐφ᾽ ὅπλοις δι᾽ ὅλης ἐκείνης τῆς νυκτός, γνώμην κοινὴν ἔθεντο ἀνδρείως θανεῖν· συνεσκευάζοντο

οὖν ἐν ἀπογνώσει πυρὶ καὶ ξίφει διαμάχεσθαι πρὸς τοὺς πολεμίους, ὥστε μήτε λείψανα τῆς πόλεως ὑπολειφθῆναι μήτε αὐτοῖς, μήτε τοῖς παρασπουδάσασι· ταῦτα δὲ μαθὼν ὁ τότε ἁλωτὴς καὶ δείσας τῆς ἀπογνώσεως τὰ ἀποτελέσματα ἐπὶ συνθήκαις ἐκάλει παραδοῦναι τὴν πόλιν, καὶ δοὺς καὶ λαβὼν τὰ πιστὰ καθησύχασε συνοικήσας. (ὅρα περὶ τούτων καὶ τὸν εὐκλεέστατον ἡγεμόνα Δημήτριον Καντεμίρην, Ὀθωμανικῆς ἱστορίας βιβλ. γ΄. σημ. ν΄. φύλλον 117 ἐν γαλλικῇ μεταφράσει). Καταβιάσας γοῦν ὕστερον ὁ Σελίμης καὶ ἐξώσας τῶν ἐπιφανῶν ναῶν, καὶ παραγκωνισάμενος καὶ ἐξευτελίσας ἐν τῇ πόλει τοὺς εὐσεβεῖς, ταύτης δεύτερος ἁλωτὴς ἠθέλησε καλεῖσθαι, καὶ τὴν δραματουργίαν αὐτοῦ ἐπὶ τὸ πατριαρχεῖον εὐφήμησεν, ἐξώσας τὸν πατριάρχην εἰς μικρὸν καὶ χθαμαλόν τινα ναὸν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, εὐκτήριόν ποτε μοναζουσῶν (1). Τοιούτους δὲ καὶ λοιποὺς ἄλλους ἐν τῇ Κωνσταντινουπόλει ἔκτοτε περιεποιήσαντο οἱ εὐσεβεῖς, στερηθέντες τῶν ἐπιφανῶν καὶ μεγάλων. Ἦν γὰρ αὐτοῖς ἐπιτετραμμένον ἐπισκευάζειν πως, καὶ κατὰ καιροὺς ἀνήγειραν εὐρύναντες καὶ καταλλύναντές τινας μέχρι τοῦ ᾳψλ΄. σωτηρίου ἔτους· ἐξῆς δὲ ἡ δεισιδαιμονία ἐπισχύσασα, ἢ μᾶλλον ἡ ἀσέβεια μανεῖσα διόλου ἀπεῖρξε, καὶ τὴν ἐπισκευὴν τῶν μικρῶν τούτων ἱερῶν ἐκώλυεν, ὥστε μὴ κέραμον τούτοις ἐπιβαλεῖν, μήτε κάρφος ἐμβαλεῖν μήτε τοῖς πέλας κελλείοις τῶν ἱερέων ἐπέτρεπε· διὸ ὁ κύριος Σεραφεὶμ τῆς δημοχαροῦς φαιδρότητος δραξάμενος τινὰς ἐπεσκευάσατο χρῄζοντας διορθώσεως.

Ν. (σελ. 228). **Μετάφρασις** τοῦ ὑψηλοῦ χάτι χουμαγιοῦν, τὸ ὁποῖον ὁ κραταιότατος καὶ πολυχρόνιος ἄναξ ἀπὸ

(1) Τὰ ἐνταῦθα ἡμαρτημένως διηγούμενα περὶ τῆς ἁρπαγῆς τῆς Παμμακαρίστου, ἀληθέστερον ἐκτίθενται ἐν τῷ ἡμετέρῳ σχεδιάσματι περὶ Ἱερεμίου Β΄. (σελ. οε΄. — πβ.). Σ.

μεγάλης εὐσπλαγχνίας ἠλέησεν ἤδη εἰς τὸ Πατριαρχεῖον καὶ εἰς ὅλον τὸ γένος μας.

« Κορυφαῖε τῶν ἀρχόντων τοῦ γένους τῶν χριστιανῶν, πατριάρχα τῶν Ρωμαίων τῆς Κωνσταντινουπόλεως, αὐξηνθείη ἡ ὑποταγή σου! Διὰ τοῦ παρόντος βασιλικοῦ ὁρισμοῦ χάτι χουμαγιοῦν, φθάνοντος εἰς ἐσένα, ἔστω εἰς εἴδησίν σου, ὅτι οἱ εὑρισκόμενοι ἐνταῦθα εἰς τὸ κατώφλιον τοῦ τάχτι τῆς εὐτυχοῦς μου βασιλείας μητροπολῖται Ρωμαῖοι καὶ πάντες οἱ γέροντες τοῦ γένους τῶν Ρωμαίων ἔδωκαν εἰς τὸ βασιλικόν μου καὶ εὐτυχὲς ρεκιάπι ἀναφορὰν βουλλωμένην κατὰ λόγον μαχζαρίου, διαλαμβάνουσαν, ὅτι οἱ Ρωμαῖοι οἱ ραγιάδες μου ἄνωθεν καὶ ἐξ ἀρχῆς κατὰ τὸν ἰτζρὰ καὶ ἐνέργειαν τῶν δογμάτων τοῦ ἀϊνιοῦ τους, μὲ τὸ νὰ ἀπέχουν καὶ νὰ φυλαχθοῦν ἀπὸ τὴν ὁδὸν τῆς ματαίας θρησκείας τῶν Φράγκων, ὅταν ἔκαμνε χρεία νὰ ἀλλαχθῇ ὁ πατριάρχης τους αὐτός, ἀναμεταξύ τους ἐδιάλεγαν καὶ ἐψήφιζαν μὲ τὴν εἴδησιν ὅλων ἕνα ἄξιον καὶ εἰδήμονα ἀπὸ τοὺς μητροπολίτας, πολιτικόν, ἥμερον, καλῶς ἐπιστάμενον τὰ τῆς πολιτείας καὶ τῆς πίστεως καὶ θρησκείας αὐτῶν, εἰς τὸ νὰ τὰ ἐνεργῇ ἐπιτηδείως, καθὼς πρέπει, καὶ ἀφοῦ τὸν ἐδιάλεγαν καὶ τὸν ἐφανέροναν εἰς τὴν ὑψηλὴν πόρταν τῆς βασιλείας, ἔτσι ἐδιωρίζετο καὶ ἐπροβιβάζετο ἐκεῖνος ὁ πατριάρχης, καὶ ὅταν δὲν ἐφαίνετο κανένα σφάλμα μεγάλον ἀπ' αὐτοῦ τοῦ πατριάρχου, δὲν ἀλλάζετο, καὶ κατὰ τὰ προνόμια ὁποῦ ἔχει ὁ πατριάρχης κατεστρωμένα εἰς τὸ ὑψηλότατον περάτιον ὁποῦ εἶναι εἰς χεῖράς του, ὅτι δηλαδὴ νὰ μὴ τὸν ἐνοχλῇ κανεὶς εἰς καμμίαν ὑπόθεσιν, ἀπὸ τὰς ὑποθέσεις του ὁποῦ θεωρεῖ μὲ τὴν εἴδησιν ὁλονῶν, εἶχε πάντα τὸ ἀνενόχλητον. Ταῦτα οὖν πάντα ἐφυλάττετο ἀπαρασάλευτα ἀπὸ τὸν καιρὸν τῆς ἁλώσεως ἕως πρὸ ὀλίγου, καὶ ὅσον καιρὸν ἐφυλάττοντο τὰ προνόμια ἐκεῖνα τὰ παλαιά, ὅλοι οἱ ραγιάδες εὑρίσκοντο εἰς καλὴν κατάστα-

σιν· καὶ ἐκεῖ ὁποῦ ἦτον ἐλευθέρα ἡ διοίκησίς τους ἀπὸ κάθε σύγχυσιν, μερικοὶ ἀπὸ τὸ ἔθνος τῶν Ρωμαίων ἔχοντες συναναστροφὴν καὶ συμμιξίαν μὲ τὸ ἔθνος τῶν Φράγκων, παρακινούμενοι ἀπὸ πλεονεξίαν καὶ κτῆσιν χρημάτων, ἀκουμβίζοντες εἰς τὸ γένος τῶν Φραγκῶν ἔκαμαν πράγματα ἐναντία τῆς συνηθείας καὶ ἀλλότρια τῶν δογμάτων τους, ἔργον καὶ τέχνην κάμνοντες νὰ ἀνακατωθοῦν εἰς ἀλλαγὴν καὶ προβιβασμὸν πατριαρχῶν, καὶ εὑρίσκοντες κάποιους ἀγροίκους καὶ φθοροποιοὺς, μὲ κακουργίας καὶ μεθοδίας τοὺς ἔκαμαν πατριάρχας, καὶ ἐζήτησαν τὰ ἔξοδα τῆς πατριαρχείας ἀπὸ τοὺς μητροπολίτας καὶ τὰ ἐφόρτωσαν εἰς τὸ πατριαρχεῖον, καὶ μὲ τοιούτους τρόπους ἐκατάστησαν τὸ πατριαρχεῖον εἰς βαρύτατον χρέος, ὡς τόσον ὁποῦ καὶ τὰ ἄσπρα ὁποῦ ἐμάζοναν οἱ μητροπολῖται μὲ τρόπον ἐλεημοσύνης, καὶ τὰ ὅσα ἐσύναζαν διὰ τὸ μιρὶ τὰ ἔπερναν ἀπὸ τὰ χέριά τους, καὶ μὲ τοῦτον τὸν τρόπον οἱ μητροπολῖται στενοχωρούμενοι καὶ βιαζόμενοι ἐλάμβανον δανειακῶς ἄλλα ἄσπρα διὰ πληρωμὴν τοῦ μιρίου, εἰς τόσον ὁποῦ τὴν σήμερον κατήντησε τὸ πατριαρχεῖόν τους νὰ χρεωστῇ χίλια ἑκατὸν πενῆντα πουγγία, ὁμοίως καὶ αἱ εὑρισκόμεναι ἐκκλησίαι εἰς χεῖρας τῶν μητροπολιτῶν ἐβυθίσθησαν· καὶ ἐπειδὴ ἀπὸ αὐτὰ τὰ χρέη ἄλλα μὲν εἶναι τῶν ὀρτάδων τῶν γενιτζάρων τῆς ὑψηλῆς πόρτας μου, καὶ ἄλλα τῶν βακουφίων καὶ τῶν χάπ-ὀτζακίων τῶν ποσταντζίδων, καὶ ἄλλα ἀπὸ ἄλλους τινὰς δανειακῶς δεδομένα, τοῦ κακοῦ προϊόντος, καὶ δεδομένων τῶν διαφόρων τῶν χρεῶν τούτων, αὐξάνει καὶ πληθύνει τὸ χρέος μὲ ζημίαν καὶ βλάβην, ἡ ὁποία ζημία καὶ βλάβη ἐπιστρέφει εἰς τοὺς πτωχοὺς ραγιάδες μου. Λοιπὸν χάριν εὐσπλαγχνίας εἰς τοὺς πτωχοὺς καὶ διὰ φύλαξιν εἰς τοὺς ραγιάδες, ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς νὰ παύσουν οἱ τοιοῦτοι κακοὶ ἄνθρωποι, ὁποῦ κάμνουν τοιαῦτα ἐναντία τῆς θρησκείας τους καὶ βλαβερὰ εἰς τοὺς πτωχοὺς, καὶ συγ-

χύσεως πρόξενα εἰς τὴν ἁρμονία τοῦ πατριαρχείου, ὁποῦ τολμῶσι μὲ πλεονεξίαν καὶ αἰσχροκέρδειαν εἰς ἀλλαγὰς καὶ προβιβασμοὺς πατριαρχῶν· καὶ ἀνίσως πάλιν τέτοιόν τι συμβαίνῃ, ἕνα ἄσπρον νὰ μὴ δοθῇ ἀπὸ τὸ πατριαρχεῖον εἰς τέτοια ἔξοδα τῆς πατριαρχείας, καὶ μηδὲ ἕνα ἄσπρο νὰ μὴ ζητηθῇ ἀπὸ τοὺς μητροπολίτας πάλιν μὲ ὄνομα ἐξόδων τοῖς πατριαρχείας, ἀλλὰ τὰ ἔξοδα τῆς τοιαύτης πατριαρχείας, ἐκεῖνοι οἱ ἴδιοι ὁποῦ γίνονται πατριάρχαι καὶ οἱ βοηθοὶ καὶ οἱ συμφατριῶται αὐτῶν ἀπὸ τὰ ἴδιά των χρήματα νὰ τὰ δώσωσι. Πρὸς τούτοις ἐναντίον τῶν προνομίων, καὶ ἔξω ἀπὸ τὸ ἔθος τῶν δογμάτων, ἀνίσως ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς ἐκεῖνοι ὁποῦ γίνονται πατριάρχαι παθητικῶς ἐνοχλοῦσι καὶ στενοχωροῦσι μὲ κάποια ζητήματα ἄκυρα τοὺς μητροπολίτας, καὶ κάμνουν ἀναφορὰν κατ' αὐτῶν εἰς τὸν Ὑψηλὴν Πόρταν, ἐκείνη ἡ ἀναφορά, ἂν δὲν εἶναι βουλλωμένη μὲ ταῖς βούλλαις τῶν εὑρισκομένων μητροπολιτῶν εἰς τὸ πατριαρχεῖον, νὰ μὴ εἰσακουσθῇ. Καὶ ἐπειδὴ ἐπεκράτησε συνήθεια νὰ βουλλόνωνται ἡ ὁμολογίαις τοῦ χρέους ἀπὸ τοὺς μητροπολίτας, κατὰ τὴν τάξιν λοιπὸν τοῦ κεπιχανὲ μερικῶν μητροπολιτῶν, ἡ βοῦλλα ἂν δὲν εὑρίσκεται εἰς τὴν ὁμολογίαν ἐκείνην, ὅταν φανερωθῇ ἡ ὁμολογία ἐκείνη νὰ μένῃ ἄκυρος, μὲ τὸ νὰ ἦναι συνήθεια τοιαύτη εἰς φύλαξιν τῆς τάξεως καὶ ἁρμονίας καὶ σύνδεσμον κυβερνήσεως. Ἐπειδὴ οἱ ραγιάδες ἐζήτησαν τὴν πρόνοιάν μου, καὶ ἔκδοσιν νέου ἱεροῦ ὁρισμοῦ διὰ φύλαξιν καὶ στερέωσιν, καὶ ἐμπράκτως ἐνέργειαν τούτων ἁπάντων, ἰδοὺ κατὰ τὴν ἄνω ἐπιγραφήν μου τὴν προνοητικήν, ὁποῦ ἐβάλθη ἐπάνω εἰς τοῦτόν μου τὸν ὁρισμόν προστάζω μὲ τοῦτο τὸ βασιλικόν μου χάτι χουμαγιοὺν ἐσένα τὸν προειρημένον πατριάρχην τῶν Ρωμαίων τῆς Κωνσταντινουπόλεως τὸν νῦν, διὰ εὐταξίαν καὶ καλὴν ἁρμονίαν τῆς καταστάσεως τῶν πτωχῶν ραγιάδων μου καὶ μητροπολιτῶν, ὅτι δι' ἐκείνους ὁποῦ ἄλλοθέν ποθεν μὲ ἐναντίας τινὰς

πράξεις καὶ ἄτακτα κινήματα, ὁποῦ εἶναι ἔξω τῶν συνηθειῶν καὶ δογμάτων σας, γίνονται πατριάρχαι, τὰ ἔξοδα τῆς πατριαρχείας των ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς νὰ μὴ ζητηθοῦν ἀπὸ τὸ πατριαρχεῖον καὶ ἀπὸ τοὺς μητροπολίτας καὶ μηδὲ ἕνα ἄσπρον νὰ μὴ δοθῇ, ἀλλ' αὐτοὶ οἱ ἴδιοι ὁποῦ γίνονται πατριάρχαι καὶ οἱ βοηθοὶ καὶ σύνδρομοι αὐτῶν, τὰ ἔξοδα τῆς πατριαρχείας ἀπὸ τὰ ἴδιά τους χρήματα νὰ δώσουν· καὶ ἀνίσως ἐκεῖνος ὁποῦ γίνεται πατριάρχης κάμῃ ἄρτζι διὰ τοὺς μητροπολίτας ὁποῦ δὲν δίδουν τὰ δοσίματα, ἐκεῖνο τὸ ἄρτζι, ἂν δὲν βουλλωθῇ μὲ ταῖς βούλλαις τῶν εὑρισκομένων ἐν τῷ πατριαρχείῳ μητροπολιτῶν, νὰ μὴν εἰσακουσθῇ, ἀλλὰ νὰ ἦναι ἄκυρον· καὶ εἰς τὰς ὁμολογίας ὁποῦ βουλλόνουσι κατὰ τὴν τάξιν τοῦ πατριαρχείου μερικοὶ μητροπολῖται, ἐφ' ὅσον δὲν εὑρίσκεται ἡ βοῦλλά τους εἰς τὴν ὁμολογίαν, ἐκείνη ἡ ὁμολογία ὅταν φανερωθῇ, ἐσὺ ὦ πατριάρχα, νὰ διορίζῃς εἰς τὸ νὰ ἦναι ἄκυρος. Καὶ αὐτὴ ἡ εὐταξία καὶ ἁρμονία, διὰ νὰ γίνεται γνωστὴ εἰς πάντας, ἂς διαβασθῇ καὶ ἂς γένῃ γνωστὴ αὐτὴ ἡ ἱερά μου προσταγὴ ἐπὶ παρουσίᾳ πάντων τῶν εὑρισκομένων εἰς τὸ πατριαρχεῖον καὶ εἰς τὰς λοιπὰς ἐκκλησίας τῶν ῥ α γ ι ά δ ω ν μου τῶν Ῥωμαίων, καὶ νὰ προστάξῃς, σὺ ὦ πατριάρχα, καὶ νὰ παραγγείλῃς αὐτοὺς τοὺς ἀτάκτους ὁποῦ εὑρίσκονται εἰς τέτοια ἀτοπήματα, νὰ εὐτακτοῦσιν εἰς τὸ ἑξῆς καὶ νὰ σταθῶσιν εἰς τὰ ἴδιά των ὅρια· ἐπειδὴ διὰ νὰ φυλαχθῇ διὰ παντὸς αὕτη ἡ εὔρρυθμος εὐταξία, καὶ νὰ προσέχετε μὲ κάθε τρόπον ἀπὸ τὴν ἐναντιότητα καὶ παράβασίν της, ἐξεδόθη ἡ παροῦσά μου ὑψηλοτάτη καὶ ἀξία ὑπακοῆς προσταγή, καὶ ἤδη ἀποφηνάμενος ὥρισα, ὅτι λαμβάνοντες αὐτὴν ὅλοι σας νὰ ὑπακούσητε, ὑποτασσόμενοι εἰς τοῦτό μου τὸ βασιλικὸν χ ά τ ι χ ο υ μ α γ ι ο ύ ν, ὁποῦ κατὰ τὸν προειρημένον τρόπον σᾶς προστάζει, καὶ ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς μὲ πᾶσαν προσοχὴν νὰ φυλαχθῆτε νὰ μὴ δείξητε ἐναντιότητα εἰς τὴν ἀναίρεσίν του κα-

τ' οὐδένα τρόπον· ἔτσι νὰ ἠξεύρετε καὶ εἰς τὸ ἱερόν μου σημεῖον νὰ πληροφορηθῆτε. Ἐγράφη κατὰ τὰ τέλη τοῦ μηνὸς ρεπιγιοὺλ ἐββὲλ τοῦ ᾳρογ' ἔτους, ἐν Κωνσταντινουπόλει τῇ περιφρουρουμένῃ.»

ᾳψνθ', νοεμβρ. ιδ', ἀνεγνώσθη τὸ παρὸν ἐν πάσαις ταῖς ἐκκλησίαις ἐπ' ἄμβωνος.

Δ.

ΑΝΑΣΤΑΣΙΟΥ ΓΟΡΔΙΟΥ
ΒΙΟΣ
ΕΥΓΕΝΙΟΥ ΑΙΤΩΛΟΥ.

Βίος τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου σοφωτάτου καὶ λογιωτάτου ἐν ἱερομονάχοις κυρίου Εὐγενίου Ἰωαννουλίου τοῦ ἐξ Αἰτωλίας, ἐν ᾧ καὶ περὶ τοῦ Κορυδαλλέως τινὰ καὶ τῶν αὐτοῦ ὀπαδῶν κατ' ἐπιτομήν· συγγραφεὶς παρὰ τοῦ ἐλαχίστου ἐν ἱερομονάχοις Ἀναστασίου Γορδίου τοῦ ἐξ Ἀγράφων, ἐσχάτου τῶν αὐτοῦ χρηματίσαντος φοιτητῶν.

Πολλοὶ πολλοὺς ἔχοντες τοὺς τοῦ γράφειν σκοπούς, ὀξύτητί τε νοὸς καὶ δυνάμει λόγου κεκοσμημένοι τυγχάνοντες, ἐπὶ πολλὰς ὥρμησαν ὑποθέσεις, καὶ ταύτας ἐπ' ὄψεσι ταῖς ἑαυτῶν τιθέμενοι, συγγραφὰς ὅλας περὶ αὐτῶν ἐνεστήσαντο, καὶ τέλος αὐταῖς τὸ προσῆκον ἐπέθεντο· ἡμῖν δὲ τοῖς καὶ κατ' ἄμφω τούτων ἐπίσης ἐλαττουμένοις, τὸ σιγᾷν μᾶλλον, ἢ τὸ λέγειν καὶ γράφειν οἰκειότερον ἄν τις εἴποι καὶ ἀσφαλέστερον· ἀλλ' ἵνα μὴ τὸ ἀπὸ τούτου τυχὸν γενησόμενον ὄφελος ἀνδράσιν ἀρετῆς ἐπαινέταις, καὶ τοῖς περὶ αὐτῆς διηγήμασι τὴν ἀκοὴν ὑπέχειν ἀεὶ γλιχομένοις, μὴ εἰς φῶς ἐλθόν, καὶ καταφανὲς ὁπωσοῦν γεγονός, ζημίας οὐ τῆς τυχούσης πρόξενον γένηται, φέρε περὶ ἀνδρὸς ἐν τοῖς καθ' ἡμᾶς γενομένου χρόνοις, καὶ ἀρετῇ πάσῃ καὶ λόγῳ τὸν βίον ὅλον συγκαταλύσαντος, ἐκ πολλῶν ὀλίγα τινα συλλεξάμενοι διεξέλθωμεν· οὕτω γὰρ καὶ τούτοις συνεισενεγκεῖν τι, καὶ ἡμῖν αὐτοῖς χρέους τοῦ πρὸς

ἐκεῖνον ὀφειλομένου μοίρας τινὸς ἀπότισιν, εἰ καὶ ἄγαν μικρὰν, ἀφοσιώσασθαι δυνησόμεθα.

Εὐγενίῳ τῷ δι' εὐφήμου μνήμης ἁπανταχοῦ σχεδὸν ἔν τε τοῖς κατ' αὐτόν, καὶ ἐν τοῖς καθ' ἡμᾶς γενομένῳ χρόνοις, πατρὶς ἦν ἡ κατὰ μέσην τὴν πάλαι περίφημον Ἑλλάδα κειμένη Αἰτωλία, ἡ ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος κατὰ τὸν γεωγράφον οὕτως ὀνομασθεῖσα, πόλεων εὐδαιμονίᾳ καὶ πλήθει ἀνδρῶν ἀριθμοῦ κρείττονι κατὰ τοὺς πάλαι χρόνους τῶν Ἑλλήνων κεκοσμημένη, τὸ δέ γε νῦν ἔχον, τῶν ἄλλων, πλὴν τῆς Ναυπάκτου, ἥτις καὶ προκαθεζομένη πασῶν, καὶ ὅρος τῆς ἐπαρχίας πάσης ἐν τοῖς μετέπειτα χρόνοις (καὶ νῦν εἰσέτι) διατετέλεκεν, οὐδὲ μιᾶς ἀπολειπομένης· πᾶσαι γὰρ ὑπὸ τοῦ χρόνου καὶ τῶν συνεχῶν πολέμων, ἀνάστατοι καὶ κατηδαφισμέναι γεγόνασι, μάλιστα δὲ αἱ ὑπὸ Δημητρίου πολιορκηθεῖσαι τοῦ ἐπικληθέντος Αἰτωλικοῦ· κῶμαι δέ τινες μόναι εἰσὶν ἀπολελειμμέναι, λίαν συνεσταλμέναι· δύο μὲν αὗται κατὰ μεσόγαιον Ζαπάντη καὶ Βραχώρη βαρβαρικῶς οὕτω καλούμεναι, δύο δὲ κατὰ θάλατταν, ἡ μὲν Ἀνατωλικὸν (ὡς τῇ ἄνω Αἰτωλίᾳ, εἰ οὕτως ἐτυμολογηθείη, συναπτόμενον) καλουμένη, πρότερον μὲν παραθαλάσσιος οὖσα, ὡς ἔστιν ἰδεῖν ἐκ τῶν φαινομένων αὐτῆς ἰχνῶν ἥτις ἐγχωρίως Ἔξω Χώρα καλεῖται, τανῦν δὲ ἐπὶ λυπρᾶς τινος καὶ βραχείας νήσου κειμένη· ἡ δέ, Μεσολόγκιον οὕτω καλεῖται, καὶ τὴν θέσιν ἔχει παρὰ τὴν θάλατταν· μέσον δὲ τῶν τεττάρων τούτων κωμῶν, καὶ φρούριόν τι ἐπὶ περιωπῆς τινος κεῖται τὴν τοῦ Ἀγγέλου κλῆσιν ἐπιφερόμενον, καὶ Ἀγγελόκαστρον οὕτω καλούμενον, Ἀγγέλου οἶμαι κτίσμα τοῦ Κομνηνοῦ· καὶ τούτου τὸ πλεῖστον μέρος ἐρείπιον, καὶ παντάπασιν ἠρημωμένον, ἐκ θατέρου δὲ μόνον μέρους τῶν ὑπὸ κάτωθεν ὀλίγων οἴκων περιγραφῇ κυκλούμενον, καὶ ἀγροῦ σχῆμα διασῶζον.

Τὰ δὲ λοιπὰ ταύτης μέρη ἀγροί τινες εἰσιν, ἀπὸ τοῦ Α-

χελῴου τοῦ μεγίστου τῶν ἐν Ἑλλάδι ποταμῶν διὰ τοῦ Εὐήνου μέχρι καὶ τῶν τῆς Ναυπάκτου ὁρίων διήκοντες· οὗτοι δ' αὖ εἰς μικράς τινας ἄλλας διαιρούμενοι μοίρας, καὶ τὴν τῶν πάλαι Κουρητῶν καλουμένην περιέχουσι χώραν, οὓς καὶ Ἀποκουρῆτας τὸ νῦν ἔχον ἰδιωτικῇ γλώττῃ καλοῦσι, καὶ Ἀπόκουρον τὴν τῶν ἀγρῶν τούτων πᾶσαν περιοχήν· ἐν τούτοις τοίνυν καὶ Μέγα Δένδρον ἐστί τις καλούμενος, ὅστις τανῦν μὲν μάλα συνεσταλμένος φαίνεται, καὶ ἀνδράσιν εὐαρίθμοις οἰκεῖται, πενίᾳ προσταλαιπωροῦσιν ἐσχάτῃ, πρὸ πολλῶν δὲ χρόνων, ὡς ἀκοῇ παραδέδοται καὶ ὡς ὁ περὶ οὗ νῦν ὁ λόγος πολλάκις ἡμῖν διηγεῖτο, κώμη τις ἦν τῶν πέριξ ἀγρῶν ὑπερέχουσα πάντων.

Τοῦ Μεγάλου τούτου Δένδρου καρπός, ἢ μᾶλλον εἰπεῖν ἕτερον ὡς ἀληθῶς μέγα δένδρον (παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ᾗ φησιν ὁ μελῳδός, πεφυτευμένον, ὃ τὸν καρπὸν αὐτοῦ δέδωκεν ἐν καιρῷ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπερρύη) ἐκ μικροῦ τινος, ὡς ἄν τις οὕτως εἴποι, ἐφύη σπέρματος, ἢ ὡς ἐκ παρασπάδος ἐβλάστησεν ὁ τῷόντι εὐγενὴς καὶ θαυμάσιος οὗτος ἀνήρ. Πατέρες δὲ αὐτῷ πένητες μέν, καὶ ἁπλοϊκῷ τινι καὶ ἀγροικικῷ ζῶντες βίῳ (τῇ γεωργίᾳ γὰρ ἦν προσασχολούμενος ὁ πατὴρ) χριστινιακῷ δ' ἄλλως, καὶ τοῖς τὰς τοῦ θεοῦ ἐντολὰς σὺν φόβῳ πολλῷ φυλάσσουσι πρέποντι· ὁ μὲν πατὴρ Νικόλαος τοὔνομα, τὸ ἐπίκλην Ἰωαννούλιος, ἡ δὲ μήτηρ Στάμω. Ἐπεὶ δὲ τὸν βίον ἡ μήτηρ αὐτοῦ μετήλλαξε, καὶ εἰς δεύτερον γάμον ὁ τούτου πατὴρ ἐτράπετο, τῇ μητρυιᾷ συνοικεῖν ἠναγκάζετο· ταύτης δέ, ἅτε μητρυιᾶς, χαλεπῶς πρὸς αὐτὸν φερομένης, μὴ δυνάμενος τὴν μετ' αὐτῆς συνοίκησιν ἐνεγκεῖν, εἰς τὴν τοῦ καλουμένου Βλοχοῦ ἱερὰν μονὴν φυγὰς ᾤχετο, τῆς πατρίδος ἀπαναστὰς καὶ τὴν τῶν κοσμικῶν ἀποθέσθαι τρίχα γλιχόμενος· ἀλλ' ὁ πατὴρ τῆς ἐκεῖσε τούτου φυγῆς ἐν αἰσθήσει γενόμενος, καὶ καταδιώξας αὐτὸν καὶ εὑρών, ἐπανήγαγεν οἴκαδε.

Ὁ δὲ μετά τινα χρόνον καιροῦ λαδόμενος ἐπιτηδείου, τὴν αὐτὴν αὖθις ὁδὸν μετὰ συντονωτέρας τῆς προθυμίας διήνυσε· καὶ εἶχεν αὐτὸν ἡ προειρημένη τοῦ Βλοχοῦ ἱερὰ μονή, γράμμασι παιδευόμενον, καὶ τοῖς πατρασι προθύμως διακονούμενον. Ἐν τούτοις τοιγαροῦν ὄντος, καὶ τοῦ πατρὸς τοῖς ὅλοις ἀπειρηκότος, Ἀρσένιός τις τῶν ἱερέων καὶ μοναχῶν (ἀνὴρ ὡς αὐτὸς οὗτος ἰδίᾳ φωνῇ πολλάκις ὁμιλῶν ἡμῖν ἔλεγε) φρονήσει πάσῃ κεκοσμημένος, καὶ γραμμάτων πεῖραν μετρίαν ἔχων, εἰς κάλλος τε γράφειν ἐξησκημένος, καὶ μουσικῆς ἔμπειρος, ἐκ τῶν ὀρῶν τῶν καλουμένων Ἀγράφων κατελθών, τῇ ῥηθείσῃ μονῇ παρέβαλε, τοῖς ἐν αὐτῷ πατράσι τὰ φίλα προσομιλήσων· (ἦν γὰρ καὶ αὐτὸς οὗτος ἄνωθεν Αἰτωλός)· ὅστις τὸν παῖδα ἰδὼν οὕτως ἀστεῖον, οὕτω χαρίεντα, οὕτω τοῖς πατράσι διακονούμενον, οὕτω τοῦ μοναχικοῦ σχήματος ἐφιέμενον, πυνθάνεται παρ' αὐτοῦ μαθεῖν, τίς τε καὶ πόθεν, καί τίνος εἴη· ὁ δὲ πάντα αὐτῷ διεσάφησεν· οὐδὲ γὰρ οὐδὲ τὸν πατέρα τοῦ παιδὸς ἐτύγχανεν ἀγνοῶν, μετὰ περιχαρείας ὅτι πλείστης πρὸς αὐτὸν φησι: βούλει μετ' ἐμοῦ ἐλθεῖν, καὶ πρὸς τὰ τῶν Ἀγράφων ὄρη συναναδῆναι, τοῖς τε ἱεροῖς γράμμασι παιδευθῆναι, καὶ ὧν ἐφίεσαι πάντων ἐπήβολος γενέσθαι; μεθ' ὅλης ὁ παῖς ἀπεκρίνατο τῆς ἑαυτοῦ ψυχῆς καὶ τῆς προθυμίας. Λαδὼν οὖν αὐτὸν μεθ' ἑαυτοῦ, τὴν εὐθὺ τῶν Ἀγράφων ὀρῶν ἐβάδιζον, καὶ εἰς τὸ μονύδριον, ἐν ᾧ τὴν οἴκησιν ἐποιεῖτο μετὰ σπουδῆς παρεγένοντο· ἦν δὲ τὸ μονύδριον ἐκεῖνο ἔγγιστά που τινὸς τῶν ἐν Ἀγράφοις χωρίων, Τριβάτου καλουμένου, εἰς ὄνομα τιμώμενον τῆς τοῦ λόγου Μητρός· ἔνθα τὸν ἀσκητικὸν δίαυλον ἱερὰ καὶ θαυμασία τις διήνυε ξυνωρίς, Ἀντώνιος καὶ Βαρθολομαῖος αὐτῶν τὰ ὀνόματα· τοῦ μὲν Ἀντωνίου ἐξ αὐτοῦ ἐκείνου τοῦ χωρίου ὁρμωμένου, τοῦ δὲ Βαρθολομαίου ἔκ τινος τῶν Αἰτωλικῶν, ὧν ἀνωτέρω εἰρήκαμεν, Αἰσώπου Νίκη καλουμένου· ἄνδρε θαυμασίω, καὶ ἀρετῆς ἐργάτα καὶ ἄμφω, καὶ οὐ τοῖς ἐγ-

γὺς μόνον, ἀλλὰ καὶ τοῖς μακρὰν ἅπασι περιβοήτω, τοῦ μὲν Ἀντωνίου λόγῳ, τοῦ δὲ Βαρθολομαίου βίῳ μᾶλλον ἀλλήλοιν ὑπερέχοντε. Τοιούτοις ὁ παῖς ἀνδράσι συνών, καὶ τῷ προρρηθέντι ἱερῷ ἀνδρὶ πᾶσαν ὑποταγὴν ἐνδεικνύμενος, γράμμασι παρ' αὐτοῦ ἐπαιδεύετο, καὶ ταῖς ἱεραῖς τῆς ἐκκλησίας ἀκολουθίαις συντόνως προσεῖχεν· ὀλίγου δὲ διαβάντος χρόνου, ἐν τῇ ἱερᾷ καὶ σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας Θεοτόκου τῇ καλουμένῃ Τετάρνῃ, τὴν τοῦ διακόνου χειροτονίαν ἐδέξατο· καὶ αὖθις μετὰ τῶν ἱερῶν ἐκείνων ἀνδρῶν συνηυλίζετο.

Βουληθεὶς δὲ ὁ ἱερὸς ἐκεῖνος ἀνήρ, ᾧ μαθητεύειν τοῦτον δεδήλωται, εἰς Ἱεροσόλυμα ἀπιέναι, ἐφ' ᾧ τοὺς ἐκεῖσε ἁγίους ἱστορῆσαι καὶ προσκυνῆσαι τόπους, συνοδοιπόρον μεθ' ἑαυτοῦ καὶ τοῦτον παρέλαβεν, ἅμα μὲν ὑπηρεσίας τῆς παρ' αὐτοῦ δεόμενος, ἅμα δὲ καὶ τῆς αὐτῆς αὐτῷ κοινωνῆσαι καὶ τοῦτον ὠφελείας βουλόμενος· πρὸ μέντοι τοῦ τῆς τοιαύτης χάριτος ἐν μεθέξει γενέσθαι, καὶ τὸν πόθον ἀφοσιώσασθαι, καὶ τὰς ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος ἠβουλήθη προϊστορῆσαι ἱερὰς καὶ σεβασμίας μονάς· διὸ καὶ πρὸς αὐτὰς πρότερον τὴν πορείαν ποιούμενος παρεγένετο καὶ παρὰ τῇ ἐπ' ὀνόματι τῶν ἁγίων Τεσσαράκοντα τοῦ Χριστοῦ μαρτύρων τιμωμένῃ σεβασμίᾳ μονῇ, ἥτις κοινότερον τοῦ Ξηροποτάμου λέγεται, τοῦτον συνεπόμενον ἔχων κατέλυσε, περιελθὼν καὶ τὰς ἄλλας πάσας. Ἐντεῦθεν δὲ ἀπᾶραι διανοούμενος, καὶ πρὸς τὸ τέλος φθάσαι τὸ σκοπιμώτατον, τοῦτον μὲν, οὕτω δόξαν αὐτῷ, καταλιπεῖν ἐκεῖσε διέγνω, αὐτὸς δὲ μόνος τοῦ πλοὸς ἅψασθαι· καὶ δὴ φέρων αὐτὸν ἀνδρί τινι παραδίδωσι τῇ ἀρχιερωσύνῃ κεκοσμημένῳ, τὴν ἐπισκοπικὴν ἀξίαν τοῦ αὐτοῦ ἁγιωνύμου ὄρους πρὸ χρόνων τινῶν ἔχοντι μέν, παραιτησαμένῳ δὲ, καὶ ἡσυχίας ἔρωτι ἔν τινι τῶν τῆς προρρηθείσης μονῆς κελλίῳ τὸν μοναστὴν ἐπανῃρημένῳ βίον, Χαραλάμπης τούτῳ τὸ ὄνομα, ἄχρις οὗ τὴν ἐξ Ἱεροσολύμων ποιήσηται ἐπανέλευσιν. Ἦν δὲ ὁ ἐπίσκοπος οὗτος ἀρε-

τῆς μὲν τηνικαῦτα ἐς ἄκρον ἐληλακώς, παιδείας δὲ τῆς κατὰ λόγους ἀκροθιγῶς πως, ᾗ λέγεται καὶ ἄκρῳ δακτύλῳ γευσάμενος· ὅστις τοῦτον παραλαβὼν ἐρρύθμιζέ τε πρὸς ἦθος, ὡς οἷός τε ἦν, καί τινα ἐκ τῶν ποιητῶν αὐτοῦ ἐξηγεῖτο ἔπη. Καὶ οὕτω μὲν αὐτῷ ταῦτα εἶχεν. Ὁ δὲ θαυμάσιος ἐκεῖνος ἀνὴρ ἐκεῖθεν ἀναχθείς, πρὸς τὸ ποθούμενον ἔσπευδεν.

Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενος, οὐκ οἶδ' ὅτι καὶ φῶ, εἴτε ἀρρήτῳ τινὶ τῆς θείας προνοίας λόγῳ, ὡς αὐτὴ οἶδε τὰ ἡμέτερα κινούσης, εἴτε βασκάνου τινὸς ἐπηρείᾳ δαίμονος, ἐγγὺς γενόμενος τοῦ θηράματος, ἐσφάγη, φεῦ, ὑπὸ τῶν Ἀράβων. Χρόνου δὲ ἱκανοῦ παρελθόντος, καὶ τοῦ διακόνου τὴν αὐτοῦ περιμένοντος ἐπανέλευσιν, ἀντὶ ταύτης ἐγένετο τῆς σφαγῆς αὐτοῦ καὶ τοῦ θανάτου κατήκοος· λύπῃ δὲ συσχεθείς, καὶ μηδὲ μιᾶς ἄλλης παραμυθίας τυχών, ἢ τῆς ἐκ τῶν λόγων τοῦ ἱεροῦ Χαραλάμπους, ὃν ἐπὶ τοσοῦτον ἐθαύμαζε, καὶ χάριτας αὐτῷ ὡμολόγει, ὡς καὶ μνήμης τῆς πρὸς θεὸν ἐν παντὶ τῷ βίῳ αὐτοῦ ἀξιοῦν ἐν ταῖς ἱεραῖς τελεταῖς. Ἀναμνησθεὶς δὲ τῆς ἧς ἀνωτέρω ἔφημεν ἱερᾶς ξυνωρίδος, κἀκείνῃ συμβιοτεύειν μᾶλλον αἱρούμενος, τῷ ἀρχιερεῖ συνταξάμενος, καὶ τὴν παρ' αὐτοῦ εὐλογίαν λαβών, τὴν εὐθὺ τῶν Ἀγράφων ὀρῶν, ᾗ ποδῶν εἶχεν, βαδίζειν ἤρξατο· καὶ τοσοῦτον τῆς ὁδοῦ μῆκος πεζοπορίᾳ διανύσας, τῇ ἱερᾷ ξυνωρίδι καὶ αὖθις ἑαυτὸν φέρων δίδωσι, καὶ ταύτῃ πᾶσαν ὑποταγὴν πληρῶν, πᾶν εἶδος ἀρετῆς τῆς παρ' ἐκείνης ἀναμαξάμενος, οὐχ ἧττον ἢ ὁ κηρὸς τὴν σφραγῖδα, ἀνετυπώσατο τῇ ἑαυτοῦ ψυχῇ. Πρὸς τούτοις δὲ καὶ λόγων οὐκ ἠμέλει τῶν κατὰ δύναμιν, ἔστιν οὓς μὲν καὶ παρ' ἑαυτοῦ μανθάνων (φιλόπονος γὰρ ἦν ἐς τὰ μάλιστα) ἔστι δὲ οὓς καὶ παρὰ Ἀντωνίου ἀκούων τοῦ τῆς ξυνωρίδος ἑνός, οὗ καὶ ἀνωτέρω ἐμνήσθημεν, ὡς καὶ λόγῳ μετρίως μετὰ τῶν ἄλλων κεκοσμημένου καλῶν. Δόξαν δέ ποτε καὶ αὐτῇ ταύτῃ τῇ ἱερᾷ ξυνωρίδι, τῷ τε Ἀντωνίῳ φημὶ καὶ Βαρθολομαίῳ, εἰς προσκύνησιν

τοῦ ἁγίου καὶ ζωοδόχου τάφου, καὶ δὴ καὶ εἰς τὸ ἅγιον καὶ θεοβάδιστον ὄρος τὸ Σίναιον ἀπελθεῖν, ὀπαδὸς ταύτης καὶ οὗτος καὶ συνοδίτης γίνεται, πάντα γινόμενος αὐτῇ τὰ πρὸς ὑπηρεσίαν καὶ τὴν ἄλλην ὑπακοήν.

Τοῦ πλοὸς τοίνυν ἀρξάμενοι, καὶ πολλοὺς κατὰ θάλατταν (οἷα πολλάκις συμβαίνει γίνεσθαι) κινδύνους ὑπομείναντες, τῇ Αἰγύπτῳ προσῴκειλαν· κἀκεῖσε τῷ τῆς Ἀλεξανδρέων ἐκκλησίας τῶν οἰάκων τὸ τότε ἐπειλημμένῳ (Κύριλλος οὗτος ἦν ὁ ἅπαξ μὲν ἐκεῖνον, δὶς δὲ τὸν τὴν Κωνσταντινουπόλεως πατριαρχικὸν θρόνον κοσμήσας) συγγίνονται· καὶ πλεῖστα τούτῳ συνομιλήσαντες, πολλὴν μὲν αὐτοὶ ἐκ τῶν ἐκείνου λόγων ἐκαρπώσαντο τὴν ὠφέλειαν, πολλὴν δὲ κἀκεῖνος ἐπεδείξατο τούτοις τὴν περίνοιαν θαυμάσας τούτους τῆς ἀρετῆς· κἀκείνους μὲν ἄλλοις τοῖς παρ' ἑαυτοῦ δώροις ἐδεξιώσατο, τοῦτον δέ, περὶ οὗ πᾶς ὁ λόγος ἡμῖν ἐνέστηκεν, ἀντὶ διακόνου πρεσβύτερον τῇ τοῦ παναγίου καὶ τελεταρχικοῦ πνεύματος χάριτι οἰκείαις χειροτονεῖ ταῖς χερσί, καὶ γράμματι τοῦτον ἐφοδιάζει συστατικῷ τοῦτον ἔχοντι τὸν τρόπον.

» Κύριλλος πάπας καὶ πατριάρχης καὶ κριτὴς τῆς οἰκουμένης. Διὰ χειρῶν τῶν ἡμετέρων ἀναβιβασθεὶς ἐξ ἱεροδιακόνου εἰς τὸν τοῦ ἱερέως βαθμὸν Εὐγένιος ὁ ἱερομόναχος οὗτος, λαμβάνει παρ' ἡμῶν τοῦτο τὸ γράμμα, ὡς ἐφόδιον ἐν ᾧπερ ἂν τύχῃ τόπῳ, ἵνα γνωρίζηται καὶ τιμᾶται ὡς ἱερωμένος καὶ τοῦ τοιούτου ἠξιωμένος βαθμοῦ. Εἰς τοῦτο οὖν παρέχομεν αὐτῷ τὸ παρὸν γράμμα. Ἐν Αἰγύπτῳ ͵αχιθʹ. Κύριλλος ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης Ἀλεξανδρείας ».

Δέδωκε δὲ δῶρον αὐτῷ, μνήμης ἕνεκα, τὴν Θεοφυλάκτου Βουλγαρίας βίβλον, τὴν εἰς τὰ ἱερὰ Εὐαγγέλια συνοπτικὴν περιέχουσαν ἑρμηνείαν, ἥτις καὶ νῦν εἰσέτι μετὰ τῶν ἄλλων αὐτοῦ βίβλων σώζεται παρ' ἡμῖν.

Κἀκεῖθεν ἀπαναστάντες εἰς τὸ Σίναιον παραγίνονται, καὶ

πάντα μὲν τὰ ἐκεῖσε περιελθόντες καὶ προσκυνήσαντες, τήν τε ἁγίαν καὶ ἀκατάφλεκτον βάτον, καὶ τὸ τῆς ἁγίας καὶ πανσόφου Αἰκατερίνης ἱερώτατον λείψανον, ἐπὶ τὴν ἁγίαν τοῦ ὄρους ἀνῆλθον κορυφήν, ἔνθα ὁ τῆς πανάγνου Παρθένου καὶ θεομήτορός ἐστιν ἁγιώτατος ναός· ἐν ᾧ καὶ τὴν πρώτην ἀπὸ τῆς αὐτοῦ χειροτονίας μυσταγωγίαν τετέλεκε. Διατρίψαντες δὲ ἐν αὐτῷ τῷ θεοβαδίστῳ ὄρει χρόνον ὅσος ἦν ἱκανὸς αὐτοῖς εἰς τοῦ ποθουμένου ἐπίτευξιν, τὴν ἐπὶ τὰ Ἱεροσόλυμα καὶ τὸν ἅγιον καὶ ζωοδόχον τοῦ Χριστοῦ τάφον φέρουσαν διὰ τῆς μεταξὺ κειμένης ἐρήμου ἑλόμενοι ἐπανακάμπτουσι· κἀκεῖσε γενόμενοι πρῶτον μὲν αὐτὸν τὸν σωτήριον καὶ ζωοποιὸν τοῦ Κυρίου ἡμῶν τάφον ἰδόντες καὶ προσκυνήσαντες, καὶ τὸν ἐνδομυχοῦντα τῇ ἑαυτῶν ψυχῇ πόθον παραμυθησάμενοι, χαρᾶς ἀφάτου καὶ πνευματικῆς ἀγαλλιάσεως ἐνεπλήσθησαν· εἶτα δὲ καὶ τὰ περὶ αὐτὸν πάντα, καὶ Βηθλεὲμ τὴν ἁγίαν, καὶ Ἰορδάνην τὸν ποταμόν, καὶ τὰ ἄλλα πάντα ὅσα τῆς σωτηρίας ἡμῶν ἐγένοντο πρόξενα, ἀκριβῶς ἱστορήσαντες, τῇ τῶν ἱερῶν Εὐαγγελίων περὶ τούτων ἀφηγήσει τοῦ ἱεροῦ μάλιστα Ἀντωνίου ἕκαστα ἀνερευνῶντός τε καὶ ἀναθεωροῦντος, ἐπειδὴ πέρας τὸ προσῆκον εἶχεν αὐτοῖς ὁ σκοπός, τὰ τῆς ἐπανελεύσεως ἦσαν διανοούμενοι. Καὶ ἡ μὲν ἱερὰ ξυνωρὶς ἐκείνη τηνικαῦτα ἐπανῆλθε, θεοῦ συναιρομένου καὶ συνοδεύοντος· ὁ δὲ τούτων ὀπαδὸς καὶ συμπροσκυνητὴς ἔμεινεν ἐκεῖ κατὰ χώραν ἐν τῷ τοῦ ἁγίῳ Κωνσταντίνου ναῷ ἐφημερεύων ἐπὶ ἔτεσιν ὅλοις τρισίν, οὐ δίχα μέντοι τῆς ἐκείνων γνώμης, ἵνα μὴ εἴπω καὶ προτροπῆς· εἶτα πάλιν καὶ αὐτὸς τὰ τῶν Ἀγράφων ὄρη κατέλαβε, τοῖς δηλωθεῖσι συμβιοτεύων καὶ συνασκούμενος πατράσιν.

Ἐφέσει δὲ μαθημάτων πλειόνων, καὶ μάλιστα ἐπιστημονικῶν λόγων κάτοχος ὤν, εἰς Τρίκκην πόλιν ἀρχαίαν παρεγένετο τῆς Θετταλίας· ἐν ταύτῃ γὰρ αὐτῷ ἤκουσται σχολεῖον ὑπὸ τοῦ τῆς κατὰ Λάρισσαν ἐκκλησίας προέδρου συστῆναι, καὶ

μαθητὰς ἱκανοὺς ἐκ τῶν πέριξ χωρίων συνδραμεῖν· εἷς οὖν καὶ αὐτὸς τούτων γενόμενος, φιλοπονίᾳ μὲν οὐδενὸς ἡλαττοῦτο τῶν ἄλλων, ἐν σπάνει δὲ πολλῇ τῶν ἀναγκαίων ἐτύγχανεν ὤν, ἄλλως τε καὶ τοῦ τῆς σχολῆς προστάτου οὐκ ἐπὶ τοσοῦτον ἀφιγμένου παιδείας, ὥστε καὶ ἱκανῶς ἔχειν τοὺς μαθητιῶντας τῇ τοῦ λόγου δαψιλείᾳ ἐντρέφειν, οὐ μετὰ πολὺ πρὸς τὸ ἑαυτοῦ μονύδριον ἐπανῆλθε, καὶ παντοῖος ἦν νύκτωρ καὶ μεθ' ἡμέραν τοὺς περὶ μαθημάτων καὶ μαθήσεως λογισμοὺς ἑλίσσων τῷ νῷ· καὶ οὐκ ἦν ἄλλως αὐτῷ γαλήνην ἐκ τῶν τοιούτων γενέσθαι, εἰ μὴ καὶ τοῦ ποθουμένου γένοιτο μὴ ἀποτυχεῖν, καίτοι καὶ πενίᾳ ἐσχάτῃ καὶ ἀκτημοσύνῃ συζῶν.

Συνταξάμενος τοίνυν τοῖς γέρουσι, καὶ τὰς τούτων εὐχάς, ἐν ἐφοδίου λόγῳ λαβών, ἐπὶ Κεφαλληνίαν τὴν νῆσον ὥρμησε κατελθεῖν, διδασκάλων καὶ λόγων οἰκητήριον ταύτην εἶναι οἰηθείς, ἅτε δὴ ὑπὸ χριστιανικῆς διοικουμένην ἀρχῆς, καὶ οὐ διήμαρτε τῆς ἐφέσεως, ὡς παρακατιὼν ὁ λόγος δηλώσει σαφῶς.

Κατελθὼν τοιγαροῦν εἰς τὸ Δραγαμέστον, χωρίον Ἀκαρνανίας, οὐ μακρὰν τῆς θαλάσσης ἀπέχον, καὶ ἐπὶ νηὸς ἀναχθεὶς εἰς Κεφαλληνίαν τὸν πλοῦν ποιουμένης, οὐ πολὺ τὸ ἐν μέσῳ καὶ εἶχε τοῦτον ἡ νῆσος, παρ' οὐδενὸς γινωσκόμενον· φιλοξενίας μέντοι τῶν αὐτῇ ἐνοικούντων ὑπὲρ τοὺς κατὰ τὰς λοιπὰς νήσους ἀντιποιουμένων, ἐτύγχανε μὲν τῆς παρ' αὐτῶν δεξιώσεως· αἰσχυνόμενος δέ, ἅτε νέηλυς καὶ ὁμιλίας τῆς πρὸς ἐκείνους οὐκ ἐθὰς ὤν, αὐτὸς οὗτος ἡμῖν πολλάκις διϊσχυρίζετο λέγων, ὡς εἴη τροφῆς οὐδ' ὁπωσοῦν μεταλαβὼν ἐν ὅλαις ἡμέραις τρισίν, ἀπορίᾳ πιεζόμενος τῶν πρὸς τὴν χρείαν ἐσχάτῃ.

Εἶτα Παϊσίῳ τῷ Μεταξᾷ ἱερῷ ἀνδρὶ καὶ σοφῷ, ἐκ τῆς αὐτῆς νήσου ὁρμωμένῳ καὶ ὁμιλητῇ τῶν γνησίων χρηματίσαντι Θεοφίλου Κορυδαλλέως τοῦ ἐξ Ἀθηνῶν, μετὰ Ἀγγέλου τοῦ Μπενιζέλου, γνώριμος γεγονώς, καὶ τὸν αὐτοῦ σκοπὸν ἅπαντα ἀνακαλύψας, τήν τε ἔφεσιν ἣν περὶ τοὺς λόγους εἶχε, καὶ τὴν

τῶν ἀναγκαίων ἔνδειαν διεξελθών, οὐ διακενῆς ἦν ἐλπίζων ἐπὶ τὸν Κύριον, οὐδὲ μάτην ἐφάνη τὸ τοῦ λόγου χανών· ἐδέξατο γὰρ αὐτὸν ὁ ἱερὸς ἐκεῖνος καὶ τῷόντι σοφὸς ἀνὴρ μεθ' ὅσης εἶχε τῆς προθυμίας, ἐξ αὐτῶν τῶν τοῦ προσώπου χαρακτήρων εἰς εὐλάβειαν αὐτοῦ κινηθείς, καὶ εἰς τὸν οἶκον ἐν ᾧ ᾤκει παραλαβών, οὐ μόνον ἐδίδασκεν αὐτὸν ἀόκνως καὶ συνεχῶς, ἀλλὰ καὶ τὰ πρὸς τροφὴν καὶ τὰς ἄλλας χρείας, αὐτῷ παρεῖχε· λογικῆς δὲ τὸ δίδαγμα πραγματείας ἦν· ἐν γὰρ τοῖς γραμματικοῖς καὶ ποιητικοῖς μαθήμασιν οὐκ ὀλίγον, ὡς ἔφθημεν εἰπόντες, χρόνον ἐτύγχανε κατατετριφώς, καὶ ἱκανῶς τῶν τοιούτων ἔμπειρος ἦν παιδευμάτων. Ταύτῃ τοίνυν τούτων ἐχόντων, ἔτος ὅλον ἠνύετο αὐτῷ παρὰ τῷ Παϊσίῳ ἀναστρεφομένῳ, καὶ πολλὴν παρ' ἐκείνου τὴν ὠφέλειαν καρπουμένῳ.

Τούτου δὲ παρελθόντος, ἐν ταὐτῷ καὶ Θεόφιλος, οὗ ἀνωτέρω ἐμνήσθημεν, ὁ καὶ τούτου καὶ πολλῶν ἄλλων καθηγεμών, Ἐνετίηθεν εἰς Ζάκυνθον παρεγένετο, καὶ φήμη παρὰ πᾶσιν ἦν τούτου πολλή· πολλῆς δὲ καὶ Παΐσιος ὁ τούτου ὁμιλητὴς ἐπλήσθη χαρᾶς, τῆς τοῦ καθηγητοῦ ἕνεκεν παρουσίας. Τούτων ἀκούσας Εὐγένιος, εἰ καὶ Παϊσίῳ πολλὰς ἦν τὰς χάριτας ὁμολογῶν, καὶ μαθημάτων τῶν παρ' αὐτοῦ ἐς κόρον ἐμφορούμενος, ἀλλ' ὡς τελειοτέρῳ μᾶλλον ἐφίετο συγγενέσθαι τῷ διδασκάλῳ, κἀκείνης ἐν πείρᾳ γενέσθαι τῆς σειρηναίας αὐδῆς πόθῳ πόθον ἑαυτῷ προστιθείς· ἔνθεν τοι καὶ κατὰ μηδὲν μελλήσας ἀπὸ Κεφαλληνίας εἰς Ζάκυνθον μεταβαίνει, καὶ Θεοφίλῳ φοιτᾷ τῷ Κορυδαλλεῖ, ὑπὸ Ζακυνθίων λίαν παρακληθέντι φροντιστηρίου τοῦ παρ' αὐτῶν συγκροτηθέντος προστῆναι· ὁ δὲ τοῦτον ἀσμένως ἐδέξατο καὶ μετὰ πολλῶν ἄλλων τῶν αὐτῷ φοιτησάντων ἔκ τε τῆς αὐτῆς νήσου καὶ ἑτέρωθεν συναριθμεῖ· μᾶλλον δὲ καὶ οἰκειότερον καὶ γνησιώτερον πάντων κέκρικε, σύσσιτον αὐτὸν ποιήσας καὶ ὁμορόφιον. Οὗτος δὲ τῷ τῆς παιδείας ἔρωτι πάντα δεύτερα τιθέμενος, οὐ μόνον τὰς τοῖς πᾶσι

κοινὰς ὑπηρεσίας αὐτῷ ἐπλήρου, ἀλλὰ δὴ καὶ τὰς τῇ ἡλικίᾳ αὐτοῦ καὶ τῷ ἐπαγγέλματι μὴ πρεπούσας ἀόκνως διήνυε. Πολλὴν δὲ καὶ τὴν ὑπομονὴν ἐπεδείκνυτο· ἦν γὰρ ὁ εἰρημένος ἀνὴρ καθ' ὑπερβολὴν ὀργίλος, καὶ ἐπὶ τοσοῦτον μελαγχολικὸς καὶ θυμώδης καὶ τὴν γνώμην δυσάρεστος, ὡς πολλῶν αὐτῷ κατὰ καιροὺς φοιτησάντων, οὐκ ἔστιν ὅστις ἐδυνήθη μετ' αὐτοῦ ἑξαμηνιαῖον χρόνον ἀποπληρῶσαι, μᾶλλον δὲ καὶ τούτου ἐλάττονα, οὗτος δὲ καὶ ἐπέκεινα τῶν ὀκτὼ ἐτῶν αὐτῷ συνδιέτριψε· δεῖγμα τούτου σαφές, (ὡς πολλάκις ἡμῖν αὐτοστοματὶ διηγεῖτο) ὅτι καὶ ἑτέρων δύο φοιτητῶν ἐξ Ἀρκαδίας (1) τῆς κατὰ Πελοπόννησον ἐν Ζακύνθῳ ἐλθόντων καὶ παρ' αὐτῷ φοιτησάντων, καὶ τριῶν μετὰ τοῦδε γενομένων· ὧν ὁ μὲν ὁμωνυμῶν ἦν αὐτῷ (Εὐγένιος γὰρ κἀκεῖνος ἐλέγετο), ὁ δὲ τότε μὲν Πολυχρόνιος, ὕστερον δὲ μετωνομάσθη Παρθένιος· (οἵτινες μετὰ ταῦτα καὶ εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα προεβιβάσθησαν), οὐκ ἦν ὅλως αὐτῷ δυνατὸν οὐδὲ πρὸς αὐτούς τι τοῦ θυμοῦ καθυφίεσθαι· ὑπῆρχον δὲ οἱ ἄνδρες ἀγαθοὶ τὰ ἤθη, καὶ πολλαῖς κεκοσμημένοι ταῖς χάρισιν· ἐπὶ τοσοῦτον δὲ Εὐγενίῳ φιλίᾳ συνηρμόσθησαν, ὡς ἀδελφὸν μᾶλλον ἢ φίλον αὐτὸν καὶ συμφοιτητὴν νομίζειν· μετὰ τούτων τοίνυν ἦν συνοικῶν καὶ συνεσθίων, καὶ οὗτοι μετ' αὐτοῦ ὑφ' ἑνὶ καθηγητῇ παιδευόμενοι, κοινωνίᾳ τε γνώμης καὶ συνοικήσει τῇ τοῦ καθηγητοῦ τῶν ἄλλων ἁπάντων προὔχοντες· ἀλλ' ὁπηνίκα τοῦτον θυμοῦσθαι συνέβαινε κατ' αὐτῶν (οἷα φιλεῖ τοῖς καθ' ὑπεροχὴν παιδείας ἢ ἑτέρας τινὸς τέχνης διαφέρουσι συμβαίνειν ἐπὶ τὸ μελαγχολικώτερον τὴν ἑαυτῶν κρᾶσιν τρέπεσθαι) οὐδὲν ἕτερον ὑπεψιθύριζον, ἢ τό, Κύριε ἐλέησον! οὕτως ἦν ὁ ἀνὴρ ὑπὸ τῆς μελαγχολίας καὶ τοῦ θυμοῦ νικώμενος! Εὐγένιος δὲ καὶ ἐφημε-

(1) Οὕτως ἐκαλεῖτο κατὰ τοὺς χρόνους ἐκείνους ἡ Τριφυλλία καὶ ἰδίως ἡ νῦν πρωτεύουσα ταύτης Κυπαρισσία. Σ.

ρεύων ἦν ἐν ἐκκλησίᾳ τινὶ κατὰ Ζάκυνθον, ἐξ ἧς τάς τε πρὸς τὸ ζῆν ἐπορίζετο ἀφορμάς, καὶ ἀνὰ ἀργυροῦν ἓν κατὰ μῆνα τῷ καθηγητῇ διδάκτρου λόγῳ παρέχων· ἦν δὲ ἡ ἐκκλησία αὕτη τοῦ ἐν ἁγίοις πατρὸς καὶ θαυματουργοῦ Σπυρίδωνος, τοὺς λεγομένους Ἐλεαζάρους καὶ κτήτορας καὶ ἐνορίτας ἔχουσα, τῶν εὐγενῶν ὄντας καὶ οὐκ ἀσήμων, οἷς καὶ οὐ μόνον ἐφ' ὅσον χρόνον ἐκεῖ διέτριβε ποθητὸς ἦν, καὶ τῶν ἄγαν τιμίων, ἀλλ' ἤδη καὶ εἰς ἑτέρας πόλεις ἀπάραντα, πολλαῖς ἐκέχρηντο πρὸς αὐτὸν εὐνοίαις, καὶ γράμμασιν ἐτίμων συχνοῖς, καθὰ δὴ καὶ αὐτὸς αὐτοὺς τοῖς πρὸς αὐτοὺς ἀμοιβαίοις.

Διατρίψας τοίνυν ἐν Ζακύνθῳ μετὰ Θεοφίλου τοῦ ἰδίου καθηγητοῦ, καὶ τῶν ὧν ἀνωτέρω ἔφθημεν εἰπόντες ἐξ Ἀρκαδίας συμφοιτητῶν, ἐπὶ χρόνους τινάς, μετά τε τῆς κατὰ λογικοὺς παιδείας, καὶ ἐπιστημονικῶν λόγων ἀψάμενος, ἀκροαματικῶν τε λόγων ἐξηγήσεις τοῦ καθηγητοῦ συντιθέντος, αὐτὸς ἦν ὑπηρετῶν οἰκείᾳ χειρὶ τοῖς παρ' ἐκείνου λεγομένοις τε καὶ συγγραφομένοις· οὐδὲ γὰρ ἦν ἕτερός τις οὕτω πρὸς τοῦτο ἐπιτηδείως ἔχων, καὶ τῷ τῶν συγγραμμάτων πατρὶ καταθύμιος· διὸ καὶ παρὰ πάντας ἐδιδάσκετό τε πρὸς αὐτοῦ καὶ ἐστέργετο, καὶ μυστικωτέρων τινῶν καὶ βαθυτέρων ἀπήλαυε τῶν κατὰ φιλοσοφίαν δογμάτων.

Ἐποιεῖτο δὲ καὶ περαιώσεις συχνὰς ἀπὸ Ζακύνθου εἰς τὸ Ἀνατωλικὸν τῆς Αἰτωλίας, καὶ γνώριμος τοῖς ἐκεῖ γεγονώς, φίλους τινὰς ἀξιολόγους τῶν κατὰ τὴν νῆσον ταύτην ἐκτήσατο, καὶ φιλοφροσύνης ἁπάσης παρ' αὐτῶν ἠξιοῦτο· πολλάκις δὲ αὐτῷ ἐξεγένετο ταῖς παρὰ τῶν φίλων ἐκείνων εὐεργεσίαις καὶ δώροις κατὰ Ζάκυνθον ὄντα ἀμείβεσθαι τὸν καθηγητήν, τοῖς μὲν δι' ἄλλων πεμπομένοις, τοῖς δὲ καὶ παρ' αὐτοῦ τούτου κομιζομένοις· ὅτε καὶ παῖδά τινα τῶν ἐκ τοῦ Ἀνατωλικοῦ ὀρφανὸν ἀπολειφθέντα τοῦ ἰδίου πατρός, εἴληφεν εἰς ἀνατροφὴν καὶ γραμμάτων παίδευσιν ὡς κατὰ πνεῦμα υἱόν, καὶ εἰς Ζά-

κυνθον ἤγαγε μεθ' ἑαυτοῦ· ὃν καὶ ἰδὼν ὁ Κορυδαλλεύς, ᾐτήσατο ὡς ἐν τάξει ἔχειν ὑπηρέτου, ἀλλὰ χρόνος βραχὺς καὶ ὁ παῖς αὖθις μετὰ τοῦ Εὐγενίου ἦν· Γρηγόριος ἦν οὗτος ὁ Μάνεσις, ὁ πρῶτος τῶν αὐτοῦ χρηματίσας ὁμιλητῶν, περὶ οὗ καὶ αὖθις εἰρήσεται ἡμῖν, προϊόντος τοῦ λόγου· τοῦτον ἐν τῇ Ζακύνθῳ ἔχων μεθ' ἑαυτοῦ πρὸς χρόνον τότε βραχύν, εἰς τὸ Ἀνατωλικὸν ἀνέπεμψε τὴν ἑαυτοῦ πατρίδα, βουλόμενος αὖθις αὐτὸν ἀναλαβεῖν μετὰ τὴν τῆς φροντίδος τῶν μαθημάτων ἀπαλλαγήν.

Θείᾳ δέ τινι κατ' ἐκεῖνο καιροῦ προνοίᾳ τοῦ τῆς Ἀλεξανδρέων προέδρου Κυρίλλου (οὗτινος καὶ ἀνωτέρω μνείαν ἐποιησάμεθα) ἐκεῖθεν ἐπὶ τὸν τῆς Κωνσταντινουπόλεως πατριαρχικὸν τὸ δεύτερον ἀναχθέντος θρόνον, ἐπιστολὴ παρὰ Θεοφίλου πέμπεται πρὸς αὐτὸν ἐκ Ζακύνθου, ἐγκωμιαστική τε ἅμα καὶ συγχαριστική, (ἥτις καὶ ἐν τῷ τῶν ἐπιστολικῶν αὐτοῦ τύπων ἐγχειριδίῳ, τῷ διὰ συνδρομῆς τοῦ ἀρχιεπισκόπου Κεφαλληνίας Νικοδήμου τοῦ Μεταξᾶ, μαθητοῦ καὶ αὐτοῦ σὺν τῷ προρρηθέντι Παϊσίῳ χρηματίσαντος, τυπωθέντι μετὰ τῶν ἄλλων φέρεται)· ἐξ ἧς ὁ ἱερώτατος Κύριλλος ἀφορμῆς δραξάμενος, εἰ καὶ ἐκ πολλῶν χρόνων ἐτύγχανε τοῦτον εἰδώς, πανταχοῦ γὰρ ἐφοίτα διὰ τῆς φήμης, ὡς οὐδενὸς δεύτερος τῶν κατὰ τὴν περιπατητικὴν καλουμένην φιλοσοφίαν ἐν τοῖς τότε χρόνοις λαμψάντων, γράμμασι μεταπέμπεται τοῦτον παρακλητικοῖς ἐπὶ τὴν Κωνσταντίνου ἐλθεῖν, πάντα ὑπισχνούμενος αὐτῷ τὰ πρὸς διαγωγὴν φιλοσόφου ἀνδρὸς συντείνοντα· καὶ δὴ καὶ εἶχε τοῦτον πειθόμενον. Ἔνθεν τοι καὶ τῆς Ζακυνθίων ἀπάρας διὰ τοῦ Κορινθιακοῦ κόλπου Ἀθήναζε παρεγένετο, συνεπόμενον αὐτῷ καὶ συνοδοιπόρον ἔχων Εὐγένιον· θεασάμενος δὲ τοὺς οἰκείους ἅμα καὶ συμπολίτας, καὶ τῆς ἐκ τῆς πατρίδος παραμυθίας ἀπολελαυκώς, ἐν ὅσῳ αὐτόθι διέτριβε, καὶ τὴν κατὰ πεῦσιν καὶ ἀπόκρισιν συνέθετο λογικήν, φιλολόγων τινῶν νέων τῶν ἐξ

Ἀττικῆς χάριν· εἶτα τῷ πλῷ χρησάμενος, εἰς Κωνσταντίνου διὰ τοῦ Ἑλλησπόντου γίνεται, καὶ Κυρίλλῳ τῷ τῶν πατέρων πατρὶ ἑαυτὸν ὑποκλίνας, ὅλοις τοῖς προστάγμασιν ἦν ἐκείνου πειθόμενος· εὐνοίας τε οὐχ ὅσης ἄν τις καὶ εἴποι παρ' αὐτοῦ τούτου καὶ παρὰ πάντων τῶν κληρικῶν καὶ τῶν ἐν τέλει τυχών, πλῆθος ὅσον συνέδραμε πρὸς αὐτὸν φοιτητῶν· ἀλλ' οὐδεὶς οὕτως αὐτῷ οἰκεῖός τε καὶ γνήσιος Εὐγενίου οὔτ' ἦν, οὔτ' ἐλέγετο.

Δοὺς δὲ αὐτῷ καὶ ἐκκλησίαν ὁ πατριάρχης εἰς οἴκησίν τε ἅμα καὶ σιτηρέσιον τὴν ἐν τῷ λεγομένῳ Κοντοσκαλίῳ, Εὐγένιος αὖθις ἦν ὁ καὶ ταύτης ἐπιμελούμενος, καὶ ἐν αὐτῇ ἐφημερεύων· καὶ συνέλεγε μὲν μετὰ ἀκριβείας πᾶν τὸ ταύτης εἰσόδημα, κατεῖχε δὲ παρ' ἑαυτῷ οὐδέν, ἀλλὰ πᾶν ὅ, τι ἐλάμβανε τῷ καθηγητῇ παρεῖχεν· αὐτὸς δὲ ἐξ ἰδίων ὀλίγων τε ὧν ἑτέρωθεν ἔχειν οἷός τε ἦν, ἐτρέφετο· καὶ πολλάκις ἀριθμόν τινα χρημάτων τῶν ἐκ τῆς ἐκκλησίας αὐτῷ διδόντος, ἐκλογὴν μὲν ἐποιεῖτο τῶν κρειττόνων, καὶ βαλαντίῳ ἐναπετίθετο, τὰ δὲ παντάπασιν ἄχρηστα τῷ χρηστῷ τουτωὶ Εὐγενίῳ διδούς, ἀπελθεῖν προσέταττεν ἐν τῇ ἀγορᾷ καὶ τὰ πρὸς χρείαν ὠνεῖσθαι· ὁ δὲ μηδὲν τούτῳ ἀποκρινόμενος (οὐδὲ γὰρ ἠνείχετό τι τὸ παράπαν αὐτῷ ἀντειπεῖν) ἐπορεύετο μέν, ᾐσχύνετο δὲ τὰ τοιαῦτα τῶν χρημάτων εἰς φῶς ὅλως ἐξενεγκεῖν, ἀλλ' ἐκ τῶν ἰδίων ὧν ἂν εἶχε, τὸ τίμημα καταβάλλων καὶ τὰ χρειώδη ὠνούμενος, ὑπέστρεφεν οἴκαδε· τοιοῦτος μὲν ἦν τὸ ἦθος ὁ καθηγητής, τοιοῦτος δὲ καὶ ὁ μαθητής. Ταυτὶ δέ, εἰ καὶ παρεκβατικώτερον ἡμῖν εἴρηται, καὶ περιττὰ μᾶλλον ἂν εἶναι φαίη τις, ἀλλ' ἀπόδειξιν φέρει τινὰ τῆς ἧς ἀνωτέρω ἔφημεν προσεδρίας τῆς παρὰ τῇ καθηγητῇ καὶ ὑπομονῆς τοῦ ἀνδρός, ὅπερ οὐδενὶ τῶν αὐτῷ φοιτησάντων ἑτέρῳ κατώρθωται. Καὶ οὕτω μὲν εἶχε τηνικαῦτα κατὰ τὴν Κωνσταντινούπολιν αὐτῷ ἡ μετὰ τοῦ καθηγητοῦ συνδιατριβή· καὶ ὁ μὲν ἐδίδασκεν, ὁ δὲ ἐδιδάσκετο· καὶ ὅλος ἦν προσκείμενος τοῖς μαθήμασι.

Συνέβη δὲ αὐτῷ καὶ τοιοῦτόν τι τηνικαῦτα γενέσθαι· σκανδαλισθεὶς διά τινα σκληρότερον λόγον ὃν ἀκήκοε πρὸς τοῦ καθηγητοῦ, (ὃν εἰ καὶ τυγχάνω εἰδὼς ἀκριβῶς, ἑκὼν μέντοι παρίημι, ἵνα μὴ προσκορὴς εἶναι δόξω πολλοῖς, μικρά τινα καὶ οὐ πάντῃ ἄξια λόγου τῇ τοῦ λόγου συνυφαίνων ὁρμῇ) ἀναχωρεῖ μὲν τῆς ὁμιλίας αὐτοῦ, πρὸς Μελέτιον δὲ παραγίνεται τὸν Συρίγον, πατέρα πνευματικὸν καὶ διδάσκαλον τῆς μεγάλης ἐκκλησίας ἐπιγραφόμενον, διδάσκοντα καὶ αὐτὸν ἰδίᾳ τοὺς πρὸς αὐτὸν ἐπὶ παιδείᾳ φοιτῶντας· ὃν καὶ ἰδὼν ὁ Συρίγος καταλείψαντα τὸν καθηγητὴν ἑαυτοῦ, καὶ πρὸς αὐτὸν ἐλθόντα μετὰ πολλῆς ἐδέξατο τῆς προθυμίας, καὶ τὴν πρώτην χώραν ἐπέχειν διέταξε τῆς παρ' αὐτῷ χορείας τῶν φοιτητῶν· πυθόμενος δὲ καὶ τὴν αἰτίαν τῆς τοῦ Κορυδαλλέως ἀναχωρήσεως, καὶ μαθών, οὐκ ὀλίγα καὶ αὐτὸς οὗτος ἀφορμῆς δραξάμενος κατεῖπεν αὐτοῦ, ἃ καὶ τῇ σιωπῇ μᾶλλον ἢ τῷ λόγῳ παραδοῦναι βέλτιον. Προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ πρὸς ἀλλήλους ὄντες οὐ τὴν τυχοῦσαν, ἐξ αἰτίας μάλιστα τοιᾶσδε· ὁ Συρίγος οὗτος, ηὐδοκίμει μὲν ἐν τοῖς γραμματικοῖς καὶ ποιητικοῖς, καὶ ῥητορικοῖς μαθήμασιν ἐπὶ ποσόν, ἐκκλησιαστικῶν τε λόγων καὶ τῶν ὅσα εἰς θεολογίαν ἀναφέρεται ἔμπειρος ἦν, κηρύσσειν τε ἐπ' ἐκκλησίας ἐνομίζετο μηδενὶ τὰ πρεσβεῖα παραχωρεῖν· λογικῆς μέντοι παιδείας, καὶ τῆς κατὰ φιλοσοφίαν ἀμέθεκτος ἦν· ἐπεθύμει δὲ διαφερόντως μετὰ τῶν ἄλλων καὶ ταύτην κτήσασθαι. φοιτᾷ τε τῷ εἰρημένῳ Κορυδαλλεῖ, καὶ συμφωνεῖ μετ' αὐτοῦ μισθαρνίᾳ τὴν λογικὴν ἅπασαν διδαχθῆναι· γενόμενος δὲ περὶ τὰ μέσα τῆς πραγματείας, ὁ μὲν ᾔτει τὸ ἥμισυ τοῦ μισθοῦ λαβεῖν, εἶτα καὶ τὰ λοιπὰ τοῦτον διδάξαι, ὁ δὲ πᾶσαν ἐβούλετο ἐπελθεῖν, καὶ οὕτω τὸν μισθὸν ὁλόκληρον ἀποδοῦναι· πολλοὺς τοίνυν ἐπὶ τούτοις λόγους πρὸς ἀλλήλους καταναλώσαντες καὶ μηδαμῶς συναινέσαντες, εἰς ὕβριν τὴν κατ' ἀλλήλων μέχρι τέλους κατέστρεψαν· κᾆτα, οὐ μόνον ἀποσχοινίζεται

τοῦ Θεοφίλου Συρίγος, ἀλλὰ καὶ τὴν γλῶτταν, ὡς οἷός τε ἦν, ἠκόνησε κατ' αὐτοῦ, πολλά τε καὶ ἄλλα λέγων καὶ κατηγορῶν αὐτοῦ, καὶ δὴ καὶ ἄθεον αὐτὸν καὶ αἱρετικὸν καλῶν, καὶ τοῖς τῶν Καλουΐνων μάλιστα προσκείμενον δόγμασι· καὶ αὕτη μὲν ἦν ἡ τῆς πρὸς ἀλλήλους τούτων ἔχθρας αἰτία. Διὸ καὶ τὸν Εὐγένιον πρὸς αὐτὸν ἐλθόντα μετὰ πάσης (ὡς ἔφθημεν εἰπόντες) ἐδεξιώσατο χαρᾶς, ὡς κἀκτούτου λυπήσων δῆθεν τὸν τούτου καθηγητήν.

Ἐτύγχανε δὲ τηνικαῦτα ὁ Συρίγος διδάσκων τοὺς ἑαυτοῦ φοιτητὰς (ὧν καὶ Παναγιώτης εἷς ἦν ὁ ὕστερον τοῦ βασιλέως χρηματίσας διερμηνευτὴς) τοὺς τοῦ μεγάλου πατρὸς Γρηγορίου τοῦ Ναζιανζηνοῦ περὶ θεολογίας λόγους· οὗ μετὰ τῶν ἄλλων, ἢ καὶ πρὸ τῶν ἄλλων ἀκροατὴς πρῶτος καὶ οὗτος καθίσταται· συγκρίνων δὲ τὰ παρὰ τοῦ Συρίγου λεγόμενα, καὶ τὴν τῶν μαθημάτων παράδοσιν, τοῖς παρὰ τοῦ Κορυδαλλέως, τὸν μὲν νηπίῳ παιδί, τὸν δὲ ἀνδρὶ τελείῳ ἀπείκαζε· διά τοι τοῦτο καὶ μεταγνοὺς τῆς ἐκείνου ἀναχωρήσεως, ἐπιποθῶν δὲ αὖθις αὐτῷ προσελθεῖν, ὑπ' αἰσχύνης δὲ μὴ δυνάμενος, ἑτέρῳ τινὶ τρόπῳ τοῦ ποθουμένου συνηνέχθη τυχεῖν· βαδίζοντος γάρ ποτε τούτου κατά τινα χρείαν ἔν τινι στενωπῷ, καὶ Θεόφιλον αὐτίκα ἐκ θατέρου μέρους βαδίζοντα, κατὰ συγκυρίαν συνελθεῖν καὶ συναντῆσαι τούτοις ἀλλήλοις συνέπεσε· καὶ ὁ μὲν ᾐσχύνθη καθ' ὑπερβολὴν οὕτως ἐξ ἀπροόπτου τῷ καθηγητῇ συναντήσας· ὁ δὲ (ἦν γὰρ καὶ αὐτὸς μεταγνοὺς, τῆς ἐκείνου ὁμιλίας καὶ ὑπηρεσίας μονωθείς) πρὸς αὐτὸν ἰδὼν καὶ μειδιάσας ἱλαρᾷ τῇ φωνῇ, πῶς ἔχει σοι τὰ τῶν μαθημάτων, εἰρωνικῶς οὕτως ἔφη, Εὐγένιε; ὁ δὲ πρὸς αὐτὸν κάτω μᾶλλον καὶ πρὸς γῆν βλέπων, καλῶς, ἀπεκρίνατο· καὶ ὃς αὖθις: τοσοῦτον χρόνον μετ' ἐμοῦ διατρίβων οὐκ ἔγνως τὰ κατ' ἐμέ, ὅτι πολλάκις ὑπὸ τοῦ θυμοῦ νικώμενος, πολλὰ καὶ τῶν οὐ δεόντων οὐ πρὸς σὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἔλεγον φοιτητάς, καὶ οὐκ ἦν ἕτερός τις

πλὴν σοῦ τῶν μᾶλλον σιωπώντων ἅμα καὶ ὑπομενόντων, τανῦν δὲ πῶς οὕτως ἐπιλέλησαι σεαυτοῦ; ἀλλ' εἰ βούλει πάλιν ἐπανελθεῖν πρὸς ἐμὲ, ἐλθέ. Τούτων δὲ παρ' ἐλπίδα πᾶσαν ἀκούσας τὴν ἑαυτοῦ Εὐγένιος, ἑρμαίῳ τῷ λόγῳ χρησάμενος, ἐπανῆλθε μετὰ σπουδῆς πρὸς αὐτὸν, καὶ τῶν προτέρων εἴχετο μαθημάτων.

Κυρίλλου δὲ τοῦ σοφοῦ (οὗ πολλάκις ἐν τοῖς ἄνω ἐμνήσθημεν) τὸν πατριαρχικὸν τῆς Κωνσταντίνου θρόνον ἰθύνοντος, καὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων εἰς ἐπίδοσιν προϊόντων, δημηγορίαις τε ταῖς παρ' ἐκείνου τῆς ἐκκλησίας φαιδρυνομένης, καὶ φροντιστηρίοις παντοδαπῶν μαθημάτων τοῦ τῶν Ἑλλήνων γένους σεμνυνομένου, μὴ φέρων ταῦτα ὁρᾷν ὁ τῶν καλῶν ἐχθρὸς καὶ πολέμιος, ὑποδύεται μὲν καθάπερ πάλαι τὸν ὄφιν ἐν παραδείσῳ, οὕτω τηνικαῦτα τὸν ἐκ Βερροίας ὁμωνυμοῦντα τῷ εἰρημένῳ πατριάρχῃ, ἐγείρει δὲ κατ' αὐτοῦ συκοφαντίας πολλάς τε καὶ χαλεπάς· αὗται δὲ πᾶσαι Ἰησουϊτῶν, ἢ μᾶλλον εἰπεῖν Γιεζουβιτῶν τῶν καταράτων (οἷς ὁμόφρων καὶ οὗτος ἦν) ἐτύγχανον συσκευαὶ τῶν πάντα ἀνακυκώντων· ὧν ἁπάντων ὁ πάπας πρωταίτιος ἦν, ὡς ἔκ τινος λόγου λατινιστὶ μὲν συντεταγμένου, ἑλληνιστὶ δὲ ἑρμηνευθέντος ἔξεστι τῷ βουλομένῳ μαθεῖν, οὗ μέρος τι ἐκ τοῦ ὅλου κἀνταῦθα ὡς ἔχει ἐπὶ λέξεως καταστρῶσαι δεῖν ἔγνωμεν εἰς πλείονα τῶν τὰ κατ' αὐτοὺς εἰδέναι βουλομένων πληροφορίαν.

Ἶσον μέρους τοῦ ἐκ τῆς τῶν λατίνων φωνῆς εἰς τὴν ἰδιωτικὴν τῶν Ἑλλήνων γλῶτταν ἑρμηνευθέντος λόγου.

« Τὴν πέφτην, ὕστερα ἀπὸ τὸ γεῦμα εἰς τὸ σπίτι τοῦ γαρδινάλι, δεκάρχου τῶν γαρδιναλέων, ἔγινε μία συνάθροισις τῶν πρώτων γαρδιναλέων τῆς αὐλῆς τοῦ πάπα, δι' ἀφορμὴν τῆς Κωνσταντινουπόλεως (καὶ τῆς Μποέμιας)· ἡ ἀφορμὴ τῆς Κωνσταντινουπόλεως εἶναι διὰ τὸν πατριάρχην τῶν Ἑλλήνων Κύριλλον, διατὶ πέμπει εἰς τὴν Ὁλάντα διαφόρους νέους Ἕλ-

ληνας, διὰ νὰ παιδευθοῦσι καὶ νὰ μάθουσι τὴν διδασκαλίαν ἐκείνων τῶν Ὀλαντέζων, διὰ νὰ ἠμπορέσῃ μὲ τοῦτο τὸ μέσον νὰ ἐμπάσῃ εἰς τὴν Ἑλλάδα ἀκόμι τὴν διδασκαλίαν τους, μιμούμενος καὶ αὐτὸς τὸν πάπαν Γρηγόριον δέκατον τρίτον, ὁ ὁποῖος διὰ νὰ ἐμπάσῃ τὸν καθολικισμὸν (ἤγουν τὸν παπισμὸν) εἰς τὰ μέρη τὰ ἀρκτῷα, καὶ τῆς Ἑλλάδος, καὶ τῆς Ἀνατολῆς, ἐθεμελίωσε σπουδαστήρια εἰς τὴν Ρώμην τοιούτων νέων. Ε'γνώρισε τοῦτο ὁ πάπας ἀπὸ τοὺς καθολικοὺς τῆς Ὀλάντας (ἤγουν παπίστας) ὁποῦ εἶναι ἐκεῖ, καὶ μερικὰ ἀπὸ τὸν ἐπίσκοπον τὸν λατῖνον ὁποῦ κάθεται ἐκεῖ εἰς τὴν Ὀλάντα κρυφά· ἀμὴ ἡ παρακίνησις ἡ περισσοτέρα καὶ κυριωτέρα ἦλθε τοῦ ἁγίου πάπα ἀπὸ τοὺς ἄλλους ἐπισκόπους καὶ ἐπιστάτας Ἕλληνας, οἱ ὁποῖοι ἂν καλὰ καὶ δὲν γνωρίζουσι τὸν πάπαν ὡσὰν κεφαλὴν κατὰ δύναμιν καὶ ἐξουσίαν εἰς τὴν ἐκκλησίαν, τὸν ὁμολογοῦσιν ὅμως πρῶτον εἰς τὴν ἀξίαν καὶ ὑπεροχήν, καὶ εἰς αὐτὸν καταφεύγουσι διὰ βοήθειαν εἰς ἐκεῖνα τὰ ἄρθρα, εἰς τὰ ὁποῖα ἀντάμα μὲ τὸν αὐτὸν πάπαν διαφέρουσιν ἀπὸ τοὺς καλβινιστὰς καὶ λουτεράνους, καὶ τοὺς ὁμοίους· καὶ τώρα δι' αὐτὸ τοῦτο ἐδράμασιν εἰς τὴν Ρώμην, ἵνα ὁ πάπας διὰ μέσου ἐκείνων τῶν μέγα δυναμένων καθολικῶν, ἤγουν τῶν αὐθεντάδων ὁποῦ ἔχουν μπαΐλους εἰς τὴν Πόλιν νὰ κάμουσι θεραπείαν εἰς τὰ τόσα κακά, νὰ κάμῃ νὰ καθήρουσι καὶ νὰ τιμωρήσωσιν ἐκεῖνον τὸν πατριάρχην Κύριλλον, ὁ ὁποῖος μὲ καινούριαις διδασκαλίαις γυρεύει νὰ ἀναστατώσῃ τὸ βασίλειον τοῦ Ὀτμάνου· καὶ κατασκευάζωντας τὴν ὑπόθεσιν εἰς τοῦτον τὸν τρόπον ἐναντίον τοῦ πατριάρχου τῶν Ἑλλήνων Κυρίλλου, πιστεύεται, ὅτι θέλει περάσει πολλὰ κακά, μόνον οἱ αὐθεντάδες διὰ τὴν παρακάλεσιν τοῦ πάπα νὰ θελήσουσι νὰ ἀποδεχθῶσι τέτοιον ἀγῶνα· ἀμὴ διατὶ κοινὰ (1) εἰς ὅλους τοὺς

(1) Γραπτέον-κοντά. Σ.

ἡγεμόνας εἶναι ὁ πάπας ὀλίγης διαθέσεως, καὶ ἔχει πολλὰ ὀλίγους ὁποῦ τὸν ἀγαποῦσιν, ὥντας ἐκεῖνος εἰς ὅλους ὀλίγον φιλάνθρωπος, δὲν ἠξεύρω πῶς θέλουσι θελήσει νὰ ἐμποῦσιν εἰς τέτοιον στάδιον, καὶ νὰ ἀντισταθοῦσιν εἰς τέτοιαν ἐπικίνδυνον μάχην.»

Σημείωσις Εὐγενίου πρὸς ταῦτα τῇ αὐτῇ ἰδιωτικῇ γλώττῃ.

» Ἠμπορεῖ κάθε φρόνιμος ἄνθρωπος διαβάζωντας ἀπαθῶς καὶ μὲ φόβον θεοῦ· τὰ ἄνωθεν γραμμένα, νὰ γνωρίσῃ καλὰ ποταπὴν λύσσαν εἶχεν ὁ πάπας καὶ οἱ περὶ αὐτὸν ἐναντίον ἐκείνου τοῦ ἱεροῦ ἀνδρὸς Κυρίλλου· διατὶ καθὼς φαίνεται εἰς τοὺς αχκε΄. μῆνα φεβρουάριον εἰς κβ΄., ἔδωκεν ἐγγράφως ἀπὸ τὴν Ρώμην κάποια παραγγέλματα τοῦ Κανάκη τοῦ Ρώση ἀπὸ τὸ Ἀνάπλι νὰ φέρῃ εἰς τὴν Κωνσταντινούπολιν εἰς τοὺς Γεζουΐταις, καὶ εἰς τοὺς ὁμόφρονας αὐτῶν, καὶ μὲ τὸ μέσον τοῦτο νὰ παρακινήσουν τοὺς αὐθέντας τοὺς μπαΐλους νὰ συνδράμουσι μὲ κάθε λογῆς προθυμίαν καὶ σπουδὴν νὰ κάμουσιν ἐναντίον τοῦ Κυρίλλου ὡς διαλαμβάνουσι τὰ ἄνωθεν γεγραμμένα, νὰ τὸν διαβάλλουσιν ὡς ἐπίβουλον καὶ ἀποστάτην εἰς τὸν κρατοῦντα καὶ τοὺς περὶ αὐτόν, καθὼς τὸ ἐκάμασιν ὡς φαίνεται· καὶ ἕως τὸ ὕστερον εἶχαν καὶ ἄλλα πολλὰ γεγραμμένα, διὰ νὰ ἔχῃ εἰς ἐνθύμησιν αὐτὸς ὁ Κανάκης ὁ Ρώσης νὰ μιλῇ ἐκ στόματος τοῦ πάπα πρὸς τὸν αὐτὸν Κύριλλον καὶ πρὸς κάθε ἄλλον ὅπου ἤθελε μιλήσει· τὰ ὁποῖα ἡμεῖς διὰ τὸ πλῆθος τὰ ἀφήκαμεν· ἐγράψαμεν δὲ μόνον ἐκεῖνο ὁποῦ εἶναι ἀρκετὸν νὰ δείξῃ ὅλην τὴν κακίαν τῶν παπιστῶν, καὶ ὅτι ὅλος ὁ χαλασμὸς καὶ ἡ φθορὰ τῆς ἐκκλησίας ἀπὸ ἐκείνους προέρχεται· ἀλλὰ καὶ τοῦτο εἶναι ἄξιον σημειώσεως ἐδῶ περισσότερον ἀπὸ ὅλα· φαίνεται νὰ δεινοπαθοῦσι πολλὰ καὶ νὰ τοὺς κακοφαίνεται νὰ παιδευθῇ τινὰς ἀπὸ τὸ γένος μας εἰς ἄλλον τόπον, ἔξω ἀπὸ τὴν Ρώμην, καὶ νὰ εἶναι ἐλεύθερος ἀπὸ τὸ φαρμακερὸν

καὶ θολερὸν ποτὸν ἐδικόν τους, διατὶ θέλουσι νὰ εἶναι πάντα ἠπατημένος καὶ δουλωμένος εἰς τὸν παπισμόν, καὶ νὰ μὴν εἶναι ἐλεύθερος νὰ κρένῃ τὴν ἀλήθειαν.

» Ποτὲ ὁ μακαρίτης ὁ Κύριλλος φαίνεται νὰ μὴν ἔστειλεν ἄλλον νὰ σπουδάξῃ, ἔξω ἀπὸ τὸν ἁγιώτατον Μητροφάνην τῆς Ἀλεξανδρείας, ὁ ὁποῖος ἐκινδύνευσε πολλὰ ἀπὸ τοὺς παπίστας πανταχοῦ, ἀλλὰ ὄχι μέχρι τέλους, τοῦτο εἶναι φανερὸν εἰς ὅλους. Θεὸς ὅμως ὁ ἅγιος νὰ φυλάξῃ τὴν ἐκκλησίαν του ἄδολον καὶ ἀκαπήλευτον ἀπὸ ταῖς ἐπιβουλαῖς τῶν ἐχθρῶν ὁρατῶν τε καὶ ἀοράτων, καὶ νὰ στέκεται πάντα σταθερωμένη ἐν τῷ θεμελίῳ τῶν Ἀποστόλων, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν· ἀμήν ».

Ἐντεῦθεν τοίνυν ὁ ἐκ Βερροίας σὺν τοῖς περὶ αὐτὸν ὁμόφροσιν ὁρμηθείς, καὶ πάντα κάλων, ὃ λέγεται, μετ' αὐτῶν κινήσας, ἐκβάλλει μὲν τοῦ θρόνου τὸν τούτου ἄξιον, γίνεται δὲ παρ' ἀξίαν αὐτὸς ἐγκρατής· οὐ μὴν δέ, ἀλλὰ καὶ θανάτου δείκνυσιν ἔργον αὐτόν, ἀκοντίσας τῷ τῆς θαλάττης βυθῷ.

Τούτων δὲ γενομένων, πολλὴ τὴν ἐκκλησίαν εἶχε τότε ἡ ταραχή· καὶ πολλοὶ μὲν τὸν ἐκείνου θάνατον ἀπωλοφύροντο, ὡς ἀδίκως γενόμενον, καὶ τοῦτον ὡς τυραννικῶς καὶ ληστρικῶς ἐπιβάντα τοῦ θρόνου πολλαῖς ταῖς ὕβρεσιν ἔπλυνον· ἕτεροι δ' αὖθις ἀπεχθῶς πρὸς ἐκεῖνον διακείμενοι, τοῦτον ὡς νομίμως καὶ κανονικῶς τὴν ἀρχὴν διαδεξάμενον ἀνευφήμουν, καὶ οὕτω πολλαὶ πρὸς πολλοὺς ἦσαν ἔριδες· ὁ δὲ γεννάδας οὗτος ὠτακουστὰς ὅτι πλείστους ἑκασταχοῦ τῆς πόλεως προβαλλόμενος, ἐβούλετο διὰ τούτων μανθάνειν τίς μὲν ὁ περὶ ἐκείνου λέγων εἴη χρηστά, τίς δὲ ὁ περὶ αὐτοῦ τἀναντία· καὶ δὴ μαθών, ἕνα καὶ Θεόφιλον εἶναι τὸν Κορυδαλλέα, τὸν ἐκείνῳ μὲν πολὺν τὸν ἔπαινον πλέκοντα, καὶ τῆς τελευτῆς μακαρίζοντα, τούτῳ δὲ τὰ τῷ τρόπῳ καὶ τοῖς ἔργοις πρόσφορα ἐπιφέροντα, καὶ τοὺς αὐτοῦ φοιτητὰς πάντας ἔχοντα ὁμοφρονοῦντας αὐτῷ,

ὁπλίζεται μὲν καὶ κατ' ἐκείνου πολυειδῶς, οὐχ οὕτω δὲ ὅσον κατ' Εὐγενίου τοῦ ἱεροῦ· περὶ τούτου γὰρ ἔφθη καὶ πλέον τι παρὰ τῶν ἐν τοῖς τοιούτοις αὐτῷ διακονουμένων ἀκηκοώς, ὅτι δηλαδὴ καὶ ἐγκωμίοις ἐτίμησε τὸν παρ' αὐτοῦ πνιγέντα, καὶ ἐκκλησιαστικὴν ἀκολουθίαν περὶ αὐτοῦ συνεγράψατο.

Μαίνεται τοίνυν ἐκπάγλως, ἵνα τι καὶ ποιητικῶς εἴπω τὸ ἐκείνου ἦθος μᾶλλον παραστῆσαι βουλόμενος, ὁ μανίᾳ πάσῃ καὶ πρότερον κάτοχος ὢν κατὰ τοῦ ἀνευθύνου τούτου ἀνδρός· καὶ πρῶτον μὲν ἐκ τῶν ἰδίων ἐβούλετο πέμψαι τινὰς τὴν οἰκίαν ἐν ᾗ κατῴκει ἐρευνήσοντας, εἰ ἄρα εὕροιέν τι τῶν περὶ Κυρίλλου γραφέντων αὐτῷ, καὶ μετ' αὐτοῦ τοῦτον ἐπὶ τὸ πατριαρχεῖον ἀπάξοντας, ὡς ἀπολογησόμενον τῇ περὶ αὐτὸν συνόδῳ καὶ εὐθύνας παρέξοντα.

Φώτιος δέ τις ἐν μειρακίοις ἔτι τελῶν, καὶ ποτὲ μὲν τούτῳ μαθητευόμενος, ποτὲ δὲ τῷ πατριαρχείῳ προσεδρεύων, καὶ τοῖς καλουμένοις νοταρίοις καταλεγόμενος, γνώμης τε καὶ καθ' ἑαυτὸν εὖ ἔχων, καὶ πρὸς αὐτὸν ὅτι μάλιστα εὐνοϊκῶς διακείμενος, τῶν τῷ ἐκ Βερροίας βουλευομένων τε καὶ λεγομένων ἀκούσας, σπεύσας ὅτι τάχιστα ἐδήλωσεν αὐτῷ πάντα τὰ κατ' αὐτοῦ σκευωρούμενα· πολλὴν δὲ καὶ οὗτος οὐ τότε μόνον, ἀλλὰ καὶ διὰ βίου παντὸς ἐδείκνυε πρὸς Φώτιον τὴν φιλίαν, καὶ ὡς υἱὸν αὐτὸν εἶχε πνευματικόν, ἐκείνης τε ἕνεκα τῆς εὐεργεσίας, καὶ τῶν ἄλλων ὧν εἶχε χρηστῶν ἠθῶν, ὡς δῆλον καὶ ἐκ πολλῶν ὧν πρὸς αὐτὸν ἐκ διαφόρων τόπων γέγραφεν ἐπιστολῶν. Μαθὼν τοίνυν παρὰ Φωτίου τὰ κατ' αὐτοῦ ὡς ἔφημεν σκευωρούμενα, τὰ περὶ Κυρίλλου αὐτῷ συγγεγραμμένα παραυτίκα λαβών, καὶ μὴ δυνάμενος ἑτέρωθί που ταῦτα ἐγκρύψαι, τὸ προσκεφάλαιον αὐτοῦ ἀναλύσας, καὶ ἔσω ταῦτα ἐνθείς ἀνέρραψεν αὖθις ὡς ἦν καὶ πρότερον· οὐ πολλή τις παρῆλθε καιροῦ ῥοπή, ἀφ' οὗ τοῦτο πεποίηκε, καὶ οἱ παρὰ τοῦ ἐκ Βερροίας ἀποσταλέντες τῇ οἰκίᾳ ἐπέστησαν, οὐ κιβώτιον, οὐ βίβλον, οὐ

πήραν, οὐχ ἱμάτιον, οὐδ᾽ ἄλλο τι τῶν σκευῶν ἐάσαντες ἀνενόχλητον, ἀλλὰ πάντα μετ᾽ ἀκριβείας ἀνερευνήσαντες, ὡς οὐδὲν ὧν ἤλπιζον εὗρον, τοῦτον μόνον λαβόντες εἰς τὸ πατριαρχεῖον ἀπήγαγον, καὶ τῷ βήματι τοῦ ἀποστείλαντος τούτους παρέστησαν ἀπολογησόμενον ὑπὲρ τῶν ἐγκλημάτων ὧν αὐτῷ ἐνεκάλουν.

Καὶ δὴ τοῦτον ἰδὼν ὁ τῷ τοῦ πατριάρχου ὀνόματι ψευδῶς κληϊζόμενος — σὺ εἶ ὁ τοσοῦτον ἔπαινον Κυρίλλου τοῦ κακῶς καὶ βεβιωκότος καὶ θανόντος ποιούμενος, ὥστε καὶ ἐκκλησιαστικῇ τιμῆσαι τοῦτον ἀκολουθίᾳ; — Ἐγώ εἰμι, ἀπεκρίνατο, ὁ τοῖς εὐεργετοῦσί με, εἰ καὶ μὴ ἔργοις, ὡς μὴ δυνάμενος, ἀλλὰ γοῦν λόγοις χάριτας ὁμολογεῖν οὐ παυόμενος, καὶ τοὺς ἀρετῇ κεκοσμημένους ὅση δύναμις ἐπαινεῖν βουλόμενος! Τούτων ἀκούσας ὁ τυραννικὴν μᾶλλον, ἢ ἐκκλησιαστικὴν ἀρχὴν ἑαυτῷ περιθέμενος, οὐκ ἠνέσχετο καὶ περαιτέρω τὸν λόγον προσενεγκεῖν, ὥστε καὶ ἀκριβέστερον ἀνακρῖναι, (θυμῷ γὰρ μᾶλλον ἢ λόγῳ δεδουλωμένος ἦν) ἀλλὰ καθαιρέσει τοῦτον αὐτίκα καθυποβάλλει, προσαπειλήσας καὶ ταύτης πλείονα, καὶ μετὰ πολλῆς τῆς ὀργῆς τοῦ πατριαρχείου ἐκβαλών· οὐκ ὀλίγα δὲ καὶ κατὰ Κορυδαλλέως καὶ τῶν λοιπῶν αὐτοῦ φοιτητῶν εἰρήκει κατηγορίας γέμοντα καὶ ἀπειλῆς. Καὶ οὕτω μὲν ἐπανῆλθεν Εὐγένιος ἐκ τῶν αὐτῷ παρὰ δόξαν συμβάντων πανταχόθεν συγκεχυμένος, καὶ λογισμοῖς προσπαλαίων πολλοῖς· εἰ καὶ παραμυθητικοῖς λόγοις τοῖς παρά τε τοῦ καθηγητοῦ καὶ τῶν φίλων τὸ φλεγμαῖνον τῆς λύπης αὐτοῦ κατεμάλασσεν.

Ὁ δὲ καλὸς κἀγαθὸς ἐκ Βερροίας οὐκ εἰς μακρὰν εἰσπράττεται δίκας τῆς τολμηρίας ἅμα καὶ ἀσεβείας, καὶ εἰς Ἀφρικὴν παρὰ τῶν δυναστῶν ἐξορίζεται, τἀπίχειρα τῆς κακίας αὐτοῦ ληψόμενος· διάδοχος δὲ τούτου, οὐ τῆς γνώμης, ἀλλὰ τοῦ θρόνου καθίσταται ὁ Παρθένιος ὁ γέρων· ᾧ καὶ προσελθὼν ὁ Εὐγένιος, καὶ τὰ ὑπὸ τοῦ ἐκ Βερροίας εἰς αὐτὸν γινόμενα πάντα

δηλώσας, καὶ μάλιστα τὴν καθαίρεσιν, προσέπιπτε, καὶ τῶν ποδῶν αὐτοῦ προεκυλινδεῖτο, λύσιν αἰτῶν παρ' αὐτοῦ τῆς παραλόγου ἐκείνης καθαιρέσεως· ὁ δὲ τοῦτον ἱλαρῶς καὶ φιλοφρόνως δεξάμενος, καὶ τῆς πρὸς αὐτὸν εὐλαβείας θαυμάσας, δέδωκεν αὐτῷ τὴν ταύτης λύσιν ἐγγράφως ἔχουσαν οὑτωσί:

» Παρθένιος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

» Ἐπειδὴ ὁ κακῶς καὶ φὺς καὶ τραφεὶς ἐκ Βερροίας Κύριλλος τῇ τῶν ἔξω χρησάμενος δυνάμει ἐγκρατὴς τοῦ πατριαρχικοῦ παρανόμως ἐγένετο θρόνου, ὡς ἴσασι πάντως οὐ μόνον οἱ ἐγγύς που, ἀλλὰ δὴ καὶ οἱ πόρρωθεν τῆς καθ' ἡμᾶς οἰκοῦντες, νεωτερισμούς τινας τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ Χριστοῦ ἐκκλησίᾳ ἐπεισάγειν διανοούμενος, τοὺς ὁπωσοῦν ἀντιλέγειν αὐτῷ ἐπιχειροῦντας διαφόρως ἐπαίδευεν, Ἰεσουΐταις τε καὶ τοῖς τοιούτοις ὁμόφροσι χαριζόμενος, δι' ὧν καὶ τὸ πρῶτον ἐπὶ τὴν ἀρχὴν προεβιβάσθη· ἐξ ὧν εἷς καὶ ὁ ὁσιώτατος καὶ λογιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κὺρ Εὐγένιος ὁ Ἰαννούλιος οὑτοσί, ὃν παραλόγῳ καθαιρέσει ὑπ' αὐτοῦ καθυποβληθέντα, ἡ μετριότης ἡμῶν ἔχει συγκεχωρημένον καὶ λελυμένον τῆς παρανόμου ἐκείνης καθαιρέσεως, ἔχοντα τὸ ἐνεργοῦν τῆς ἱερωσύνης αὐτοῦ ἀκωλύτως καὶ ἀνεμποδίστως· ἐπὶ γὰρ τούτῳ γέγραπται καὶ τὸ παρὸν τῆς ἡμῶν μετριότητος ἀθωώσεως αὐτοῦ γράμμα, καὶ ἐπεδόθη αὐτῷ· ἐν ἔτει σωτηρίῳ ᾳχλθ'., ἐν μηνὶ ὀκτωβρίῳ, ἰνδικτιῶνος η'. »

Εἶτα, τῶν μὲν σκανδάλων καὶ μετὰ πολὺν χρόνον ἐς τέλος οὐδέπω λωφησάντων, τῶν δὲ μαθημάτων ἐλαττουμένων, ἀπορίᾳ τοῦ τὰ κατὰ τὴν σχολὴν συνιστῶντος, ἀχθεσθεὶς δὲ καὶ τὴν ἐν τοιούτοις ὄχλοις διατριβήν, (τρίτον γὰρ διέβαινεν ἔτος, ἐξότου εἰς Θρᾴκην ἀνέπλευσεν) ἀπάρας ἐκ Κωνσταντινουπόλεως τὴν Ἑλλάδα αὖθις κατέλαβε, τὸν καθηγητὴν ἐκεῖ καταλείψας· παρακληθεὶς δὲ ὑπὸ τῶν τὰ πρῶτα ἐν τῇ Ἄρτῃ

τῆς Ἀκαρνανίας φερόντων, τῆς παρ' αὐτῶν αὐτόθι γενομένης σχολῆς προστῆναι, ἧς καὶ Πκΐσιος προστάτης ᾑρέθη πρὸ χρόνων τινῶν ὁ ἀπὸ Κεφαλληνίας Μεταξᾶς, τὴν ἔφεσιν τούτων ἀποπληρῶν, προέστη ταύτης ἔτος καὶ μόνον ἕν· εἶτα εἰς τὸ Ἀνατωλικὸν τῆς Αἰτωλίας μετέβη, καὶ παρὰ τῶν αὐτοῦ φίλων πολλῆς ἔτυχε δεξιώσεως.

Ὁ δὲ Κορυδαλλεὺς Θεόφιλος, οὐ μετὰ πολὺ τοῦ Εὐγενίου τῆς Ἄρτης ἐξελθόντος, παρακλήσει τινῶν τῶν ἐκ τῆς αὐτῆς πόλεως εἰς Κωνσταντινούπολιν κατά τινα χρείαν ἀναβάντων πεισθείς, ἀρχιερεὺς Ναυπάκτου καὶ Ἄρτης ἀναδείκνυται καὶ Θεοδόσιος ἀντὶ Θεοφίλου μετονομάζεται, καὶ μετ' ὀλίγον τὴν Ἄρταν καταλαμβάνει, μητροπολίτης τῆς ἐπαρχίας ταύτης καὶ ὢν καὶ καλούμενος· ἐπεὶ δὲ πολιτικῶν πραγμάτων παντάπασιν ἄπειρος ἦν, εἰ καὶ θεωρητικῆς φιλοσοφίας ἐς ἄκρον ὑπῆρχεν ἐληλακώς, οὐδ' ἔτος ὁλόκληρον ἠδυνήθη τοὺς τῆς ἐκκλησίας ταύτης οἴακας ἔχειν ἐν ταῖς χερσίν· ἡνίκα γὰρ πολιτικάς τινας ἢ καὶ ἐκκλησιαστικὰς ὑποθέσεις καὶ πράξεις καιρὸς ἐκάλει τοῦτον μεταχειρίζεσθαι, οὐ μόνον οὐδὲν τούτων ὡς εἰκὸς ἦν κατώρθου, ἀλλὰ καὶ γελοῖά τινα εἰσέτι καὶ νῦν εἰσὶν οἱ λέγοντες τοῦτον καὶ λέγειν καὶ πράττειν· καὶ πολὺ τούτων γελοιότερα ἦν ἂν πεποιηκώς, εἰ μὴ Εὐγένιος πολλάκις συνὼν αὐτῷ τὰ πλεῖστα διώρθου· οὐδὲ γὰρ πάντῃ τὴν συνουσίαν αὐτοῦ ἀπελείπετο, εἰ καὶ ἀπ' ἀλλήλων διΐσταντο. Ταύτῃ τοι καὶ ταύτην παραιτησάμενος, Ἀθήναζε παραγίνεται, καὶ τῇ πατρίδι τὸ τελευταῖον δίδωσιν ἑαυτόν· ὃν καὶ μετὰ πάσης τῆς προθυμίας οἱ συμπολῖται ἀποδεξάμενοι, οὐχ ὡς Ἀθηναῖον μόνον, ἀλλὰ καὶ ἕνα τῶν πάλαι γεγενημένων ἐν αὐτῇ φιλοσόφων, ἀλλὰ καὶ ὡς τῇ ἀρχιερατικῇ ἀξίᾳ κεκοσμημένον, τιμῆς τῆς προσηκούσης ἠξίωσαν· καὶ αὖθις μαθητιῶντες οὐκ ὀλίγοι πρὸς αὐτοὺς ἁπανταχόθεν συνέρρεον. Τηνικαῦτα καὶ Νεκτάριος ὁ ὕστερον Ἱεροσολύμων πατριάρχης χρηματίσας, Σιναΐτης ὢν

ἱερομόναχος, καὶ εἰς Πελοπόννησον καὶ τὰ πέριξ αὐτῆς, ἐλεημοσύνης χάριν πεμφθείς, φιλοσοφίας ἕνεκεν αὐτῷ συνεγένετο, εἰ καὶ τ' ἄλλα πεπαιδευμένος ἦν· πολλοῖς γὰρ πρότερον κατά τε Κρήτην καὶ ἀλλαχόθι τοῖς διδασκάλοις ἐχρήσατο· καὶ Γερμανὸς προσέτι ὁ ὕστερον ἐν Οὐγκροβλαχίᾳ ποιούμενος τὰς διατριβὰς καὶ Νύσσης ὀνομασθεὶς ἀρχιερεύς, καὶ Διονύσιός τις ἐκ Ναυπλίας τῆς πρὸς τῷ Ἄργει τὸ γένος ἕλκων, καὶ ταύτης ὕστερον πρόεδρος γεγονώς· καὶ συχνοὶ μετὰ τούτων ἕτεροι τῶν αὐτοχθόνων τε καὶ ἀλλοδαπῶν.

Φθάσας δὲ ἐπὶ γῆρας βαθύ, πλειόνων γὰρ ἦν ἢ ὀγδοήκοντα ἐτῶν, καὶ μελαγχολίας ἥττων γενόμενος, ἣν καὶ ἐκ νεωτέρας ἔτι τῆς ἡλικίας εἶχεν, ὡς ἔφημεν, λύπῃ ἀμέτρῳ συσχεθείς, εἰς ἔκστασιν μικροῦ δεῖν ἦλθε φρενῶν· καὶ νῦν μὲν ἐπετείνετο αὐτῷ, νῦν δὲ ἀνύετο τὸ ἀπὸ ταύτης κακόν· ἔτυχε δὲ καὶ χρημάτων ὧν εἶχεν ἀποβολὴν παθεῖν, ὃ καὶ μᾶλλον αὐτῷ ταῦτα προὐξένησε· δεῖγμα δὲ προφανὲς τῆς ἧς εἶχε τότε ταλαιπωρίας Ἀθήνῃσι, καὶ ἡ πρὸς τὸν Εὐγένιον ἣν πέπομφεν ἐκεῖθεν ἐπιστολὴ ἐν Μεσολογκίῳ διατρίβοντα, μετακαλούμενος τοῦτον ὡς αὐτὸν ἐλθεῖν, ἐπισκεψόμενον καὶ παραμυθήσοντα, καὶ μαθημάτων τινῶν γνῶσιν ὧν οὐδέποτε ἤκουσεν ὑπισχνούμενος, μάλιστα τῶν ἀπὸ θεολογίας, ἐν ᾗ καὶ ὑπέγραψεν ἑαυτόν, ὁ τάλας Κορυδαλλεύς. Ἀλλ' ὁ Εὐγένιος οὕτως ἔχοντα τοῦτον εἰδώς, σκῆψιν τοῦ μὴ δύνασθαι πρὸς αὐτὸν ἐλθεῖν εὑρηκώς, ἔμεινε κατὰ χώραν. Ὁ δὲ μετ' ὀλίγον αὐτόθι τὸν βίον κατέλυσε· καὶ οὕτω τὰ περὶ αὐτὸν συνηνέχθη γενέσθαι· τούτου μόνον ἐπὶ τέλει ἀξιωθεὶς τῆς αὐτοῦ βιοτῆς, τῆς ἐν τῇ πατρίδι ταφῆς.

Ὁ δὲ Εὐγένιος, εἰ καὶ τότε ἐν Μεσολογκίῳ ἦν, ἀλλὰ πρὸ τῆς ἐκεῖσε μεταβάσεως, ἐν τῷ Ἀνατωλικῷ διέτριβεν, ὡς ἔφθημεν ἀνωτέρω εἰπόντες, ἐκ τῆς Ἄρτης ἐλθών, καὶ διῆγε τὸν βίον εὐθύμως τε καὶ θεοφιλῶς μετὰ τῶν ἐνταῦθα φίλων, καὶ

φοιτητῶν ἱκανῶν εἶχε περὶ αὐτὸν χορόν, πρωτεύοντος πάντως Γρηγορίου τοῦ Μανέσιος, οὗ καὶ ἀνωτέρω ἐμνήσθημεν, ὧν εἷς καὶ Ἰάκωβος ἦν ὁ ὕστερον ἐπίσκοπος Λητζᾶς καὶ Ἀγράφων γεγονώς, ἐκ Καρπενησίου ἐλθών. Ἀλλ' ἡ εἰς Μεσολόγγιον αὐτοῦ μετάβασις ἀπὸ τοιαύτης ἔτυχε γενέσθαι αἰτίας· οὐδὲ γὰρ ἐπαύετο τῶν κακῶν ὁ ἐφευρετὴς ἠρεμεῖν, καὶ μὴ συνεχῶς ὁπλίζεσθαι κατ' αὐτοῦ.

Ὁ τὴν ἡγεμονίαν τῶν ἐνταῦθα κατέχων τότε χωρῶν, ἄνδρας τινὰς Σακαρεσσιάνους, ἀπὸ χωρίου τινὸς Σακαρέσσιον οὕτω καλουμένου, καθείρξας ἐν τῇ εἱρκτῇ ἔνδον τοῦ Ἀνατωλικοῦ, πολλοῖς ἐξέθλιβε τούτους κακοῖς, χρημάτων ἀριθμὸν αὐτοὺς ἀπαιτῶν τὴν δύναμιν αὐτῶν ὑπερβάλλοντα. Ὁ δὲ θαυμάσιος καὶ ἱερὸς οὗτος ἀνήρ, οὕτως ἔχοντας τούτους ὁρῶν, εἰ καὶ κατὰ μηδὲν ἄλλο βοηθεῖν αὐτοῖς οἷός τε ἦν (συμπαθείᾳ γὰρ ἡττᾶτο καθ' ὑπερβολὴν ὡς ἄλλος οὐδείς), τὰ πρὸς βρῶσιν καὶ πόσιν συνεχῶς αὐτοῖς ἐχορήγει διά τινων τῶν αὐτοῦ φοιτητῶν· οὐ πολλαὶ μεταξὺ παρῆλθον ἡμέραι, καὶ τῆς φυλακῆς οἱ ἄνδρες ἐξελθόντης νυκτός, φυγάδες ἐγένοντο· τούτου μεθ' ἡμέραν ἐπὶ τὰς ἀκοὰς τοῦ ἡγεμόνος ἐλθόντος, ἔρευνα ἀνὰ τὴν κώμην πᾶσαν ὑπὸ τῶν αὐτοῦ γίνεται ὑπηρετῶν· καὶ τίς ὁ τοῦτο δράσας, καὶ τὰ πρὸς φυγὴν τοῖς ἀνδράσιν εἰσενεγκών, ἐξητάζετο διὰ πολλῶν, ἀπειλαί τε πᾶσιν ἐγίνοντο, καὶ μάστιγες ἔστιν οἷς· ἀλλ' ὡς οὐδέν τι τούτων εἰς γνῶσιν ἧκεν αὐτῷ, καίτοι ἐπὶ πολὺ ποιουμένῳ τὴν ἔρευναν, Ἀγαρηνός τις, τὸ γένος ἕλκων ἐκ τῶν Ἀλβανῶν καὶ ἐν τῇ κώμῃ ταύτῃ οἰκῶν, πολὺ πρὸς τὸν ἱερὸν τοῦτον ἄνδρα ἐκ πολλοῦ τρέφων τὸ μῖσος ἐν ἑαυτῷ, ἅτε δὴ καὶ πολλὴν ὁρῶν τοὺς τὴν κώμην ταύτην οἰκοῦντας πρὸς αὐτὸν ἐπιδεικνυμένους αἰδῶ καὶ τιμήν, καὶ ἀεὶ τὰ παρ' αὐτοῦ λεγόμενα ἀόκνως ποιοῦντας, ὑπὸ πολλοῦ φθόνου κινηθείς, προσελθὼν τῷ ἡγεμόνι φησὶν — Εἰ τὸν παρὰ τῶν ἐγχωρίων τούτων Διδάσκαλον καλούμενον κρατήσεις, καὶ

δεσμοῖς καὶ εἱρκτῇ παραδώσεις, τὸ παρὰ τῶν φυγάδων ἐκείνων ὀφειλόμενόν σοι πᾶν ὅσον βούλει, αὐτίκα δοθήσεται· οὗτος γάρ ἐστιν ὁ φυγαδεύσας αὐτούς, καὶ εἰ μόνον ἐν πείρᾳ τούτων γενήσεται, πάντες ὑπὲρ αὐτοῦ θανεῖν μᾶλλον αἱροῦνται, ἢ μικράν τινα τιμωρίαν αὐτὸν ἐνεγκεῖν, ὡς γὰρ προφήτην αὐτὸν ἔχουσι, καὶ λόγων οὐδεὶς αὐτοῦ εἰκῇ καὶ μάτην ἐκπίπτει τῶν πρὸς αὐτούς· διὸ μηδόλως βραδύνας, ὡς τάχος ποίει τὰ παρ' ἐμοῦ σοι ὑποτιθέμενα, καὶ οὐδὲν ἐμποδών σοι γενήσεται τοῦ ποθουμένου τυχεῖν.

Ταῦτα τοῦ καταράτου ἐκείνου εἰπόντος, τοὺς περιεστῶτας αὐτοῦ ὑπηρέτας ὁ ἡγεμὼν αὐτίκα προσκαλεσάμενος, ὅσον τάχος, πρὸς αὐτούς φησιν, ἀπελθόντες τὸν λεγόμενον παρὰ τῶν ἐνταῦθα ἐγχωρίων Διδάσκαλον λαβόντες, ἀγαγεῖν ὧδε σπεύσατε. Ἀπελθόντες τοίνυν καὶ εὑρόντες αὐτὸν ἐν τῇ οἰκίᾳ ἐν ᾗ κατέμενε, λαβόντες πρὸς τὸν πέμψαντα αὐτοὺς ἤγαγον· ὁ δὲ μηδὲν πρὸς αὐτὸν εἰπών, τῇ εἱρκτῇ προστάττει τοῦτον ἐναπορρίψαι καὶ ἀσφαλῶς τηρεῖν· ὃ δὴ παραχρῆμα ἐς τέλος ἤγαγον· καὶ ἦν ἐν τῇ εἱρκτῇ ὁ μακάριος, οὐδὲ δι' ἣν αἰτίαν εἴη πεπονθὼς τοῦτο εἰδώς, ἀλλ' εὐχαρίστους ἦν νύκτωρ καὶ μεθ' ἡμέραν τῷ θεῷ προσφέρων φωνάς.

Ὡς δὲ δῆλον ἀνὰ τὴν κώμην πᾶσαν ἐγένετο τὸ πραχθέν, πάντες ἐν ἀθυμίᾳ ἦσαν πολλῇ, ἄνδρες τε ὁμοῦ καὶ γυναῖκες μετὰ τῶν παίδων, καὶ πολὺς ἦν ὁ θόρυβος περὶ αὐτοῦ, τὸν σφῶν αὐτῶν πατέρα καὶ διδάσκαλον ἐπὶ στόματος πάντων ἐχόντων· καὶ εἰ μὴ παρὰ τῶν ἐν τῇ κώμῃ προὐχόντων οἰκονομία τις ἐγεγόνει περὶ τὰ πράγματα, ἐπὶ μεῖζον ἂν προὐχώρησε τὸ κακόν· ἑτοίμως γὰρ ἅπαντες εἶχον λιθόλευστον τὸν ἡγεμόνα ποιῆσαι, καὶ φόνου πικροῦ παρανάλωμα· ἐγένετο δὲ ταῦτα μικρῷ πρόσθεν τῆς ἑορτῆς τῶν τοῦ σωτῆρος ἡμῶν γενεθλίων· καὶ ἦν ἔτι κατ' αὐτὴν τὴν σεβασμίαν ἡμέραν ἐν τῇ εἱρκτῇ. Μὴ δυνάμενοι δ' ἄλλως οἱ κατὰ τὴν κώμην πρωτεύον-

τες ποιῆσαι, ἵνα μὴ τὸ κακὸν, ὡς ἔφημεν ἐπὶ μεῖζον ἀρθῇ, μόλις αὐτῷ συνεφώνησαν, τριακοσίους ἀργυροῦς ὑπὲρ τῶν φυγάδων καταβαλεῖν, καὶ τοῦτον τῆς εἱρκτῆς ἀπαλλάξαι· οὗ γενομένου, ἀπήλλακτο μέν, ᾐτεῖτο δὲ τὸν συμπεφωνημένον αὐτῷ περὶ τοῦ φροντιστηρίου μισθὸν παρ' αὐτῶν λαβεῖν, καὶ ὅπου περ ἂν βούλοιτο ἀπελθεῖν· οὗτοι δὲ πρὸς τὴν τοιαύτην αἴτησιν ἀπαναινόμενοι, διὰ τὸ ὑπὲρ αὐτοῦ τοὺς τριακοσίους καταβαλεῖν ἀργυροῦς, σκανδαλισθεὶς ὡς κατ' οὐδὲν ὑπαίτιος ὤν, εἰς Μεσολόγκιον ἐποιήσατο τὴν μετάβασιν, κἀκεῖ διατρίβων ἦν μετὰ τῶν περὶ αὐτὸν φοιτητῶν.

Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ κατὰ τὴν Κρήτην ἤρξατο πόλεμος, καὶ πολλή τις ἦν κατὰ θάλατταν ἡ ταραχή, οἷα φιλεῖ κατὰ τοὺς τοιούτους πολέμους γίγνεσθαι, πολὺν δὲ καὶ οἱ τὰ παράλια οἰκοῦντες εἶχον τὸν φόβον· διὸ καὶ ὕποπτον πάνυ τὴν τῆς Αἰτωλίας παραλίαν εἶναι οἰηθείς, εἰς Καρπενήσιον διέγνωκεν ἀνελθεῖν, προτρεπόμενον ἔχων ἐπὶ τούτῳ αὐτὸν, καὶ Ἰάκωβόν τινα ἱερομόναχον, ἐκεῖθεν τὸ γένος ἕλκοντα, προεντυχόντα αὐτῷ ἐκεῖσέ ποτε γενομένῳ, καὶ παιδείας ἕνεκα ἐπὶ τὸ Ἀνατωλικὸν κατελθόντα, ὃν καὶ ἐπισκοπικῆς ἀξίας μετὰ ταῦτα τυχεῖν ὁ λόγος ἐδήλωσε μὲν καὶ πρότερον, δηλώσει δὲ καὶ προϊὼν ἀκριβέστερον.

Ἀνελθὼν οὖν, οὐ τῆς τυχούσης ἠξιώθη παρὰ τῶν τὴν κωμόπολιν ταύτην οἰκούντων εὐνοίας· ἦσαν γάρ, εἰ καὶ πρὸς πᾶσαν παιδείαν ἀνοικείως ἔχοντες, εὐλαβῶς μέντοι πρὸς τοὺς τοιούτους τῶν ἀνδρῶν διακείμενοι, καὶ λόγῳ τῷ παρ' αὐτῶν πειθόμενοι· οὓς οὕτως ἔχοντας ὁ θαυμάσιος οὗτος ἰδών, καὶ πεῖραν δοὺς καὶ λαβών, περὶ τοῦ σεβασμίου ναοῦ τοῦ ἐπ' ὀνόματι τῆς ζωαρχικῆς Τριάδος τοῦ ἑνὸς τῶν ὅλων θεοῦ τιμωμένου, πρὸ πάντων ἤρξατο ποιεῖσθαι τὴν διάσκεψιν· ἦν γὰρ ὁ ναὸς οὗτος ἐν μέσῃ τῇ κωμοπόλει οὐ μόνον ἐν μικρῷ τινι χωρίῳ περιγραφόμενος, ἀλλὰ καὶ σχήματος καὶ κάλλους οὐ-

δ' ὁπωσοῦν μετέχων ἱερῷ προσηκόντων ναῷ· εἶπεν ἄν τις τοῦτον ἰδὼν οὐδὲ οἰκίᾳ τινὶ τῶν ἰδιωτικῶν καὶ πάνυ ἀδόξων ἀνδρῶν ἐοικότα. Ἐν τούτῳ κατεβλήθη αὐτῷ ἅπασα ἡ φροντίς, ὥστε εἰς μεῖζον αὐτὸν μέγεθος ἐκτεῖναι κατά τε μῆκος καὶ πλάτος καὶ βάθος, καὶ περικαλλῆ τινα καὶ ὡραῖον αὐτὸν ἀποφῆναι, καὶ οἷον ἄλλον ἐπὶ γῆς οὐρανόν, παντοίοις ὡραϊσμένον καλοῖς, ὡς ἐκεῖνον τοῖς ἀστράσιν ἀποδεῖξαι. Καὶ ἤρξατο μὲν τοῦ ἔργου μάλα προθύμως, οὐκ εἰς τέλος δὲ ἤνεγκεν αὐτὸ τὸ προσῆκον, εἰ καὶ ὅμοιος ἦν οὐδὲν ἔχοντι τῶν πρὸς τὸν τούτου ἀπαρτισμόν· ἀλλ' ἡ πάντων προνοητικὴ τριὰς ὁ Θεός, ἡ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦσα, ῥᾳδίαν πάνυ τὴν πρὸς τὸ θεοφιλὲς τοῦτο ἔργον παρέσχεν αὐτῷ τὴν ἐγχείρισιν· καὶ τοῖς πρὸς θεωρίαν αὐτοῦ συνεχῶς παραγενομένοις τῶν φίλων, ὀργάνοις χρησάμενος, εἶχε πᾶν ὅσον ἦν ἱκανὸν εἰς ἀνάλωσιν τῆς τούτου οἰκοδομῆς. Καὶ πολλοῖς μὲν τοῖς πόνοις, πολλοῖς δὲ τοῖς ἱδρῶσι καθ' ἑκάστην περιρρεόμενος, ἀνίστησιν αὐτὸν ἀπὸ τοῦ μικροπρεποῦς ἐκείνου καὶ πάντῃ ταπεινοῦ σχήματος, εἰς ὃ νῦν παρὰ πάντων ὁρᾶται· καὶ ὡς ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος ἐν Κωνσταντινουπόλει τὴν ἁγίαν Ἀναστασίαν ἐπήξατο, ἐκ πάνυ μικρᾶς ἐπὶ μεῖζον ἀρθεῖσαν, καὶ δι' αὐτὸ τοῦτο οὐχ ἧττον, ἢ διὰ τὸν ὀρθὸν τῆς πίστεως λόγον οὕτως ὀνομασθεῖσαν, οὕτω καὶ οὗτος τουτονὶ τὸν τῆς ἁγίας καὶ βασιλικωτάτης Τριάδος. Οὐ τοῦτον δὲ μόνον εἰς τέλος ἤγαγεν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, ἀλλὰ καὶ οἴκους περὶ αὐτὸν ἐδείματο, καὶ φροντιστήριον εἰς καθηγητοῦ καὶ φοιτητῶν διατριβὴν ἐπιτηδείως ἔχειν. Ἔνθεν τοι καὶ πολλοὶ πανταχόθεν συνέρρεον αὐτῷ φοιτηταί, τινὲς μὲν καὶ τὰ πρὸς δαπάνην ἔχοντες, τινὲς δὲ καὶ ταύτης ὅλως στερούμενοι, εἰ καὶ πολλὴν περὶ τοὺς λόγους εἶχον τὴν ἔφεσιν· οὓς καὶ μετὰ προθυμίας πάσης δεχόμενος, καὶ προτροπαῖς καὶ ὑποθήκαις πρὸς αὐτοὺς χρώμενος, τῷ λογικῷ καὶ τὴν ψυχὴν μᾶλλον ἢ τὸ σῶμα στηρίζοντι ἄρτῳ

διέτρεφεν· οὓς δὲ καὶ ἐνδείᾳ τῶν ἀναγκαίων πιεζομένους ἑώρα, οὐ μόνον ἀμισθὶ τῶν μαθημάτων ἀπολαύειν παρεῖχεν, (οὐ γὰρ ἠνέσχετο λαβεῖν τι ποτὲ παρά τινος) ἀλλὰ καὶ τούτων αὐτὸς ἐγίνετο χορηγὸς, καὶ ἔτρεφέ τε σωματικῶς, καὶ τῆς ἄλλης πάσης ἠξίου ἐπιμελείας. Ἦσαν δὲ τηνικαῦτα αὐτῷ φοιτηταὶ τῶν ἄλλων πάντων ὑπερέχοντες, Γρηγόριος Μάνεσις ὁ ἐκ τοῦ Ἀνατωλικοῦ, περὶ οὗ καὶ ἀνωτέρω ἡμῖν εἴρηται, γνησιώτερός τε καὶ οἰκειότερος, καὶ μᾶλλον ὡς πνευματικὸς υἱὸς αὐτοῦ γνωριζόμενος· μεθ' ὃν Ἀναστάσιός τις, ποιμένος τινὸς ἐκ τῶν καλουμένων Βλάχων υἱός, οὐ Γρηγορίου μόνον τοῦ κατὰ χρόνον πρωτεύοντος, ἀλλὰ καὶ πάντων τῶν ἄλλων εὐφυέστερος, ὃν καὶ Παντοδύναμον ὁ καθηγητὴς ἐκάλει, διὰ τὸ πάντα ῥᾴδια εἶναι λέγειν αὐτῷ δοκεῖν· τούτου καὶ ἕτερός τις ἦν τῷ γένει μόνον, ἀλλ' οὐ καὶ τῇ εὐφυΐᾳ ἐφάμιλλος, Θεοφάνης τοὔνομα, ὅστις καὶ νῦν εἰσέτι τῷ βίῳ περίεστιν, ἀλλ' οὐκ ἦν ἐκ τῶν πρώτως αὐτῷ φοιτησάντων. Τῆς πρώτης δέ γε τάξεως ἦσαν μετὰ Γρηγορίου καὶ Ἀναστασίου, Σωφρόνιός τις Ἀκαρνὰν ἀπὸ χωρίου Δραγαμέστου καλουμένου, οὗ καὶ ἀνωτέρω που ἐμνημονεύσαμεν, βραχύ τι κατ' εὐφυΐαν τοῦ Ἀναστασίου ἐλαττούμενος· καὶ Δαμασκηνός τις Εὐνοῦχος, ὅστις καὶ Ἀθήνησιν ὕστερον ἐτελεύτησεν, ἔκ τινος χωρίου τῶν ἐν τῷ καλουμένῳ Βάλτῳ ὁρμώμενος Κάμινος λεγομένου· προέστη δὲ οὗτος ἐπὶ βραχὺ καὶ τῆς σεβασμίας μονῆς Τετάρνης· μετὰ τούτων δὲ καὶ Ἰωσήφ τις ἔκ τινος τῶν Αἰτωλικῶν χωρίων, τὸ γένος Ἀρβανιτάκης, ὕστερον δὲ Σκροῦμος περιᾳδόμενος, διὰ τὸ τῆς γνώμης δυσάρεστον ὑπό τινος τῶν εὐτραπέλων οὕτως ὀνομασθείς· ὅστις καὶ αὐτὸς ἔτι τῷ βίῳ περίεστι γηραιὸς πάνυ· καὶ πρὸς τούτοις Ἰάκωβος ὁ ὕστερον ἐπισκοπήσας, ὥς που καὶ ἅπαξ καὶ δὶς ἐν τοῖς ἄνω εἰρήκαμεν, φιλομαθὴς μὲν ὡς οὐδεὶς ἕτερος, ἀφυὴς δὲ πολλῷ τῷ μέτρῳ. Σὺν τούτοις δὲ καὶ ἑτέροις ἔτι πλείοσιν, οὓς περιττὸν ἡμῖν ἐνταυθοῖ καταλέγειν, καὶ Νικόλαος ἦν ὁ ἐκ

Βελισδονίου χωρίου τινὸς τῶν Ἀγράφων, ἐν προθύροις ἔτι στρεφόμενος τῆς τέχνης τῶν ἀσκληπιαδῶν, εἰ καὶ ὕστερον ἐπὶ τοσοῦτον κατ' αὐτὴν ἐθαυμάσθη. καὶ ἐπὶ μέγα ἤρθη τῆς φήμης, ὥστε καὶ βασιλικὸς ἀρχιατρὸς ἀνακηρυχθῆναι· ἦν δὲ κατὰ πάντα ὁ ἀνὴρ οὗτος εὐφυὴς καὶ ἀγχίνους εἴπερ τις καὶ ἄλλος· καὶ παρ' αὐτῷ μὲν τὰ τῶν Ἑλλήνων ἐπαιδεύετο, παρά δέ τινι τῶν Ἀγαρηνῶν τὰ τῶν Ἀράβων, καὶ τὴν ἰατρικὴν μετήρχετο κατὰ δύναμιν· ηὐδοκίμει δὲ πρὸς οὓς ἂν ἀφίκοιτο ἐπὶ θεραπείᾳ· τούτῳ καὶ οἱ ἀνωτέρω πάντες οὓς ἔφημεν, ὁμιλοῦντες, εἴς τινα μετρίαν γνῶσιν καὶ πεῖραν ἧκον τῶν κατὰ τὴν ἰατρικήν, καὶ μάλιστά γε αὐτῶν ὁ Γρηγόριος, καὶ Ἰάκωβος, καὶ τούτων ἔτι μᾶλλον Ἰωσὴφ ὁ Σκροῦμος. Παιδείας δὲ τοσοῦτον Εὐγενίῳ φοιτῶντες μετέλαβον, ὅσον ἀπὸ τῆς γραμματικῆς καὶ μόνης γνωρίζεσθαι, ὅπῃ περ ἂν ἀπελθόντες τύχωσιν· εἶχον γὰρ καὶ ταύτης καὶ ποιητικῆς ἔτι τέχνης ἕξιν μετρίαν· περαιτέρω δὲ οὐκ ἠβουλήθησαν προελθεῖν, ὥστε καὶ λογικῆς πραγματείας ἅψασθαι, καὶ τῶν μετ' αὐτὴν καθεξῆς ἐπιστημῶν· ἀλλ' ἐφ' ἑτέρους καθηγητὰς ἐτρέποντο, τοῦ τῆς παιδείας αὐτοῖς καταβαλόντος σπέρματα ὀλιγωροῦντες, καὶ ἀεὶ σκανδάλου τούτῳ ἐγένοντο πρόξενοι. Ἀναστάσιος δέ, ὁ καὶ Παντοδύναμος παρ' αὐτοῦ δι' ἣν ἔφημεν αἰτίαν κληθείς, καὶ ἐν Καρπενησίῳ ἔτι ὤν, σχολεῖον ἰδίᾳ συνεστήσατο, καὶ ἔτι μᾶλλον λυπῆσαι θέλων αὐτόν, τοὺς περὶ αὐτὸν φοιτητὰς λόγοις πιθανοῖς ὑποκλέπτων πρὸς ἑαυτὸν συνεκάλει. Ταύτης τῆς μοίρας Ἰάκωβος ἐγένετο, καὶ Ἰωσήφ, καὶ Νικόλαος ὁ τὴν ἰατρικὴν ἀσκῶν· οἳ καὶ συνωμοσίαν (ὡς ἄν τις οὕτω φαίη), ποιήσαντες κατὰ τοῦ εὐεργέτου τὴν πτέρναν ἐκίνησαν, καὶ πολλῶν αἴτιοι σκανδάλων αὐτῷ ἐγένοντο, κατὰ τοῦ Γρηγορίου μᾶλλον τοῦ σὺν αὐτῷ μείναντος καὶ μηδέποτε ἀπ' αὐτοῦ χωρισθέντος, παντοίους δόλους συρράπτοντες· ἀλλὰ καὶ οὗτος οὐκ ἐπαύετο τοῖς αὐτοῖς τούτους ἀμείβεσθαι κατὰ δύναμιν, ὡς εἷς πρὸς πολλούς. Διὰ

ταῦτα τοίνυν καὶ τὸν συνωμότην αὐτῶν Ἰάκωβον προετρέψαντο τῆς ἐπισκοπικῆς ἐπιλαβέσθαι ἀρχῆς, καίτοι ἑτέρου ὄντος τοῦ ταύτην ἰθύνοντος καὶ παραιτησαμένου, ὡς ἂν δι' αὐτοῦ πᾶν ὅ, τι βούλοιντο κατὰ τοῦ καθηγητοῦ σκευωρεῖν, καὶ εἰς ἔργον ἄγειν ἐκ προχείρου δύναιντο· ὃ καὶ γέγονε συνδρομῇ τε τῇ παρ' αὐτῶν, καὶ ἑτέρων αὐτοῖς ὁμοφρόνων τῶν ἐκ τῆς κωμοπόλεως· εἶχόν τε τὸ βουλόμενον, καὶ τῷ μαθητῇ καὶ ἐπισκόπῳ τὸν καθηγητὴν ἐν πᾶσιν ὑποκύπτειν τοῖς παρ' αὐτοῦ καὶ λεγομένοις καὶ πραττομένοις ἠνάγκαζον· οἷς καὶ οὗτος χαριζόμενος, εἰ καὶ τῇ τῆς ἀρχιερατικῆς ἀξίας ὑπεροχῇ τοῦ καθηγητοῦ μάλα διέφερεν, ἀλλ' οὐ καὶ τῆς πολιᾶς, καὶ τῆς ἄλλης ἧς εἶχεν ἀρετῆς ᾐδεῖτο, καὶ τῆς προτέρας πρὸς αὐτὸν σχέσεως, ὡς ἀνδραπόδῳ δὲ μᾶλλον χρῆσθαι διενοεῖτο, καὶ οὐδενὸς λόγου ἀξίῳ.

Ταῦτα ὁρῶν ὁ μακάριος οὗτος, καὶ μὴ φορητὰ εἶναι λογιζόμενος ὡς ἀταξίας γέμοντα καὶ ἀταξίας πολλῆς, καὶ μᾶλλον ὅτι ἐκ τῶν οἰκείων καὶ ἀφ' ἑστίας, ᾗ λέγεται, τὰ βέλη, δεῖν ἔγνω τῇ τῆς μεγάλης ἐκκλησίας βοηθείᾳ καταφυγεῖν, καὶ σταυροπήγιον πατριαρχικὸν τὸν σεβάσμιον ἐκεῖνον ποιῆσαι ναόν· καὶ ἵνα τὸ πᾶν συνελὼν εἴπω, μικροῦ καὶ πεποίηκεν, εἰ μὴ παλινῳδίαν ὁ μαθητὴς αὐτοῦ ᾖσεν ἐπίσκοπος· οὗτος γὰρ πρῶτος πάντων μεταμεληθείς, συγγνώμην ᾔτει τῶν πρὸς αὐτὸν γενομένων· καὶ οὐ μόνον οὐκ ἀπέτυχε ταύτης, ἀλλὰ καὶ πολλῆς ἔκτοτε καὶ μέχρι παντὸς ἀπήλαυε παρ' αὐτοῦ τῆς φιλίας, καὶ μαθητοῦ μᾶλλον ἢ ἐπισκόπου τάξιν ἐδείκνυε πρὸς αὐτόν. Τοῦτον ὁ Ἰωσὴφ ἰδὼν οὕτως ἐκ μετανοίας διορθωθέντα, μετὰ σπουδῆς προσέρχεται τῷ καθηγητῇ, καὶ ἱκέτης αὐτοῦ γενόμενος, θεραπεύει πᾶν τὸ ἀπὸ τῆς ἀποστασίας γενόμενον αὐτῷ κακόν· καὶ χάριτας ἢν αὐτῷ ἔκτοτε καὶ μέχρι τοῦ νῦν διὰ παντὸς τοῦ βίου ὁμολογῶν. Καὶ οὕτω μὲν οἱ δύο οὗτοι συμφοιτηταὶ μετὰ τοῦ καθηγητοῦ ἐποιήσαντο τὰς σπονδάς· ἡ δὲ

ἑτέρα τῆς τούτων τετράδος δυάς, Ἀναστάσιός τε φημὶ καὶ Νικόλαος ὁ γνωριζόμενος ἀπὸ τῆς ἰατρικῆς, ὁ μὲν Ἀθήναζε πρῶτον ἀφίκετο παρὰ Ἰεζεκιὴλ τῷ Στεφάκῃ καλουμένῳ, καὶ ἡγουμένῳ μονῆς τινος τῶν ἐκεῖ, φοιτητῇ χρηματίσαντι Ἀγγέλου τοῦ Μπενιζέλου τοῦ πρώτου τῶν τοῦ Κορυδαλλέως ὁμιλητῶν, καὶ φήμην ἔχοντι κατὰ τὰς ἐπιστήμας πολλήν, λογικῆς παιδείας ἐφιέμενος, καὶ ἀραβικῶν ἔτι γραμμάτων καὶ ἰατρικῆς· καὶ ἦν ἐκεῖ διατρίβων οὐκ ἐπὶ χρόνον συχνόν· εἶτα εἰς Λάρισσαν ἀνακάμψας τῆς Θετταλίας, τῶν ἀραβικῶν αὖθις εἴχετο λόγων, καὶ τοῖς κατὰ τὴν ἰατρικὴν βιβλίοις μᾶλλον ἐσχόλαζεν· ὁ δὲ Παντοδύναμος Ἀναστάσιος πρῶτον μὲν εἰς Τούρναβον κώμην μεγίστην τῆς Θετταλίας παραγενόμενος, ἐσχολάρχει ἐπὶ χρόνους τινάς· μετέπειτα δὲ τὴν εὐθὺ τῆς Κωνσταντίνου ἐβάδισε, καὶ εἰς τὸ πατριαρχεῖον ἐλθών, καὶ Εὐγενίου μαθητὴς εἶναι λέγων, τὰ περὶ Εὐγενίου πρὸς τοῦ πατριάρχου καὶ τῶν κληρικῶν ἐρωτώμενος ἐξειπεῖν, καὶ γράμματα παρ' αὐτοῦ αἰτούμενος συστατικά, ὡς οὐδὲν τούτων εἶχεν ἐμφανίζειν αὐτοῖς, οὐδὲ μιᾶς ἠξιοῦτο παρ' αὐτῶν τῆς ὑποδοχῆς, ἀλλὰ καὶ ἀπεπέμπετο, καὶ ἐν ὑποψίᾳ παρὰ πᾶσιν ἦν, ὅτι οὐκ ἦν αὐτῷ φίλα τὰ πρὸς τὸν καθηγητήν. Ὅθεν μὴ δυνάμενος ἄλλως ποιῆσαι, κακῶς ἐκ πρώτης ἀφετηρίας ἀπαλλάξας κατὰ τὰ τὴν ἐς Κωνσταντίνου ἐπιδημίαν, ἐπανακάμπτει πάλιν διὰ τῆς ἐς τὴν Ἑλλάδα φερούσης πρὸς τὸν καθηγητήν· καὶ ἱκέτης αὐτῷ προσπίπτει ἐλεεινός, τί μὲν οὐ λέγων, τί δὲ οὐ ποιῶν τῶν πρὸς οἶκτον ἑλκόντων τοῦτον τὸν ἑαυτοῦ· καὶ δὴ πειθόμενον εἶχε τοῖς παρ' αὐτοῦ λεγομένοις τὸν συμπαθῆ καθ' ὑπερβολήν, ὥστε καὶ δακρύων ἐμπλῆσαι τούτου τοὺς ὀφθαλμούς· ἐφίλει γὰρ αὐτὸν ὑπὲρ πάντας τοὺς φοιτητάς, οὐ δι' ἄλλο τι μᾶλλον, ἢ δι' ἣν εἶχεν εὐφυΐαν καὶ εὐγλωττίαν, ὁπηνίκα μετὰ τῶν ἄλλων καὶ οὗτος ἦν τούτου ἀκροατής, καὶ χρηστὰς εἶχεν ἐπ' αὐτῷ τὰς ἐλπίδας ὡς ὑπερέξει πάντων τοῦ χρόνου προϊόν-

τος κατὰ παιδείαν καὶ ἀρετήν· οὐκ εἰδὼς ὅλως, ὅτι ἐπὶ τοσοῦτον ἀναιδείας καὶ ἀνταρσίας προβήσεται τῆς πρὸς αὐτόν. Τούτων δὲ καὶ τῶν τοιούτων ἀναμνήσας αὐτόν, καὶ ἐλέγχοις τοῖς προσήκουσιν, οἷόν τισι παιωνίοις φαρμάκοις, τὴν αὐτοῦ γνώμην καταμαλάξας, οὐ μόνον συγγνώμης αὐτῷ μετέδωκεν, ἀλλὰ καὶ γράμμασιν ἐφοδιάζει τοῦτον συστατικοῖς πρὸς τὴν βασιλεύουσαν αὖθις ἐπανελθεῖν, ὃ δὴ καὶ πεποίηκε· καὶ ἦν παρὰ τῶν ἐν αὐτῇ πάντων ἀποδεχόμενος· ὥστε καὶ ἐπ' ἐκκλησίας παρὰ τοῦ πατριάρχου καὶ τῶν περὶ αὐτὸν λογίων ἐπιτραπῆναι συνεχῶς ὁμιλεῖν, καὶ ἦν ὑπὸ πάντων θαυμαζόμενος ἐπί τε εὐφυΐᾳ, καὶ ἐπὶ τῇ τῆς γλώττης ἣν εἶχεν ἐκ φύσεως μᾶλλον ἢ μαθήσεως, ὡς ἔφημεν, προφορᾷ· καὶ δὴ καὶ σχολαρχεῖν αὐτὸν ὁ πατριάρχης ἔταξε τοῦ πατριαρχείου ἐντός· καὶ οὐδεὶς ἐν τῷ τότε κατά τε γραμματικὴν καὶ ποιητικὴν παιδείαν ἐν Κωνσταντινουπόλει ἐνομίζετο τούτου κρείττων, ὡς καὶ πρὸς Ἰωάννου τοῦ Καρυοφύλλου τοῦ τῆς μεγάλης ἐκκλησίας σκευοφύλακος ὄντος ἐμαρτυρεῖτο, καίτοι οὐκ εἰωθότος οὐ μόνον τοὺς κατ' αὐτόν, ἀλλὰ καὶ τοὺς ἐπὶ τῇ ἄλλῃ παιδείᾳ διαφέροντας οὕτως εὐχερῶς θαυμάζειν καὶ ἐπαινεῖν. Καὶ οὕτω μὲν εὔδρομα ἦν αὐτῷ πάντα τὰ ἐς τὴν Κωνσταντίνου διατριβήν· μετά τινας δὲ χρόνους καὶ εἰς Ἀδριανούπολιν παρὰ τοῦ τῆς κατ' ἐκείνης ἐκκλησίας προέδρου Νεοφύτου μεταπεμφθείς, σχολῆς τε ἦν προστατεύων, καὶ ἐπ' ἐκκλησίας ὁμιλῶν. Ἀνῆλθε δὲ καὶ Νικόλαος ἀπὸ Λαρίσσης εἰς Κωνσταντινούπολιν ὁ πρῴην κατ' Εὐγενίου τούτῳ ὁμοφρονῶν, καὶ εὐδοκίμει ἐν τοῖς κατὰ τὴν ἰατρικήν. Διαβάντος τε μετὰ ταῦτα χρόνου συχνοῦ, τῇ τούτου προτροπῇ τε καὶ συνδρομῇ, τῷ τῆς ἀρχιερωσύνης ἀξιώματι ὁ Ἀναστάσιος κοσμηθείς, τῆς Θεσσαλονικέων ἐκκλησίας χρηματίζει ποιμήν· ἀλλ' οὐκ ἔφθασεν ἐπὶ τούτου ἐλθεῖν, καὶ οἱ Θεσσαλονικεῖς ἄλλον ἀντ' αὐτοῦ καθιστῶσι ποιμένα τὸν ἑαυτῶν, οὐ γὰρ μετὰ τῆς γνώμης ἐγένετο τοῦ κλήρου τῆς ἐκ-

κλησίας ταύτης παντός· ὁ δὲ ἐν Ἀδριανουπόλει τέλει τῆς αὐτοῦ ἐχρήσατο βιοτῆς· ἀλλὰ ταῦτα μὲν μετὰ πολὺν ἐγένετο χρόνον. Νικόλαος δὲ ὁ ἐπὶ μέγα φήμης τῆς κατὰ τὴν ἰατρικὴν ἐπιστήμην ἀρθείς, ὀψέποτε καὶ αὐτὸς μεταμεληθεὶς ἐφ' οἷς πρὸς Εὐγένιον ἐπλημμέλησε τὸν καθηγητήν, συγγνώμης ἦλθε παρ' αὐτοῦ πολλάκις αἰτῶν, καὶ ταύτης τυχών, φιλίᾳ τῇ πρὸς αὐτὸν τοῦ λοιποῦ ἐδεσμεῖτο πολλῇ, καὶ δι' εὐλαβείας ὅτι πλείστης εἶχεν αὐτόν.

Ὁ δὲ πολλοὺς ἔτι ἐν Καρπενησίῳ διατρίψας χρόνους, ὡς γενέσθαι τούτους πλείω τῶν εἴκοσιν, ἠγαπᾶτο μὲν καὶ παρὰ τῶν χριστωνύμων καθ' ὑπερβολήν, ἀλλὰ καὶ ὑπὸ τῶν ἔξω τῆς καθ' ἡμᾶς πίστεως οὐχ ἧττον ἐθεραπεύετο, καὶ διὰ τιμῆς ἦν· συνεχῶς τε τοὺς πρὸς αὐτὸν φοιτῶντας ἐδίδασκε, καὶ ἐπ' ἐκκλησίας ὁμιλῶν δογματικοῖς τε καὶ ἠθικοῖς λόγοις, οὐ τοὺς τὴν κωμόπολιν μόνον ἐκείνην οἰκοῦντας, ἀλλὰ καὶ πάντας τοὺς ἐκ τῶν πέριξ χωρίων ἐν αὐτῇ κατὰ διαφόρους χρείας συρρέοντας εἰς γνῶσιν ἐχειραγώγει πᾶσαν καὶ ἀρετήν. Ἐπὶ γῆρας δὲ βλέπων ἑαυτὸν ἀποκλίνοντα, καὶ τὰς συνεχεῖς τῶν πρὸς αὐτὸν ἁπανταχόθεν ἐρχομένων ὁμιλίας βαρυνόμενος, (ἐν μέσῃ γὰρ ἦν τῆς κωμοπόλεως ὅ τε ναὸς καὶ ἡ περὶ αὐτὸν οἰκία τῇ ἀγορᾷ) μεταβῆναι ταύτης ἐφ' ἑτέρου ἐζήτει καιρόν, ἡσυχίας ἧς ἀεὶ ἐτύγχανεν ἐφιέμενος, εἰ δυνατὸν ἦν ἐς κόρον κατατρυφῆσαι.

Καὶ δὴ ἐκ τῶν Ἀγράφων ἐκεῖσε κατὰ χρεῖαν ἐλθόντων τινὲς ἀπὸ χωρίου τινὸς Βρανιανὰ καλουμένου (τοῦτο δ' ἔστιν ἡ ἐμὴ δυστυχεστάτη πατρίς), ἐτύγχανον μὲν καὶ ἐκ πολλοῦ τοῦτον εἰδότες, ἡνίκα μᾶλλον ἐν Τριβάτῳ μετὰ τῶν ἀσκητικῶν ἐκείνων ὧν κατ' ἀρχὰς ἔφημεν ἦν συμβιοτεύων ἀνδρῶν, ἀλλὰ καὶ τηνικαῦτα οὐχ ἧττον διὰ μακροτέρας τῆς ὁμιλίας αὐτὸν ἐγίνωσκόν τε, καὶ πεῖραν μᾶλλον ἔλαβον τῆς ἑαυτοῦ ἀρετῆς, καὶ οὕτω βαρυνόμενον τὴν ἐκεῖσε τοῦτον ἰδόντες ἀναστροφήν, ἀποπειρῶνται τῆς τούτου γνώμης, εἰ βούληται τὸ

Καρπενήσιον καταλιπεῖν, καὶ ἐπὶ τὸ διαληφθὲν μεταβῆναι χωρίον, καὶ πολλοῖς πρὸς τοῦτο τοῖς λόγοις αὐτὸν παρεκάλουν· ὁ δέ, εἰ καὶ ἵππος ἐς πεδίον ἦν τὸ τοῦ λόγου, τῆς ἡσυχίας ὡς ἔφθημεν εἰπόντες διαφερόντως ἐρῶν, ἀλλὰ καὶ δυσχερείας τινὰς τὰς ἐκ τοῦ τόπου τούτοις προὐβάλλετο, ἄλλα τε πολλὰ λέγων, καὶ δὴ καὶ πυνθανόμενος πόθεν αὐτῷ καὶ τοῖς περὶ αὐτὸν δυνατὸν ἂν εἴη κεκτῆσθαι τὰς πρὸς τὸ ζῆν ἀφορμας· οἱ δὲ πολλὰς αὐτῷ περὶ τούτων ἐποιοῦντο τὰς ὑποσχέσεις. Καίτοι πρὸς πάσας ἀνανεύων ἦν, τὸ εὐμετάβολον τῆς γνώμης τῶν ἀνθρώπων εἰδώς, κατένευσε μέντοι, καὶ τοῖς λόγοις εἶξε τοῖς παρ' αὐτῶν· οἱ δὲ περιχαρεῖς γενόμενοι, καὶ τὰ τῆς χρείας δι' ἣν εἰς Καρπενήσιον ἦλθον πληρώσαντες, ταῖς παρ' αὐτοῦ εὐχαῖς ἐφοδιασθέντες, ὑπέστρεψαν ἐν Βρανιανοῖς, καὶ πᾶσι τοῖς ἐγχωρίοις τὰ περὶ αὐτοῦ καταγγείλαντες, πολλῆς αὐτοῖς εὐφροσύνης ἐγένοντο πρόξενοι, τοιοῦτον ἄνδρα τῆς ἑαυτῶν πατρίδος οἰκήτορα γενέσθαι παρ' ἐλπίδα μαθοῦσι· καὶ δὴ προθύμως εὐτρεπίζειν αὐτῷ τὰ πρὸς οἴκησιν ἤρξαντο, μονύδριόν τι ἐπ' ὀνόματι τῆς ἁγίας ὁσιομάρτυρος τοῦ Χριστοῦ Παρασκευῆς οὐ μακράν που τοῦ χωρίου κείμενον, ἐπιτηδείως ἔχον εὑρόντες, Γοῦβα τῷ τόπῳ τὸ ὄνομα, ἣν καὶ ἀνήλιον αὐτὸς ἐπιθέτως ὠνόμασε διὰ τὸ παλίσκιον.

Καιροῦ τοιγαροῦν ἐπιτηδείου λαβόμενος, καταλείπει μὲν τὸ Καρπενήσιον, μεταβαίνει δὲ εἰς τὸ δηλωθὲν χωρίον, καὶ τῷ μονυδρίῳ ἐγκατοικίζεται· πολλῆς δὲ τῆς παρὰ τῶν ἐγχωρίων ἐκείνων ἀνδρῶν δεξιώσεως τυχών, καὶ οὐ παρὰ τούτων μόνον, ἀλλὰ καὶ παρὰ πάντων ἁπλῶς εἰπεῖν τῶν ἐν τοῖς Ἀγράφοις οἰκούντων· ὁρῶν δὲ τόν τε ναὸν ἀκαλλώπιστον ὄντα, καὶ τὰς περὶ αὐτὸν οἰκίας οὐκ ἐπιτηδείως ἐχούσας πρὸς οἴκησιν τὴν ἑαυτοῦ, πρώτην ταύτην ποιεῖται φροντίδα τοῦ πάντα μετασκευάσαι καὶ μετακοσμῆσαι ἐπὶ τὸ βέλτιον· ὃ καὶ πεποίηκεν ἐξ ἰδίων καὶ ταῦτα ἀναλωμάτων. Καὶ φοιτηταὶ πά-

λιν πάντοθεν πρὸς αὐτὸν συνέτρεχον· οἱ δὲ ἐγχώριοι πολλὴν αὐτῷ παρεῖχον τὴν αἰδῶ καὶ τιμήν, καὶ ᾗ δυνάμεως εἶχον τὰ παρ' ἑαυτῶν ἐχορήγουν· ἀλλ' οὐκ ἠδύνατο κατὰ μόνας ζῆν, ἢ μετὰ δύο καὶ τριῶν· πολλάκις γὰρ οἱ μετ' αὐτοῦ συνοικοῦντες καὶ τὸν δεκαδικὸν ὑπερηκόντιζον ἀριθμόν· οἱ δὲ κατὰ θεωρίαν μόνον καὶ ψυχικὴν ὠφέλειαν πρὸς αὐτὸν ἐρχόμενοι, πλῆθος ἦσαν οὐ ῥᾳδίως περιληπτὸν ἀριθμῷ· διὸ καὶ ἐν ἀμηχανίᾳ ἦν καὶ ἠπόρει καθ' ἑαυτὸν τὴν ἐκεῖσε ποιούμενος οἴκησιν, εἰ μὴ ἐν σπάνει τῶν πρὸς τὸ ζῆν ἀναγκαίων γένοιτο. Καὶ δὴ βουλὴν βουλεύεται μάλα καλὴν καὶ ψυχωφελῆ, ἣν καὶ πρὸς πολλοὺς τῶν φίλων κοινώσας ἄνδρας ἀρετῇ καὶ φρονήσει κεκοσμημένους, εὗρεν αὐτοὺς συνδοκοῦντας· ἦν δὲ ἡ βουλή, δύο τῶν περὶ αὐτὸν ἱερομονάχων καὶ φοιτητῶν ἐς Κωνσταντινούπολιν πέμψαι μετὰ γραμμάτων πρὸς οὓς ἂν αὐτὸς δοκιμάσειε (πολλὴ γὰρ ἡ περὶ αὐτοῦ φήμη διέτρεχεν ἀνὰ πᾶσαν τὴν βασιλεύουσαν), ὥστε διὰ τῆς συνδρομῆς καὶ τῆς βοηθείας τούτων ἱκανὴν ἐλεημοσύνην συναγαγεῖν· ὃ καὶ πεποίηκε· καὶ εἰς τὴν Κωνσταντίνου οἱ φοιτηταὶ ἀνελθόντες ὑπεδέχθησαν παρὰ τῶν πρὸς οὓς ἐπέμφθη τὰ γράμματα φιλοφρόνως καὶ ἱλαρῶς, καὶ συνδρομῆς πολλῆς ὡς εἰκὸς παρ' αὐτῶν τυχόντες, συνήγαγον ἀριθμόν τινα χρημάτων, τοὺς ἑπτακοσίους ὑπερβαίνοντα ἀργυροῦς· καὶ ταῦτα τῇ αὐτοῦ αὖθις συμβουλῇ ἀνδρί τινι τῶν ἐκ τοῦ ἔχοντος αὐτὸν χωρίου Παναγιώτῃ τοὔνομα παραδόντες, πλουτοῦντι μὲν ἱκανῶς, ἐπιστατοῦντι δὲ τῇ τῶν βασιλικῶν διανομῇ κρεῶν, ὡς ἂν ἔχοι τὸ παρ' αὐτῶν γενόμενον κέρδος κατ' ἔτος ἀποστέλλειν τῷ μονυδρίῳ, καὶ τοὺς ἐν αὐτῷ διάγοντας τὰ πρὸς χρείαν ἔχειν τῶν ἀναγκαίων, καὶ ὑπὲρ τῶν ἐλεούντων αὐτοὺς ἐν ταῖς ἱεραῖς εὔχεσθαι τελεταῖς, καὶ μνήμης τῆς πρὸς θεὸν ἀξιοῦν τὰ γεγραμμένα παρὰ τῶν ἀποσταλέντων ὀνόματα.

Τούτου γενομένου, κατῆλθον μὲν οἱ ῥηθέντες, τὰ προστεταγμένα αὐτοῖς πάντα πληρώσαντες· ἐπέμπετο δὲ καὶ ἡ ἐλεη-

μοσύνη κατ' ἔτος ὑπὸ τοῦ ταύτην ἐν ταῖς χερσὶν ἔχοντος· καὶ μετ' εἰρήνης διῆγον τὸν βίον αὐτός τε καὶ οἱ περὶ αὐτόν· ἀνήλισκε δὲ τὰ πεμπόμενα εἴς τε καὶ ἄλλας χρείας, ἀλλὰ δὴ καὶ εἰς σκεύη ἐκκλησιαστικά, καὶ μάλιστα πρὸς τοὺς ἐνδείᾳ πιεζομένους· τῶν δὲ πρὸς τὸ ζῆν ἀναγκαίων ηὐπόρει μέχρι τινός, ἔκ τε τῆς παρὰ τῶν ἐγχωρίων γενομένης πρὸς αὐτὸν βοηθείας, καὶ ἐξ ὧν εἶχεν ἔτι ἀπὸ Καρπενησίου ἐλθών.

Φοιτηταὶ δὲ αὐτῷ ἐν Βρανιανοῖς ἐγένοντο, πολλοὶ μὲν καὶ ἄλλοι τῶν ἐκ τῆς ἱερᾶς τάξεως, καὶ παῖδες ἐξ αυτοῦ τοῦ χωρίου καὶ τῶν πέριξ ἀριθμοῦ κρείττονες. Πρῶτος δὲ πάντων ἦν Δαμασκηνός τις ἱερομόναχος Αἰτωλός, Ἀγγελοκαστρίτης, εὐφυὴς ἱκανῶς καὶ φιλόπονος, ὄγδοον ἔτος σὺν αὐτῷ διατρίψας. Εἶτα Ἰωακείμ τις ἕτερος ἐκ τῶν περὶ Τρίκκην τῆς Θετταλίας χωρίων, ὅστις καὶ νῦν εἰσέτι τῷ βίῳ περίεστιν ἐν Ἰωαννίνοις διατρίβων· καὶ πλείονα μὲν πάντων διατρίψας σὺν αὐτῷ χρόνον, ἐλάττονα δὲ καρπωσάμενος τὴν ἐκ τῶν λόγων ὠφέλειαν, νοὸς ἀμβλύτητι. Σὺν τούτοις δὲ καὶ Ἀρσένιός τις, τῇ ἡλικίᾳ τούτων νεώτερος, οὐ πολὺ τοῦ προσεχῶς ῥηθέντος κατὰ νοὸς ἀμβλύτητα διαφέρων. Ἐν ἑνὶ δὲ καὶ τῷ αὐτῷ καιρῷ συνῆσαν ἅπαντες οὗτοι παιδευόμενοι παρ' αὐτοῦ βίβλους ποιητικάς. Γεράσιμός τις Ἀκαρνὰν ἀπὸ Δραγαμέστου, Σάββας ἀπὸ Τριβάτου, τῶν καὶ ἀνωτέρω ῥηθέντων χωρίων, Ἰωνᾶς, Ζαχαρίας, καὶ Καλλίνικός, ἐξ ἑνὸς πάντες χωρίου τῶν Ἀγράφων Καστανιὰ προσαγορευομένου· ὧν ὁ μὲν Καλλίνικος καὶ πατριάρχης μετὰ πολλοὺς χρόνους ὕστερον ἐχρημάτισε Κωνσταντινουπόλεως, ἀπὸ τῆς κατὰ Προῦσαν ἐκκλησίας μετενεχθείς, ἧς πρότερον εἶχε τὴν προεδρίαν, καὶ τῆς πατριαρχικῆς καθέδρας προέστη ἔτη ἑκκαίδεκα, κἀκεῖ τὸν βίον ἐξέλιπεν οὐ πρὸ πολλῶν ἐτῶν· ὁ δὲ Ζαχαρίας Βιζύης τῆς κατὰ Θρᾴκην ἐπίσκοπος κατέστη, καὶ νῦν ἔτι περίεστιν· ὁ δὲ Δαμασκηνὸς ἐν Καρπενησίῳ παρ' αὐτοῦ πεμφθείς, τοῦ δηλωθέντος τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος

ναοῦ τὴν ἐφημερίαν ἐνεπιστεύθη, καὶ παίδων ἐν αὐτῷ σχολὴν συνεστήσατο τῇ τούτου προτροπῇ καὶ δαπάνῃ· λοιμοῦ δὲ κατὰ τὰ ἐκεῖσε γενομένου χωρία πολλοῦ, ἀναχωρεῖ μὲν ἐκεῖθεν, ἔρχεται δὲ πρὸς τὴν καθηγητὴν αὖθις ἐν τοῖς Βρανιανοῖς, καὶ τὴν παρ' αὐτοῦ λαβὼν εὐχὴν μετὰ γραμμάτων συστατικῶν, ἐς Κωνσταντινούπολιν ἀναβαίνει, παιδείας ἐφιέμενος ἐπιστημονικῆς· ὑποδεχθεὶς τοίνυν παρὰ τῶν τὰς ἐπιστήμας τῷ τότε διδασκόντων λίαν εὐνοϊκῶς, (οἵτινες Σπαντωνῆς ἦσαν καὶ Σεβαστός, οἱ Ἰωάννου τοῦ Καρυοφύλλου ἀκροαταί, καὶ μετ' αὐτὸν Ἀλεξάνδρου τοῦ πρώην μὲν διερμηνευτοῦ γενομένου τῆς βασιλείας, μετέπειτα δὲ πρέσβεως πρὸς τὸν τῆς Γερμανίας καίσαρα Λεοπόλδον, εἶτα ἐξ ἀπορρήτων χρηματίσαντος, καὶ νῦν ἔτι ὄντος) συναναριθμεῖται τοῖς πρώτοις τῶν παρ' αὐτοῖς φοιτητῶν, καὶ γενόμενος τινῶν ἐπιστημῶν ἐγκρατής, ὑπὸ λοιμοῦ τὸν βίον αὐτόθι κατέστρεψεν.

Ὁ δὲ μακαριστὸς οὗτος Εὐγένιος ὑπὸ τοῦ πολλοῦ γήρατος καμφθείς, τριγέρων γὰρ ἦν, ὡς κἂν ταῖς πρὸς διαφόρους αἷς ἔπεμπεν ἐπιστολαῖς ἑαυτὸν ὑπέγραφε, καὶ τὰ Νεστόρια ὑπερβεβηκὼς ἔτη, πολὺν μὲν εἶχε τὸν πόθον τοὺς ὡς αὐτὸν φοιτῶντας διδάσκειν, μὴ δυνάμενος δέ, τοῦ προτρέπειν οὐκ ἐπαύετο τοὺς δυναμένους λόγων ἀντέχεσθαι, καὶ τούτους ὅση δύναμις μεταδιώκειν· οὐ μὴν δέ, ἀλλὰ καὶ συνεχῶς ἐπιστέλλειν οὐκ ὤκνει πρὸς οὓς ἡ δύναμις ὑπηγόρευε, γραμμάτων παιδευτήρια συνιστᾶν, ἐλεημοσύνης οὐδὲ μιᾶς ἐλάττονα, ἀλλὰ καὶ πασῶν τῶν ἄλλων πρωτεύουσαν, τὴν διὰ λόγου καὶ ἐς λόγους γενομένην διὰ πολλῶν εἶναι πείθων αὐτούς. Ταύτῃ τοι καὶ τῆς ἐν τῇ Κωνσταντινουπόλει συστάσης παρὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου κυρίου Μανουήλου τοῦ ἀπὸ Καστορίας σχολῆς, εἰ καὶ πολλοί τινες ἦσαν οἱ συνεργοὶ καὶ ἄλλοι, καὶ πάντων μᾶλλον ὁ μακαριώτατος πατριάρχης Ἱεροσολύμων Νεκτάριος, οὗ καὶ πρόσθεν ἐμνήσθημεν, ἀλλ' οὐ μικρὸν καὶ οὗτος

συνεβάλλετο μέρος, συνεχῶς αὐτῷ ἐπιστέλλων, καὶ ἐγκωμίοις γεραίρων τοῦ ἐγχειρήματος, καὶ ἑτέρας ἔτι συστῆσαι προτρέπων αὐτόν· καὶ δὴ καὶ συνέστησεν ἑτέρας τῇ τούτου προτροπῇ δύο, μίαν μὲν ἐν Ἄρτῃ τῆς Ἀκαρνανίας, ἑτέραν δὲ ἐν τῷ Ἀνατωλικῷ τῆς Αἰτωλίας.

Γέγραφε γὰρ πρῶτον αὐτῷ περὶ τῆς κατὰ τὸ Ἀνατωλικὸν, καὶ ὑπέσχετο δοῦναι τὰ πρὸς τὴν τοῦ καθηγητοῦ διατροφὴν καὶ τῶν φοιτητῶν· ἀλλ' ὁ Ναυπάκτου καὶ Ἄρτης Βαρθολομαῖος ἐκεῖσε τότε παρών, διεκώλυσεν αὐτόν, ἀνάξιον ἡγησάμενος τὸ Ἀνατωλικὸν χωρίον ἀποδειχθῆναι τοιαύτης σχολῆς, τὴν τοῦ τόπου στενότητα προβαλλόμενος, καὶ ἐπὶ τὴν Ἄρταν μεταθέσθαι ταύτην πείθων αὐτόν, ὡς πόλιν οὖσαν μεγάλην, καὶ ἥ φησι περὶ τῆς Τροίας Ὅμηρος εὐρυάγυιαν· ποιεῖ τοῦτο ὁ τρισμακάριος ἐκεῖνος ἀνὴρ μάλα προθύμως, καὶ ἐγχειρίζει φέρων τῷ διαλειφθέντι Βαρθολομαίῳ τῷ Ἄρτης ἀργυροῦς τρισχιλίους. Καὶ τοιαύτην ἔσχε τὴν ἀρχὴν ἡ κατὰ τὴν Ἄρταν σχολή, προκαταρκτικὸν αἴτιον ἔχουσα τὸν Εὐγένιον, εἰ καὶ ἀμελείᾳ τῶν ἐπιτροπευόντων αὐτῆς μικροῦ δεῖν εἰς τὸ μὴ ὂν ἐλθεῖν ἐκινδύνευε· νῦν δὲ πρὸ ὀλίγων ἐτῶν σπουδῇ καὶ ἐπιμελείᾳ φιλοθέων τινῶν καὶ φιλομούσων ἀνδρῶν, ἤρξατο κατά τι εὐδοκιμεῖν, καὶ ἐπὶ τὸ κρεῖττον προκόπτειν.

Τούτων ἀκούσας Εὐγένιος περὶ τῆς κατὰ τὴν Ἄρταν σχολῆς, καὶ ὅτι πέρας οὐκ ἔλαβε τὰ τῆς τοῦ Ἀνατωλικοῦ, περὶ ἧς αὐτῷ πρότερον ἦν γεγραφώς, μικρόν τι πρὸς τὸν Βαρθολομαῖον σκανδαλισθείς, ὡς ὑπὸ φθόνου τυχὸν κινηθέντος καὶ κωλύσαντος τὴν κατὰ τὸ Ἀνατωλικὸν γενέσθαι, εἰ καὶ ἄλλως οὐ τὴν τυχοῦσαν αὐτῷ ἐνεποίει χαράν, τὸ τοιαύτην συστῆναι κατὰ τὴν Ἄρταν σχολήν, πλείονα τὴν ἐξ ἐκείνης ὠφέλειαν τοῖς Ἕλλησιν ἡγησάμενος διὰ τὴν τοῦ τόπου εὐρυχωρίαν, ὡς δυναμένων πλειόνων ἐκεῖσε συνδραμεῖν, καὶ τῶν ἀναγκαίων μᾶλλον εὐπορεῖν διὰ τὸ τῆς χώρας εὔκαρπον, καὶ δευτέροις

χρῆται περὶ τῆς αὐτῆς ὑποθέσεως γράμμασι πρὸς τὸν τῆς ἐλεημοσύνης ἐκεῖνον ἐργάτην, δεινοπαθῶν μὲν ἐφ' οἷς ἀπέτυχε περὶ τοῦ Ἀνατωλικοῦ, χαίρων δὲ ἐφ' οἷς τοσαύτην ἐποίησε τὴν εὐεργεσίαν τοῖς Ἕλλησι διὰ τῆς κατὰ τὴν Ἄρταν σχολῆς.

Ὁ δὲ καὶ ὑπὲρ ταύτης ὑπισχνεῖται πεντακοσίους καταβαλεῖν ἀργυροῦς, καὶ πέμπει τούτους αὐτῷ διά τινος τῶν ἐκ τῶν Ἀγράφων ἀνδρὸς πιστοῦ, γράψας πρὸς αὐτόν, εἰ καὶ πλειόνων ἐν χρείᾳ γένηται μὴ κατοκνῆσαι δηλοῦν, καὶ μετὰ πάσης πεμφθήσονται τῆς προθυμίας. Ὁ δὲ προσλογισάμενος τούτους τοῖς παρ' αὐτοῦ τούτου πρότερον καταβληθεῖσι τριακοσίοις (αὐτὸς γὰρ ἦν πρῶτος ἐκ τῶν παρ' ἑαυτοῦ τὴν ἀρχὴν ποιησάμενος πρὸ χρόνων τινῶν), ὡς γίνεσθαι τοὺς πάντας ὀκτακοσίους, ἱκανῶς ἔχειν ᾠήθη πρὸς τὴν σύστασιν τῆς τοιαύτης σχολῆς· καὶ δὴ καὶ συνέστησεν αὐτὴν μηδὲν ἐκεῖνον περαιτέρω τὸν ἄνδρα παρενοχλήσας· καὶ Γρηγόριον τὸν Μάνεσιν, πατριώτην ὄντα, καὶ πρῶτον ὡς ἔφημεν τῶν αὐτοῦ γεγονότα ὁμιλητῶν, τῆς κατὰ τὴν ἐνεγκαμένην αὐτὸν ἔταξε προστατεύειν σχολῆς, ὃς καὶ προέστη ταύτης ἐπὶ χρόνους συχνούς, καὶ φοιτηταὶ συνήχθησαν πρὸς αὐτὸν οὐκ ὀλίγοι αὐτόχθονές τε καὶ ὑπερόριοι· ἀλλ' οὐ δῆτα καὶ ἀνάλογον ἐγίνετο τῇ δαπάνῃ τὸ κέρδος, δι' αἰτίας πολλάς· ἀεὶ γὰρ τοῖς τοιούτοις ὁ βάσκανος ἐπιτίθεται δαίμων, παντοίᾳ μηχανῇ πειρώμενος ἀποσβέσαι τὸ τῆς γνώσεως φῶς· περὶ οὗ τὸν λόγον ἐνταῦθα μηκύνειν ἄκαιρον ἐμοὶ δοκεῖ παντελῶς.

Τοσοῦτον δὲ πάντας ἠγάπα τοὺς ἐκ τοῦ Ἀνατωλικοῦ, ὡς καὶ συχνὰς τούτοις ἔκ τε Καρπενησίου τὸ πρότερον, καὶ ἐκ τῶν Ἀγράφων τὸ δεύτερον, πέμπειν ἐπιστολάς, νῦν μὲν πρὸς ἦθος τούτους τυπῶν, νῦν δὲ πρὸς λόγους προτρέπων, ἔστι δὲ οὓς καὶ ἐλέγχων, καὶ ἑτέροις τὰ φιλικὰ προσλαλῶν, καί τινας ὡς εἴωθεν ἀστεϊσμοὺς ἐγκαταμιγνύων τοῖς λόγοις· βοηθείαις τε πρὸς αὐτοὺς ἐχρῆτο καὶ λόγοις ἅμα καὶ ἔργοις· ὡσαύτως

δὲ παρ' αὐτῶν ἐφιλοτιμεῖτό τε καὶ εὐλαβείας ἠξιοῦτο πολλῆς· μᾶλλον δὲ ὡς κοινὸς πάντων πατὴρ ἐλογίζετο μέχρι τῆς αὐτοῦ τελευτῆς· βουλομένοις δέ ποτε τούτοις καὶ εἰς Κωνσταντινούπολιν κοινῇ γνώμῃ πέμψαι τινας ἐπὶ βοηθείᾳ, τῶν κατ' ἔτος κατερχομένων ἡγεμόνων ἐπιφορτιζόντων αὐτοὺς καὶ τοῖς φόροις φόρους ἐπιτεθέντων ἀδίκους, κατὰ πολὺ καὶ οὗτος αὐτοῖς συνεισήνεγκε, γράμμασι τοῖς παρ' αὐτοῦ ἐφοδιάσας πρὸς Παναγιώτην τὸν διερμηνευτήν, φιλίᾳ συνδεδεμένον ὄντα πολλῇ πρὸς αὐτόν, καὶ εὐλαβείας οὐ τῆς τυχούσης ἀξιοῦντα, καὶ γράμμασι πολλάκις προσαμειβόμενον· οἳ καὶ ἀνελθόντες, καὶ τὰ γράμματα αὐτῷ προσκομίσαντες, πολλῆς τῆς δεξιώσεως ἔτυχον παρ' αὐτοῦ, καὶ πᾶν ὅ,τι ἐβούλοντο δι' αὐτοῦ πληρώσαντες, κατῆλθον εἰς τὴν πατρίδα πολλὴν αὐτῇ τὴν ὄνησιν φέροντες· καὶ Εὐγενίῳ μᾶλλον ἢ ἐκείνῳ τὴν χάριν ταύτην ἀφωσιοῦντο, ἅτε δὴ τοσαύτης ἀξιουμένῳ καὶ παρὰ τῶν μέγα δυναμένων αἰδοῦς.

Οὕτως ἦν τοῖς καταπονουμένοις πᾶσι διὰ τῶν γραμμάτων ἁπανταχοῦ βοηθός· καὶ πᾶσι τοῖς ἐκ τῶν ἱερῶν καὶ σεβασμίων μονῶν ἐλεημοσύνης χάριν περιοδεύουσι, τοῖς τε ἐκ τοῦ Σιναίου ὄρους, καὶ τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου, τοῖς τε ἐκ τοῦ ἁγιωνύμου ὄρους τοῦ Ἄθωνος, καὶ ἁπλῶς εἰπεῖν ἐκ πασῶν τῶν κατὰ τὴν καθ' ἡμᾶς οἰκουμένην ἐπ' αὐτῷ τούτῳ περιϊόντων, οὐ σμικρὰ συνεβάλετο, τὰ μὲν αὐτὸς παρ' ἑαυτοῦ, τὰ δὲ δι' ἄλλων διδούς.

Ἐξαιρέτως δὲ περὶ τῆς ἱερᾶς καὶ σεβασμίας μονῆς τῆς ἐπονομαζομένης Τετάρνης, τῆς παρὰ τὸν Ἀχελῷον κειμένης ποταμόν, πολλὴν εἶχεν ἐκ πολλοῦ τὴν φροντίδα, καὶ τῆς ἀνακαινίσεως ταύτης (ἠρήμωτο γάρ, καὶ ἦν ἐπιμελείας ἀξιουμένη μηδὲ μιᾶς ἐπὶ ἔτη σχεδὸν τριάκοντα), αὐτὸς οὗτος ὑπῆρξεν αἴτιος, Ἰάκωβόν τινα ἱερομόναχον, ἐπ' ὀλίγον μὲν αὐτῷ μαθητεύσαντα, ἀσκητικῇ δὲ ἀγωγῇ ἑαυτὸν ἐκδόντα, καὶ πολλαῖς

κατακοσμούμενον ἀρεταῖς, ἔκ τινος τῶν περὶ τὴν Ἄρταν χωρίων ὁρμώμενον, καλουμένου Πέτα, ἐπὶ τὴν προστασίαν ταύτης προτρέψας, καίτοι γε μόλις πρὸς τοῦτο πεισθέντα, διὰ τὸν τῆς ἡσυχίας καὶ ἀπραξίας ὃν εἶχεν ἔρωτα, καὶ μοναδικὸν βίον βιοῦν ἑλόμενον· ἀλλ' ἵνα μὴ τῆς τούτου ὑπακοῆς ἐκπέσῃ, τὸ φορτίον τῆς προστασίας ταύτης δεξάμενον. Κἀκεῖνος μὲν ὡς προστάτης ἐγνωρίζετο τῆς μονῆς, οὗτος δὲ ἦν αὐτῷ πάντα ἐν πᾶσι γενόμενος διὰ τῶν ἐπιστολῶν πρὸς τοὺς δυναμένους τὴν παρ' αὐτῶν παρέχειν μετὰ θεὸν τῇ μονῇ βοήθειαν· καὶ οὕτω μὲν ἐποίει ἐφ' ὅσον ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ ἐν τοῖς ζῶσιν ἐγνωρίζετο· μετέπειτα δὲ τῷ μετὰ τὸν ἐκείνου θάνατον διαδόχῳ γενομένῳ τῆς προστασίας πλείονα συνεισήνεγκε τὴν σπουδήν Ἀνανίας οὗτος ἦν ὁ πᾶσι καὶ πανταχοῦ γνώριμος· δι' ὧν ὑπὲρ αὐτῆς ἐπεπράχει καθ' ὅλον αὐτοῦ τὸν βίον, ἅτινα διὰ τὸ πᾶσιν εἶναι καταφανῆ, περιττὸν καταλέγειν· ὅστις καὶ εἰς ἀρχιεπισκοπικὴν ἀξίαν μετὰ ταῦτα ἀνήχθη τὴν τοῦ Φαναρίου καὶ Νεοχωρίου, καὶ οὐδ' οὕτω τῆς περὶ αὐτὴν ἀπελείπετο ἐπιμελείας· κἀν ταύτῃ τὸ ζῆν οὐ πρὸ πολλῶν ἐξεμέτρησε χρόνων. Ὅτι δὲ πλείονα τότε κατεβάλλετο τὴν σπουδήν, δηλοῖ καὶ τὰ παρ' ἡμῶν εἰς αὐτὸ τοῦτο γενόμενα ἰαμβεῖα μεθ' ἑνὸς ἡρωελεγείου, τὴν πολλὴν περὶ τῆς ἱερᾶς ταύτης μονῆς αὐτοῦ φροντίδα καὶ ἐπιμέλειαν σαφῶς παριστάνοντα, ἔχοντα οὑτωσί·

Στίχοι ἰαμβικοὶ εἰς Εὐγένιον προτρεπόμενον Ἀνανίαν ἐπὶ τὴν τῆς μονῆς προστασίαν.

Μόχθων ἄνευθεν καὶ πόνων οὐδείς, τέκνον,
τῆς βασιλείας οὐρανῶν κλῆρον λάχεν·
καὶ γὰρ βιαστῶν ὡς βιαστὴ τυγχάνει,
πόνοις τε πολλοῖς καὶ κόποις θηρευτέα·
τί οὖν τὸ θαῦμα, καὐτὸς εἰ πολλοῖς πόνοις
ταύτης γενήσῃ τῆς μονῆς ἀρχηγέτης,
τῆς πάντα θείας καὶ περικαλλεστάτης,

καὶ ταῦτα μητρὸς τοῦ θεοῦ μου καὶ λόγου
περισκεπούσης τῷδε ταύτην τῷ τρόπῳ;
Τοίνυν γενοῦ μοι τάχος αὐτῆς προστάτης,
καὶ πάντα πάντως χρηστὸν ἕξει καὶ τέλος.

Εἰς Ἀνανίαν ἀποκρινόμενον Εὐγενίῳ ἐπὶ τῇ προτροπῇ.

Εἰ καὶ τὸ σὸν πρόσταγμα θεῖον ὡς πέλει,
διδασκάλων ἄριστε, δύσοιστον δ' ὅμως
ἐμοὶ δοκεῖ καὶ ἄχθος οἷόν τι μέγα
μονῆς γενέσθαι τηλικαύτης προστάτην·
τούτου χάριν δέδια μή τι καὶ πάθω,
κατωμαδὸν τοσοῦτον ἄρας φορτίον·
ἀλλ' οὖν ἐπειδὴ προστάτιν καὶ κυρίαν
τὴν Παρθένον σὺ καθυπισχνῇ μοι, πάτερ,
ἔπος λέγειν ἄντικρυς οὐδὲν οὐκ ἔχω·
πάντως γεμὴν χρὴ καὶ σὲ συμπαρεστάναι
σύμβουλον ἀεὶ δεξιὸν τῶν πρακτέων.

Ἡρωελεγεῖοι ὡς ἀπὸ τοῦ Εὐγενίου.

Εὐγένιος παλάμῃσιν ἀριστοπόνοισιν ἑῇσιν
οὐ δύναται πονέειν σῶμ' ἀλαπαδινὸν ἔχων·
ἵκετο γὰρ δὴ γῆρας ἐπ' ἔσχατον ἄγχι θανάτου,
καὶ οἱ πάντα λύθη γυῖα, χερῶν τε τόνος·
μήσφ' ὅτε μέντοι τῷδε τῷ βίῳ θεὸς αὐτὸν ἐέργοι,
μήδεσιν οὐ λήξει πώποτ' ἀρηγέμεναι.

Οὐ περὶ τῶν ἱερῶν δὲ μόνον μονῶν πολλή τις ἦν αὐτῷ ἡ φροντίς, ἀλλὰ καὶ περὶ πολλῶν ἄλλων ἐκκλησιῶν· τὸν γὰρ ἐν τῷ Καρπενησίῳ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, οἰκοδομήσας ναόν, πολλῶν καὶ ἄλλων ἀπέδειξε τοῦτον ἀρχέτυπον, καὶ πολλοὺς εἶχε τοὺς μιμητάς, ἔν τε τῇ κωμοπόλει ταύτῃ, καὶ ἑτέροις τῶν πέριξ χωρίων· καὶ τοσαύτη μὲν ἦν αὐτῷ ἡ περὶ τῶν θείων καὶ ἱερῶν ναῶν

φροντίς· τὴν δὲ πρὸς τοὺς δεομένους ἐπικουρίαν τε καὶ χορηγίαν, ἣν ἰδίᾳ τε καὶ δημοσίᾳ, φανερῶς τε καὶ ἀφανῶς ἐποιεῖτο, τίς ἂν ἱκανῶς εἰπεῖν δυνηθείη λόγος; ἐμοὶ δοκεῖν οὐδ' αὐτὸς ὁ ἐν λόγοις δεινότατος ἀξίως ταύτης παραστῆσαι δυνατὸς ἂν γένοιτο τὸ βραχύτατον· οὕτω γὰρ ἦν συμπαθής, οὕτω φιλόπτωχος, ὡς μηδὲν περὶ τῆς αὔριον εὐαγγελικῶς περὶ ἑαυτοῦ μεριμνᾷν· διὸ καὶ εἰς ἔνδειαν τῶν ἀναγκαίων μετὰ ταῦτα κατέστη πολλήν· ἀλλ' ἡ πάντων προνοητικὴ καὶ τῶν καλῶν ἀφθονοπάροχος τοῦ θεοῦ σοφία καὶ δύναμις, οὐδαμῶς αὐτόν τε καὶ τοὺς εἰς αὐτὸν ὁρῶντας τῶν δεομένων εἰς τέλος τῇ ἐνδείᾳ πιέζεσθαι κατελίμπανε· παρεῖχε δὲ πάντα ἀφθόνως αὐτῷ τὰ πρὸς τὴν ἐν τῷ μετὰ σώματος βίῳ διαγωγὴν ἀνήκοντα, καὶ ἑτέροις οἷς οἶδε τρόποις. Τὰ γὰρ ἀνωτέρω λεχθέντα χρήματα, τὰ ἐν Κωνσταντινουπόλει παρὰ τῶν εἰρημένων φιλοθέων ἐκείνων ἀνδρῶν ἐλεημοσύνης λόγῳ συλλεχθέντα καὶ οἰκονομηθέντα, φροῦδα παντάπασιν ἐγένοντο μετὰ τὸν θάνατον τοῦ πρῶτον ταῦτα παραλαβόντος ἐν ταῖς χερσί, καὶ οὐδὲν τούτων τὸ μονύδριον ἐκ τῶν ἐκείνου διαδόχων ἀπείληφε· διὸ καὶ πολλάκις περὶ αὐτὸν ἐρευνήσας τοὺς τὴν ἀπώλειαν αὐτῶν συνειδότας, καὶ μηδὲν δυνηθεὶς λαβεῖν, ἀφορισμὸν ὡς ἔθος τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ ποιησάμενος, καὶ παρά τινος τῶν ἐκ τοῦ χωρίου, δι' αὐτὸ τοῦτο σκληρόν τινα λόγον ἀκούσας, ἠχθέσθη μὲν οὐ μετρίως, ἠβουλήθη δὲ μετανάστης ἀπὸ τῆς Γούβης γενέσθαι, τῶν Καρπενησιωτῶν προσκαλουμένων αὐτόν. Καὶ αὖθις εἶχε τοῦτον τὸ Καρπενήσιον, καίτοι πολλοὺς καὶ ἐν αὐτῇ τῇ Γούβῃ διατρίψαντα χρόνους· κατέλιπε δὲ ἐν ταύτῃ Σάββαν τινὰ ἱερομόναχον τῶν ἐκ τῆς αὐτοῦ συνοδίας, ἄνδρα ἑλληνικῶν μὲν μαθημάτων ἄπειρον, ἀρετῇ δὲ συζῶντα πολλῇ, ὃν καὶ ἡγιασμένον δι' αὐτὸ τοῦτο ἐκάλει· παρέλαβε δὲ μεθ' ἑαυτοῦ τὸν Ἰωακεὶμ ὃν ὁ λόγος ἀνωτέρω δεδήλωκε, σὺν αὐτῷ τε κἀμὲ τῆς τῶν ἐφήβων ἡλικίας τοτηνικαῦτα ἁπτόμενον.

Πολὺ δὲ τὸ διάφορον ἔχον ὁρῶν τῆς ἐν ᾗ πρότερον κατέλιπε τὸ Καρπενήσιον καταστάσεως, ὑπὸ παντὶ λίθῳ σκορπίος εὕδει, τὴν παροιμίαν ταύτην ἐπὶ στόματος εἶχεν ἀεί· μόλις δὲ ἔτος ἓν καὶ μόνον ἐν αὐτῷ πληρώσας, τῶν κατ᾽ αὐτὸ θορύβων ἀπαναστῆναι πάλιν ἐσπούδαζεν· ἐξελθὼν δὲ τούτου, (εἰ καὶ τὴν ἀλήθειαν πρὸ παντὸς τιμᾷν ἄξιον) ἀκόντων τε πάντων καὶ ἀνθελκόντων, πλὴν ὀλίγων τινῶν, εἰς Ναύπακτον τὴν προκαθεζομένην πόλιν τῆς Αἰτωλίας, διὰ τῆς πατρίδος, τὸ Μέγα Δένδρον φημί, καταβαίνει, μηδένα τῶν ἐκ τῆς συνοδίας αὐτοῦ συνεπόμενον ἔχων, πλὴν ἐμοῦ· κἀκεῖθεν εἰς Μεσολόγκιον ἔρχεται, καὶ ἐξ αὐτοῦ πάλιν εἰς τὸ Ἀνατωλικόν. Διατρίψας δὲ ἐνταῦθα ἐφ᾽ ὅσον ἦν αὐτῷ ἀρεστόν, εἰς τὸ Δραγαμέστον διὰ τοῦ Ἀχελῴου καὶ τῆς ἐπέκεινα τούτου πορείας γίνεται· καὶ ὅλην ἐκεῖ προσμείνας τὴν ἁγίαν καὶ μεγάλην τεσσαρακοστὴν (ταύτης γὰρ ἦν ὁ καιρός), μετὰ τὸ πάσχα καὶ τὰς μετ᾽αὐτὸ ἑπομένας ἑορτάς, ἐπανακάμπτει αὖθις διαπόντιος εἰς τὴν Κατοχὴν διὰ τῶν παρ᾽ Οἰνιάδας τοῦ Ἀχελῴου ποταμοῦ ἐκβολῶν, κἀκεῖθεν αὖθις εἰς τὸ Ἀνατωλικόν· ταύτην δὲ τὴν περίοδον δι᾽ οὐδὲν ἕτερον ἐποιεῖτο, εἰμὴ τόπον ἡσυχίας ζητῶν εὑρεῖν, ἀλλ᾽ οὐδὲν ταύτης ἀπώνατο· πάντα γὰρ ἦν θορύβων μεστὰ καὶ πλήρη κακῶν.

Ἔνθεν τοι καὶ παντάπασι τῆς ἐπὶ τάδε οἰκήσεως ἀπογνούς, τὴν ἐς τὰ τῶν Ἀγράφων ὄρη φέρουσαν προκριτέαν πάντων εἶναι ἡγήσατο· καὶ ἅπτεται μὲν αὐτίκα ταύτης, ὅρον δὲ τίθησιν αὐτῇ τὸν πρὸς ὄν, τὴν σεβασμίαν τῆς Τετάρνης μονήν· ἐν ᾗ καὶ γενόμενος, ἀρρωστίᾳ περιπίπτει δεινῇ· ταύτης δὲ καὶ τῇ τῆς Θεομήτορος βοηθείᾳ ἀναρραΐσας, ἡ φήμη τῆς τούτου κατὰ τὴν Τετάρναν ἐλεύσεως προῆλθε καὶ μέχρι τῶν ἐν Βρανιανοῖς, οἳ καὶ τῆς τούτου στερήσεως εἰληφότες τὴν πεῖραν, πολλὴν εἶχον τὴν ἔφεσιν τοῦ καὶ πάλιν αὐτόν, ὡς καὶ πρότερον εἶχον, ἰδεῖν· διὸ καὶ μηδὲ μίαν ποιησάμενοι τὴν ἀνα-

βολήν, οἱ τηνικαῦτα τῶν ἄλλων προὔχοντες ἐν τῇ μονῇ κατῆλθον ζητοῦντες αὐτόν, μεθ' ὧν ἦν καὶ πατὴρ ὁ ἐμός, πένης μὲν ἄλλως καὶ χειρωνακτικῷ βίῳ ζῶν, πολλὴν δὲ ὅμως τὴν πρὸς αὐτὸν εὔνοιαν τρέφων ἐν αὐτῷ· θεασάμενος δὲ τούτους οὕτως ἐξαίφνης ἐξελθόντας, ἡδονῇ καὶ θαύματι σύγκρατος ἦν· καὶ πόθεν οὕτως ἐν ταύτῃ τῇ ἱερᾷ μονῇ παρεγένοντο τούτους ἠρώτα, μὴ καὶ πρότερον μέχρι ταύτης εἰωθότας κατέρχεσθαι· σοῦ ἕνεκά φασι, νῦν μεθ' ὅτι πλείστης σπουδῆς ἐνταῦθα κατήλθομεν, ὡς ἐκ προσώπου πάντων τῶν ἐν τῷ ἡμετέρῳ χωρίῳ κατοικούντων πεμφθέντες· διὸ καὶ ἀξιοῦμεν μηκέτι παριδεῖν ἡμᾶς τοσοῦτον χρόνον τὴν σὴν ὀρφανίαν φέροντας, ἀλλ' ἐπὶ τὸ σὸν μονύδριον ἀνελθεῖν, καὶ τοὺς ἐκ πολλοῦ τοῦ χρόνου κατιδεῖν σε ἐφιεμένους παραμυθήσασθαι· τοῖς δέ γε διὰ λόγου ἢ ἔργου σοι προσκεκρουκόσιν, οἷα Χριστοῦ μιμητής, συγχώρησιν παρασχεῖν.

Τούτοις τε καὶ ἑτέροις πλείοσι λόγοις πρὸς ἀλλήλους καθομιλήσαντες, τὰ πρὸς τὴν ἄνοδον ἡμῖν εὐτρεπίζειν παρεκελεύετο, καὶ ἵνα τὸ πᾶν συνελὼν εἴπω, ἐπανήλθομεν ὅθεν ἐξήλθομεν. Τί δ' ἄν τις εἴποι περὶ τῆς τότε γενομένης παρὰ τῶν ἐγχωρίων χαρᾶς; οὐδὲ γὰρ λόγῳ ταύτην δύναμαι παραστῆσαι· ποθεινοτέρα δὲ καὶ αὐτῷ ἡ ἐν τῷ ἰδίῳ κελλίῳ οἴκησις τηνικαῦτα ἐδόκει, καὶ πασῶν ὧν τὴν πεῖραν ἔλαβε κρείττων. Καὶ ἀριθμὸν ἐτῶν ἱκανῶν αὐτόθι τὸ δεύτερον ἐλθὼν διήρκεσε μένων· ἀλλὰ καὶ αὖθις ἐκ τῶν αὐτῶν αἰτιῶν, ὧν καὶ πρότερον ἡμῖν εἴρηται κινηθείς, γήρᾳ τε πολλῷ βαρυνόμενος, καὶ ὑπό τινος Ἀρσενίου ἱερομονάχου τῶν αὐτοῦ ὄντος, ὡς ἔφημεν, φοιτητῶν, ἀπὸ Καρπενησίου ἐλθόντος, ἐρεθισθείς, καὶ ἑτέρων ἔτι πολλῶν (ἦν γὰρ τότε δι' ὑπερβολὴν γήρως καὶ τοῖς τυχοῦσι τῶν ὁμιλούντων αὐτῷ πειθόμενος), βουλεύεται καὶ τρίτον εἰς Καρπενήσιον ἀπελθεῖν· ὃ καὶ ποιήσας, αὐτίκα μετάμελος ἐγεγόνει· καὶ αὖθις τοῦτον ἡ Γοῦβα ὥς τινα σῖτον ὥριμον εἰς τὴν

ἀποθήκην δέχεται, οὐ διὰ τῆς αὐτῆς, ἀλλὰ δι' ἑτέρας ἐπανακάμψαντα, περίοδόν τινα τετελεκώς, ἣν καὶ λιτὴν κατάπτυστον συνεχῶς ἐφίλει κατονομάζειν· ἐν ᾗ καὶ γενόμενος πολλὴν ἐδόκει τὴν ἀπὸ ταύτης θεραπείαν ἔχειν· ἔστι γὰρ ἐς τὰ μάλιστα ὁ τόπος ὑγιεινὸς ἀπὸ τῆς τοῦ ἀέρος εὐκρασίας, καὶ πηγή τις ἐνταῦθα ἐκδίδωσι καθαροῦ καὶ ἡδίστου νάματος, Φοντάνα ὑπὸ τῶν ἐγχωρίων καλουμένη, καὶ πολλὴν κεκτημένη τὴν φήμην· ἣν καὶ ἐπιγράμματος ἠξίωσεν ἐξότου πρῶτον ἐν αὐτῇ παρεγένετο, τοῦτον τὸν τρόπον ἔχοντος.

Ἵζεό μοι πάρα, ὦ ξένε, κἂν κεν ὁδοῖο παρέλκω,
πίε δὲ καὶ νάματος τοῦδε ἀκηρασίου.
Ἐλθὼν οὖν ὑπὸ τῆς δε κεράσου μοι ἀνάκεισο,
νίζε θοούς τε πόδας χρῶτα τέρην τε ἅπαν.
Φοντάνα κικλήσκουσί με νῦν ἐγχώριοι ἄνδρες
φωνῇ τῇ λατίνων, οὐκ Ἀχαΐδι, φίλε.

Ταῦτ' ἄρα καὶ περὶ μηδεμιᾶς ἔτι φροντίσας ἑτέρας ἀποδημίας, ἀλλ' ἐν αὐτῷ τὸ λειπόμενον διαρκέσαι τοῦ βίου διεγνωκώς, εἰ καὶ ἐκ πολλοῦ τοῦτο κατὰ νοῦν εἶχεν, ἀλλ' ἔκ τινων ὡς ἔφημεν περιστάσεων ἐνοχλούμενος, ἐποιεῖτο τὰς μεταβάσεις· ἐκ γὰρ πολλῶν ἐτῶν αὐτόθι ὁ τάφος αὐτῷ ἐσχεδίαστο, καὶ μονονοὺ τὸν βίον καθ' ἑκάστην τοῦτον ὁρῶν ἀπέλειπεν· ἐξότου γὰρ Θεόδωρον τὸν ἡμέτερον ἀδελφὸν, ἐν παιδικῇ ἡλικίᾳ ὄντα καὶ Γόρδιον παρ' αὐτοῦ πρῶτον ὀνομασθέντα, πικρῶς θανόντα ἐθρήνησεν, ὥστε θαυμάζειν τοὺς ὁρῶντας αὐτὸν, καὶ ἐν τῷ τοῦ ναοῦ νάρθηκι ταφῆναι ἐκέλευσεν, ἐκεῖσέ πη καὶ ὀπήν τινα ἐπέσκηψε γενέσθαι τὸν ἑαυτοῦ τάφον δεικνύουσαν, καὶ ἐπιτηδείως ἔχουσαν εἰς κηροῦ καὶ λύχνου καὶ φωταγωγοῦ ἔξαψιν· ὃ δὴ καὶ ἐγένετο ἐν καιρῷ τῷ προσήκοντι.

Πόθῳ δὲ τῷ πρὸς τὰ θεῖα πόθον προσθείς, καὶ τὸν βίον μελέτην θανάτου ποιούμενος, ὃ δὴ φιλοσοφίας ὅρος ἐστὶν ὁ ἀκρότατος, καὶ τὰ ἐνταῦθα οὐδενὸς ἄξια λογιζόμενος, ἐν τῇ

τῶν μελλόντων θεωρίᾳ ἦν ὅλος ἐκδεδομένος. Εἶχε δὲ καὶ ταῦτα μετὰ τῶν ἄλλων αὐτοῦ καλῶν ὥς τινα ἰδιαίτατα, τὸ ἐν ταῖς προσευχαῖς συνεχὲς καὶ ἐπίμονον· οὐκ ἀπελείπετο γὰρ ἀωρὶ τῶν νυκτῶν ἀπὸ τῆς κλίνης ἀνιστάμενος, ἐπὶ πολὺ τούτων μέρος τῇ προσευχῇ προσκαρτερεῖν μετὰ πολλῶν δακρύων καὶ στεναγμῶν· τὸ ἐν ταῖς τῆς ἐκκλησίας ἀκολουθίαις πρόθυμον, καὶ πρὸς τὴν ἀκρόασιν νουνεχές, ὥστε τοῖς κατά τι τῶν ἀναγινωσκόντων σφαλλομένοις, καὶ ἐκ δευτέρου καὶ τρίτου πάλιν τὸν λόγον λέγειν καὶ διορθοῦσθαι πολλάκις ἐπιτιμᾷν· ἡνίκα δὲ καὶ ψάλλειν ἐβούλετο τούς τε τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν λοιπῶν ἁγίων κανόνας, οὐκ ἄνευ δακρύων εἶδεν ἄν τις τούτου τοὺς ὀφθαλμούς, τοσαύτη γὰρ αὐτῷ ἐκ τῆς ψαλμῳδίας ἐγίνετο ἡ κατάνυξις· τοῦτ᾽ αὐτὸ δὲ καὶ ἄλλων ἔπασχε συνεχῶς ψαλλόντων ἀκούων· ἡ πρὸς τοὺς δεομένους μετάδοσις καὶ ἀνωτέρω μοι ἀποχρώντως δεδήλωται· τὸ γὰρ χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων, ἀποστολικῶς εἰπεῖν, ὡς οὐδεὶς ἄλλος ἐφιλοσόφησε, συχνοί τε πρὸς αὐτὸν ἐν θλίψεσι καταφεύγοντες τῆς παρ᾽ αὐτοῦ βοηθείας ἐτύγχανον· οὐκ ὀλίγων δὲ καὶ αὐτὸς ἐγὼ τῶν παρ᾽ αὐτοῦ εὐεργεσιῶν τε καὶ χαρίτων πεπείραμαι, καὶ μᾶλλον τῆς πρὸς τοὺς λόγους συνδρομῆς τε καὶ προτροπῆς· καὶ ταῦτα ἐν γηραιᾷ πάνυ τῇ ἡλικίᾳ αὐτῷ ὁμιλήσας, καὶ ὅσα καὶ χεὶρ αὐτῷ γινόμενος πρὸς τὰς παρ᾽ αὐτοῦ συντασσομένας ἐπιστολάς.

Συγγράμματα δὲ αὐτοῦ ὀλίγα τινὰ καὶ κατά τινας καιροὺς πρὸς τοὺς αἰτήσαντας ἐκδεδομένα. Πρῶτον μὲν γὰρ πρὸς τοὺς ἐκ τοῦ ἁγιωνύμου ὄρους τοῦ Ἄθωνος πρὸς αὐτὸν περὶ τῆς ἁγίας προσκομιδῆς γράψαντας, καὶ ἀποριῶν λύσιν αἰτουμένους, ἀπόκρισιν ἐποιήσατο δι᾽ ἑλληνικῆς φράσεως ἐν λόγοις δυσίν, ὡς ἐν εἴδει ἐπιστολῶν· οἵτινες τοῖς ἐντυγχάνουσι τῇ κοινῇ παραδόσει μᾶλλον τοῦτον προσέχειν δοκοῦσιν, ἢ τοῖς λόγῳ ἀναντιρρήτῳ σαφῶς ἀποδεικνυμένοις· διὸ καὶ ἀποδοκι-

μαστέαν οἱ Ἀθωνῖται τὴν τούτου πρὸς αὐτοὺς γενομένην ἀπόκρισιν ἀπεφήναντο.

Δεύτερον δὲ καὶ ἐκκλησιαστικὴν ἀκολουθίαν συνεγράψατο τοῦ καλὸν ἐν μονάζουσι λάμψαντος Διονυσίου τοῦ νέου τοῦ ἐν τῷ Ὀλύμπῳ ὄρει ἀσκήσαντος, ὑπό τινων πρὸς τοῦτο παρακληθεὶς ἀδελφῶν καὶ συμπατριωτῶν τοῦ ἁγίου. Πρόσθες, εἰ βούλει, καὶ ἣν ἔφημεν ἀκολουθίαν Κυρίλλου, ἐν Κωνσταντινουπόλει ἔτι διατρίβων ἐν νεωτέρᾳ τῇ ἡλικίᾳ.

Τὰ δὲ λοιπὰ τούτου τῶν συγγραμμάτων εἰς ἐπιστολὰς ἀναφέρεται, τὰς μὲν καὶ ἑλληνιστί, τὰς δὲ καὶ χυδαϊστί, ἢ μιξοβαρβαριστί, ἵν' οὕτως εἴπω, γεγραμμένας ὑπὲρ ἀριθμὸν οὔσας· πολλὰς γὰρ καὶ πρὸς πολλὰ τῶν προσώπων ἰδιωτικῶν τε καὶ ἀξιωματικῶν ἀπέστελλεν· ὡς καὶ πρὸς αὐτὸν τὸν ἐν βασιλεῦσι χριστιανικώτατον καὶ τῆς Μοσχοβίας αὐτοκράτορα συστατικάς ποτε πέμψας ἐπιστολάς, ἔτι δὲ καὶ πρὸς Νίκωνα τὸν τῶν ὑπερβορείων ἐκείνων μερῶν πατριάρχην· παρίημι λέγειν ὅσας πρὸς τοὺς κατὰ καιρὸν γενομένους ἐκλαμπροτάτους ἡγεμόνας τῆς τε Οὐγκροβλαχίας καὶ Μολδοβλαχίας, πρός τε τοὺς τέτταρας τῆς ἀνατολικῆς ἐκκλησίας πατριάρχας, καὶ πρὸς τοὺς λοιποὺς τῶν ἀρχιερέων· μάλιστα δὲ πρὸς Διονύσιον τὸν ἐκ Κωνσταντινουπόλεως, τὸν ὕστερον μὲν πολλάκις ἐπὶ τὸν πατριαρχικὸν ἀναχθέντα θρόνον, πρότερον δὲ Λαρίσσης ὄντα μητροπολίτην· πρὸς τοῦτον γὰρ καὶ πλείστας καὶ καλλίστας συνέταξεν ἐπιστολάς, διά τε τὸ ἐγγὺς τῆς αὐτοῦ ἐπαρχίας οἰκεῖν, καὶ διακομιστῶν ὁπότε βούλοιτο εὐπορεῖν, καὶ διὰ τὸ πολλὴν πρὸς αὐτὸν τὴν φιλίαν σώζειν καὶ τὴν εὐλάβειαν, ὥστε καὶ ἐπὶ Λάρισσαν ἐλθεῖν ποτε μετὰ πολλῆς τῆς παρακλήσεως αὐτὸν μεταπέμψασθαι, καὶ τήν τε Τρίκκην καὶ τὸν Τύρναβον μετ' αὐτοῦ περιοδεῦσαι, καὶ ὅπῃ περ ἂν αὐτῷ κρεῖττον δόξειε μεῖναι καὶ σὺν αὐτῷ εἶναι παρακαλεῖν.

Ἀλλ' οὗτος τὴν ὑπὲρ πάντα φίλην αὐτῷ ἡσυχίαν ἀσπα-

ζόμενος, τὴν ταχίστην ὑποστρέφειν ἐπὶ τὴν Γοῦβαν ἔσπευδε, πασῶν ταύτην προτιμοτέραν ἡγούμενος. Πολλοὶ δὲ καὶ ἕτεροι τῶν ἀρχιερέων ἐπὶ τὰς μητροπόλεις αὐτῶν πολλάκις αὐτὸν ἐκάλουν, πᾶσαν αὐτῷ θεραπείαν ὑπισχνύμενοι καὶ τιμήν· ἐξ ὧν καὶ ὁ προρρηθεὶς Βαρθολομαῖος ὁ Ναυπάκτου καὶ Ἄρτης, ἡνίκα τὸν Γρηγόριον ἦλθε ζητῶν παρ' αὐτοῦ προστάτην τῆς ἐν τῇ Ἄρτῃ σχολῆς πρὸ τοῦ γενέσθαι τὴν ἐν τῷ Ἀνατωλικῷ· πρὸς ὃ καὶ ἐπένευσεν, ἀλλ' οὐ πλείονα χρόνον ἔτους ἑνὸς τὴν ἐκεῖσε ποιῆσαι διατριβήν, εἶτα πρὸς αὐτὸν ἀνακάμψαι τούτου δεόμενον· εἵλετο γὰρ μᾶλλον παραρριπτεῖσθαι καὶ συγκακουχεῖσθαι τοῖς ἐν τοῖς δυσβάτοις καὶ ἀκάρποις ὄρεσι τῶν Ἀγράφων οἰκοῦσι, καὶ ἡσυχίας ἀπολαύειν διηνεκοῦς, ἢ κατὰ τὰς εὐρείας καὶ πολλαῖς περιρρεομένας τῶν πόλεων ἀφθονίαις ἐν πολλοῖς ἀνατρέφεσθαι τοῖς θορύβοις.

Ἦν δὲ ὁ τῶν ἐπιστολῶν αὐτοῦ χαρακτήρ, ἐν μὲν ταῖς κατὰ φράσιν συντεταγμέναις ἑλληνικήν, τῷ τοῦ Κορυδαλλέως προσεοικώς, εἰ καὶ μὴ πᾶσαν εἶχε τὴν ἐκείνου ἰσχύν· ἐν δὲ ταῖς κατὰ τὸ ἁπλοῦν καὶ ἰδιωτικὸν τρόπον, σοφῆς μελίττης ἀποστάζων γλυκύτητα· καὶ αὗται μᾶλλον ἐκείνων παρὰ πάντων σοφῶν τε καὶ ἰδιωτῶν ἐθαυμάζοντο, κάλλους ἕνεκα καὶ ἤθους κατασκευῆς· καὶ οὐκ ἔστιν ὅστις ἐπιστολὴν τούτου εὑρών, ὁπωσδήποτε ἔχουσαν, μὴ μετὰ πολλῆς ἐγκολπώσασθαι τῆς προθυμίας καὶ ἡδονῆς. Καὶ οὕτω μὲν ἐγίνετο πανταχοῦ δι' αὐτῶν· πολλοὺς δὲ καὶ ἐκ πολλῶν ἠλευθέρου κακῶν ψυχικῶν ὁμοῦ καὶ σωματικῶν, καὶ τοῦτο ἦν αὐτῷ μᾶλλον τὸ σπουδαζόμενον μέχρι τελευταίας ἀναπνοῆς.

Ἐνταῦθα δὲ γενομένῳ τοῦ λογου, καὶ οἷον περὶ αὐτὸ τὸ τέλος εἰπεῖν, οὐκ ἄξιόν μοι δοκεῖ καὶ τὸν ἐν τῇ ἰδίᾳ πατρίδι (φημὶ τῷ Μεγάλῳ Δένδρῳ) παρ' αὐτοῦ κτισθέντα ναὸν ἀμνημόνευτον παριδεῖν, καὶ μηδενὸς ἀξιῶσαι λόγου· πολλὴν γὰρ εἶχεν ἐκ πολλοῦ τρέφων ἐν ἑαυτῷ τὴν ἔφεσιν, ἶσον καὶ μεγέ-

θει καὶ σχήματι τῷ ἐν τῷ Καρπενησίῳ παρ' αὐτοῦ πρότερον οἰκοδομηθέντι, καὶ κατὰ τὴν ἑαυτοῦ πατρίδα κτίσαι ναόν· ἦν δέ τις ἐκεῖσε βραχὺς πάνυ καὶ κάλλους ἀπηλλαγμένος παντός, ἐπ' ὀνόματι τιμώμενος τῶν τῆς θεομήτορος Εἰσοδίων· τοῦτον ἔγνωκεν ἀνακτίσαι, καὶ εἰς τὸ προρρηθὲν ἀναγαγεῖν καὶ σχῆμα καὶ μέγεθος, τὸ δὲ οὐκ ἄλλοτέ ποτε τοῦτο αὐτῷ ἐξεγένετο, καί τοι λίαν προθυμουμένῳ, εἰ μὴ περὶ αὐτὰς τὰς τοῦ βίου δυσμάς· καὶ δὴ βουλῆς αὐτῷ καὶ σκέψεως πρότερον γενομένης, καὶ τὸ ἔργον αὐτίκα ταύτῃ ἐπηκολούθει. Δοὺς τοίνυν ὅσον ἱκανὸν ἦν εἴς τε τὸν τῶν τοίχων, καὶ τὸν τῆς ὀροφῆς τούτου ἀπαρτισμόν, ἀνεκτίσθη μὲν ὁ ναός, οὐ μὴν δὲ καὶ κατὰ πάντα τῷ ἀρχετύπῳ παρεμφερής, ἀμελείᾳ τε ἅμα καὶ μοχθηρίᾳ τῇ τῶν ἐπιστατούντων· οὐδὲ γὰρ ἠδύνατο τῷ τόπῳ τὰς ὄψεις αὐτὸς οὗτος ἐπιβαλεῖν, καὶ ὡς ἦν αὐτῷ καταθύμιον κελεῦσαι γενέσθαι· πέρας μέντοι τὸ οἱονοῦν ἐδέξατο, καὶ ἥδετο τοῦτο μαθὼν καθ' ὑπερβολήν· εἶτα καὶ περὶ τῶν ἐντὸς ἤρξατο τὰ εἰκότα διανοεῖσθαι, κατὰ πάντα αὐτοῦ τὰ μέρη τοῦτον ὁλόκληρον ἀπεργάσασθαι σπεύδων, ἐφ' ᾧ καὶ Ἀνανίαν τὸν τῆς Τετάρνης προσκαλεσάμενος καθηγούμενον, ὡς ἐκ τοῦ ἰδίου προσώπου μετὰ τῶν ἀναλωμάτων ἐκεῖσε πέπομφε, τὰς μετὰ τῶν τεχνιτῶν συμβάσεις ποιήσασθαι. Τούτου δὲ κατὰ τὴν ἐκείνου κέλευσιν ἐπὶ τὸν ναὸν ἐλθόντος, οὐδὲν ἧττον ἐκεῖνοι τῇ ἑαυτῶν μοχθηρίᾳ χρησάμενοι, τὰ μὲν χρήματα κατηνάλωσαν, τὸ δὲ ἔργον ἀτελὲς ἀπέλιπον. Τελευτήσαντος δὲ τούτου, τελευτήσαντος δὲ καὶ τοῦ τῶν τεχνιτῶν ἐκείνων πρωτεύοντος, ἡμιτελὲς ἦν τὸ ἔργον καὶ παρεωραμένον μέχρι καὶ τῆς ἡμῶν ἐπὶ τὸ Ἀνατωλικὸν ἀφίξεως· ἔχοντες δὲ μετὰ τῶν ἄλλων ἡμεῖς παρ' αὐτοῦ καὶ τὴν περὶ τοῦ ναοῦ τούτου παραγγελίαν, καί τινα βραχὺν χρημάτων ἀριθμόν, ὃν ἐπ' αὐτῷ τούτῳ ἡμῖν καταλέλοιπεν, οὐ ταῦτα μόνον εἰς αὐτὸν ἀνηλώκαμεν, ἀλλὰ καὶ ἐκ τῶν ἰδίων τινά, καὶ πᾶν ὅ,τι χρειῶδες καὶ τῶν ἄλλων μᾶλλον

ἀναγκαιότερον ἦν, εἰς τέλος τὸ προσῆκον ἠγάγομεν, τῷ καθηγητῇ τε καὶ πνευματικῷ πατρὶ, καὶ πάντων τῶν καλῶν ἡμῖν μετὰ θεὸν χορηγῷ χαριζόμενοι.

Τὸ δέ γε εἰς θεοσέβειαν ἧκον αὐτοῦ καὶ δογμάτων ἀκρίβειαν, ἴσασι πάντως οἱ μετ' αὐτοῦ τὰς ἐντεύξεις ποιούμενοι, καὶ τῆς τούτου διδασκαλίας συνεχῶς κατακούοντες, ὡς οὐδὲ μιᾶς λύμης μέτοχος ἦν, τῶν τε εἴτε λατινικῶν, εἴτε καὶ λουθηρανικῶν, εἴτ' οὖν καλουϊνικῶν φαίης αἱρέσεων, ἀλλὰ καὶ τούτων κἀκείνων ἄσπονδος ἐχθρὸς ἦν, καὶ ἐκ μιᾶς παρῃτεῖτο πάντας, ὡς καί τινος αὐτῷ τῶν φίλων ἀπὸ Κωνσταντινουπόλεως γράψαντος, ὅτι τινὲς τῶν ἀπὸ τῆς τοῦ ἐκ Βερροίας Κυρίλλου φατρίας καλουῖνον τοῦτον ἐπιφημίζουσιν, αὐτὸς ἀντέγραψεν, οὐκ οἶδ' ὅ,τι καὶ βούλεται τοῦτο σημαίνειν τοὔνομα· ἆρα τῶν χερσαίων τι ζώων ἐστίν, ἢ τῶν πτηνῶν, ἢ τῶν νηκτῶν, ἐδώδιμον ἢ οὐκ ἐδώδιμον; καὶ ὅσα τούτων ἐφάμιλλα. Πρὸς δὲ θεολογίαν, εἰ καὶ ἀγύμναστος ἦν, τὴν νεωτέραν ταύτην φημὶ καὶ σχολαστικὴν καλουμένην, πρός μέντοι γε τὴν τῶν θείων πατέρων ἀραρότως εἶχε μάλα καὶ ἐντελῶς, καὶ πολὺς ἦν ταῖς τούτων βίβλοις προσκείμενος, καὶ πᾶν ὅ,τι καὶ λέγειν καὶ γράφειν βούλοιτο, οὐκ ἄλλοθέν ποθεν, εἰ μὴ παρ' αὐτῶν ἐλάμβανεν, οὐδὲν οὔτε μεταποιῶν, οὔτε παρεξηγούμενος, ἀλλὰ τῇ τε ἱερᾷ καὶ θείᾳ Γραφῇ, καὶ τοῖς ταύτης ἐξηγηταῖς καὶ ἁγίοις πατράσι κατ' ἴχνος ἑπόμενος.

Περὶ δὲ τῆς τοῦ Κορυδαλλέως ἧς εἶχε γνώμης, πολλάκις ἀκηκοὼς ἔτυχον τούτου λέγοντος, ὅτι οὐκ ὀρθοποδῶν ἦν ὅλως πρὸς τὴν ἀλήθειαν· εἰ γὰρ καὶ μὴ ἀμφοτέραις ταῖς ἰγνύαις ἀλλὰ γοῦν θατέρᾳ τούτων ἐχώλευε· τοσοῦτον μόνον τὸ παρ' αὐτοῦ λεγόμενον ἦν, ἀλλ' οὐκ οἶδα πρὸς ὅ,τι μᾶλλον ὁ λόγος αὐτῷ ἐφέρετο· ὡς δὲ εἰκάσαι μόνον ἐστὶν ἐκ μιᾶς ἧς πρὸς αὐτὸν πέπομφεν ἀπὸ Κωνσταντινουπόλεως ἐπιστολῆς, ἐν ᾗ τὴν μετουσίωσιν θεοστυγῆ λέγειν οὐκ ἀναδύεται, εἴτε τὴν λέξιν αὐ-

τὴν καθ' ἑαυτὴν οὕτω καλῶν, εἴτε καὶ τὸ ὑπ' αὐτῆς σημαινόμενον, ἀμφοτέρως οὐ πόρρω ἀσεβείας καθέστηκεν. Ἐν ἑτέραις δὲ τῶν καὶ πρὸς αὐτὸν καὶ πρὸς ἄλλους ἑτέρους ἐπιστολῶν, πολλῶν καὶ διαφόρων οὐσῶν, οὐδὲν τοιοῦτον εὑρίσκεται· ἀλλ' οὐδ' ἐν ἑτέροις ὅσα ἡμεῖς ἴσμεν τῶν αὐτοῦ ξυγγραμμάτων, εἰ μή τις εἴποι τὰ τὴν ἀριστοτελικὴν ἀναπτύσσοντα ἔννοιαν· ἀλλὰ περὶ τούτων λόγος οὐδείς, οὐ γὰρ θεολογεῖν αὐτῷ πρόσκειται δι' ἐκείνων, ἀλλὰ φιλοσοφεῖν.

Ἐγὼ δὲ καὶ προορατικοῦ τοῦτον ἰσχυρισαίμην ἂν μετέχειν χαρίσματος· πρὸ γὰρ χρόνων πολλῶν συνεχῶς καὶ πρὸς ἡμᾶς μὲν τοὺς αὐτῷ συνόντας, ἀλλὰ δὴ καὶ πρὸς ἑτέρους τῶν φίλων πολλοὺς οὐκ ἐπαύετο λέγειν, μάλιστα δὲ τῷ πρῴην ἀρχιεπισκόπῳ Φαναρίου καὶ Νεοχωρίου Ἰωσὴφ τῷ Κοσκολᾷ κατ' ἰδίαν διαλεγόμενος, ὡς γενήσεταί τις μετὰ τὴν αὐτοῦ ἀποβίωσιν μεγίστη μεταβολή· ἥτις καὶ γέγονεν οὐκ εἰς μακρὰν ἀπὸ τῆς αὐτοῦ τελευτῆς, ἀλλ' εὐθὺς μετ' αὐτήν. Ὅ τε γὰρ καῖσαρ τῆς Γερμανίας, τῶν ἐκ τῆς Ἄγαρ πρότερον διαλυσάντων τὰς πρὸς αὐτὸν σπονδάς, καὶ μάχης πρὸς αὐτοὺς ἀκηρύκτου κινηθείσης, πολλῶν τε ἐξ ἑκατέρων τῶν μερῶν διαφθαρέντων, τὴν νικῶσαν δὲ ἀεὶ τοῦ καίσαρος ἔχοντος, πολλῶν ἐγένετο κύριος τῶν κατὰ Παννονίαν χωρῶν τε καὶ πόλεων, τόν τε Ἴστρον διαβὰς μέχρι καὶ αὐτῆς τῆς καλουμένης Βελιγράδης ἀφίκετο, καὶ ταύτην μετά τινων ἑτέρων τῶν παρ' αὐτῷ τῷ ποταμῷ κειμένων ἑαυτῷ παρεστήσατο· εἰ καὶ μετ' οὐ πολὺ ταύτης καὶ μόνης τῶν ἐπὶ τάδε τοῦ ποταμοῦ, οἱ τῆς ἐναντίας μοίρας ἴσχυσαν περιγενέσθαι· τῆς δὲ λοιπῆς Παννονίας ἁπάσης ὁ καῖσαρ εἴληφε τὴν ἡγεμονίαν, καὶ μέχρι τοῦδε ὑπ' αὐτὸν οὖσα διατελεῖ· καὶ ταῦτα μὲν κατὰ τὰ ἄνω μέρη ἐγένοντο καὶ προσάρκτια. Ἐκ δὲ τῶν ἑσπερίων τοῦ στόλου τῶν Ἐνετῶν μετὰ πολλῆς τῆς παρασκευῆς ἐξελθόντος, ἥ τε Λευκὰς νῆσος μετὰ τῆς Νικοπόλεως ὑπ' αὐτοὺς παραχρῆμα γίνεται, καὶ μετ' αὐτὴν ἡ περιφανὴς

ἅπασα Πελοπόννησος, μεθ' ἧς καὶ Ναύπακτος ἡ προκαθεζομένη καθάπερ εἴρηται τῶν Αἰτωλικῶν, καὶ τὸ ταύτης ἐγγὺς κείμενον φρούριον, τὸ πάλαι Ῥίον καλούμενον, μετὰ τούτων δὲ καὶ ἡ πρὸ τῆς Ἀττικῆς νῆσος Αἴγινα, καὶ ἡ Ἀττικὴ αὕτη· καὶ μέχρι τῆς κατ' Εὔριπον Εὐβοίας ὁ στόλος μετὰ πολλῆς ἀφίκετο τῆς δυνάμεως· ἀλλὰ ταύτης, οὕτω τῇ θείᾳ προνοίᾳ δόξαν, ἀποτετυχηκώς, ὑποτελῆ μετὰ βραχύν τινα χρόνον Χίον τὴν νῆσον ποιεῖται τῇ τῶν Ἑνετῶν ἀριστοκρατίᾳ, εἰ καὶ μετὰ μῆνας ἓξ οἱ ἐκ τῆς Ἄγαρ ταύτην αὖθις ἀνέλαβον.

Τούτων δὲ οὕτω γενομένων, καὶ τῶν πολέμων ἐξ ἑκατέρων τῶν μερῶν ἔτι καθάπερ τινῶν θαλαττίων κυμάτων κορυφουμένων, τίς ἂν ἀξίως ἐκτραγῳδήσειε τὰς ἀνὰ πᾶσαν τὴν Ἑλλάδα γενομένας τότε λεηλασίας τε καὶ αἰχμαλωσίας, καὶ μάλιστα κατὰ τὰ ἐγγυτέρω τῆς θαλάττης ὄντα χωρία, τῶν ληστῶν πάντα κατειληφότων καὶ ἐκδρομὰς συνεχεῖς ἐπὶ τὰ ἀπωτέρω τούτων ποιουμένων, καὶ Μυσῶν ὃ λέγεται λείαν ταῦτα ἀποτελούντων; ἡ τῶν Ἀγράφων πᾶσα περιοχὴ τοῦτ' αὐτὸ μικροῦ δεῖν ἐγίνετο ἄγραφος, ὡς μηδενὸς λόγου ἀξία καὶ γραφῆς οὖσα· καὶ νῦν εἰσέτι μετὰ τὴν τῶν ὅπλων καταβολήν, καὶ τὰς σπονδὰς τῶν κρατούντων, ὑπὸ τοῦ οὐραίου ἔτι κινουμένου συγκινεῖται, καὶ πρὸς πανωλεθρίαν κινδυνεύει χωρῆσαι· τοῦτ' αὐτὸ δὲ καὶ τὸ Καρπενήσιον πέπονθε μετὰ τῶν περὶ αὐτὸ χωρίων, εἰ καὶ μετριώτερον ἐν αὐτοῖς τοῖς χωρίοις γέγονε τὸ κακόν, ἐξότου Λιβέριος ὁ ἐκ Λακεδαιμονίας μετὰ δυνάμεως κατελθὼν ἐκ βασιλικῶν προσταγμάτων, καὶ τὰς τῶν ληστῶν ἐφόδους ἀναχαιτίζων, μικράν τινα τούτοις ἀναψυχὴν περιεποιήσατο. Τοιαύτη τις ἦν ἡ ἐν τοῖς τῇδε τόποις ὠδίνουσα μὲν τὸ τηνικαῦτα, παρ' αὐτοῦ δὲ προγνωσθεῖσα γενέσθαι μεταβολή· καὶ οὕτω συνεχῶς ἐλέγετο πρὸ πολλῶν ἐτῶν παρ' αὐτοῦ, εἰ καὶ μὴ πάντα διακριδὸν καὶ κατὰ μοῖραν τὰ συμβησόμενα ἀλλὰ συγκεχυμένως καὶ ἀορίστως· ἐλέγετο δ' οὖν

ὅμως, καὶ τὸ πέρας ἡμεῖς τούτων ἐθεασάμεθα, καὶ πεῖραν ἱκανὴν τῶν ἀπὸ ταύτης κακῶν ἐλάβομεν, καὶ οὐδὲ μέχρι τοῦ νῦν ἀπηλλαγμένοι πάντῃ τούτων ἐσμέν, εἰ καὶ συμβάσεις ἐγένοντο, καὶ πανταχοῦ τὰ τῆς εἰρήνης ἀνεκηρύχθη. Μετὰ τῶν ἄλλων πάντων κακῶν, καὶ οἱ μοναχοὶ φόρου κατέστησαν ἔκτοτε τῇ τυραννίδι ὑποτελεῖς, ὅπερ οὔτ' ἐγένετο πώποτε, οὔτε παρ' ἡμῶν, οὔτε παρ' ἄλλων ἤκουσται γενέσθαι, ὥστε καὶ ἐπὶ πολλοὺς διαρκέσαι χρόνους, οἷά που γέγονε τόγε νῦν ἔχον.

Καὶ τοιοῦτος μὲν ὡς ἐν βραχυτάτοις κατά τε πρᾶξιν καὶ θεωρίαν, καὶ ἁπλῶς εἰπεῖν κατὰ πάσας αὐτοῦ τὰς ψυχικὰς ἀρετὰς ἐτύγχανεν ὢν ὁ θαυμάσιος οὗτος ἀνήρ. Κατὰ δὲ τὴν ἰδέαν τοῦ σώματος (ἵνα μὴ καὶ τούτου παντάπασιν ἀμνημονήσωμεν), τὴν ἡλικίαν μέτριος ἦν, καὶ οὔτε λίαν παχὺς, οὔτε λίαν ἰσχνὸς, ἀλλὰ τῆς μεταξὺ τούτων οὔσης μετέχων κράσεως, τὸ σῶμα πᾶν εὐσθενής, καὶ βραχύ τι προσκεκυφός· κεφαλὴν ἔχων μεγάλην, τοὺς ὀφθαλμοὺς γλαυκούς, τὰς ὀφρῦς δασείας, τὴν ῥῖνα μικρόν τι πρὸς τὸ σιμὸν ἀποκλίνουσαν ὑποφαίνων· ὦτα τῇ κεφαλῇ ἀναλόγως ἔχοντα· τὰς παρειὰς σὺν τῷ λευκῷ καὶ τὸ ἐρύθρὸν ἐπιπολάζον ἐχούσας, χείλη παχύτερα, πώγωνι τὰς σιαγόνας πυκαζόμενος, τῷ τοῦ Θεολόγου, ἢ τῷ τοῦ Ἀθανασίου τοῦ μεγάλου μᾶλλον ἐμφερῶς ἔχοντι· τινὲς δὲ αὐτὸν κατὰ πάντα ὅμοιον ἔλεγον εἶναι τὸν τοῦ σώματος τύπον Νεκταρίῳ τῷ τῶν Ἱεροσολύμων μακαριωτάτῳ πατριάρχῃ, τοῦτον κἀκεῖνον αὐταῖς ὄψεσιν ἰδεῖν καταξιωθέντες, καὶ ἀμφοτέρων ἐν πείρᾳ τῆς ὁμιλίας γενόμενοι.

Μικρὸν δὲ πάνυ νοσήσας, καὶ πυρετῷ μόνον ἑνὶ ληφθείς, καταλύει τὸν βίον ἐν αὐτῷ τῷ τῆς ἁγίας ὁσιομάρτυρος Παρασκευῆς μονυδρίῳ τῷ ἐν Βρανιανοῖς, ἔτει τῷ ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ, αὐγούστου μηνὸς πέμπτην ἡμέραν ἄγοντος καθ' ὥραν πρώτην ἢ δευτέραν τῆς μετ' αὐτὴν νυκτός, καθ' ἣν τῆς τοῦ κυρίου καὶ

θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φαιδροτάτης Μεταμορφώσεως τὴν πανήγυριν ἄγομεν, καὶ θάπτεται κατ' αὐτὴν τὴν ἡμέραν ἐντίμως τε καὶ λαμπρῶς παρ' ἡμῶν τε καὶ ἑτέρων τῶν τότε παρευρεθέντων αὐτοῦ φοιτητῶν, ἐν τῷ πρὸ πολλῶν ἐτῶν, ὡς ἔφημεν, παρ' αὐτοῦ σχεδιασθέντι μνημείῳ, καὶ εἰς τὴν ἀγήρω ζωὴν μετατίθεται, λαμπρῶς τῷ λαμπρῷ καὶ θείῳ φωτὶ παριστάμενος· ᾧ δόξα πρέπει καὶ τιμὴ καὶ προσκύνησις ἐπ' ἀϊδίους αἰῶνας, ἀμήν.

Ἔστι δὲ καὶ ἐπιτάφιον αὐτῷ παρ' ἡμῶν πεποιημένον τόδε·

Ἐνθάδε Εὐγενίοιο μεγακλέος ἀνέρος ἐσθλοῦ
κεῖται ἐπ' εὐσεβίῃ σῶμα μέγ' εὐγενέος.

Γέγραπταί μοι ὁ βίος οὗτος κατὰ τὸ αψγ'. ἀπὸ Χριστοῦ, ἰουνίου λ'. ἐν τῷ Ἀνατωλικῷ τῆς Αἰτωλίας.

Μεταγέγραπται δὲ καὶ παρ' ἐμοῦ τοῦ ἐλαχίστου Σωτηρίου κατὰ τὸ αψνη'. ποσειδεῶνος ζ'. ἐν τῇ Γούβῃ τῶν Βρανιανῶν.

E.

Δημητρίου Προκοπίου, ἐπιτετμημένη ἐπαρίθμησις τῶν κατὰ τὸν παρελθόντα αἰῶνα λογίων Γραικῶν, καὶ περί τινων ἐν τῷ νῦν αἰῶνι ἀνθούντων.

Ὁ Ἱερεμίας πατριάρχης Κωνσταντινουπόλεως, πρὸς ὃν ἔγραψαν οἱ ἐν Τιβίγγῃ διδάσκαλοι, καὶ ἀπεκρίθη αὐτοῖς μετὰ διακρίσεως, καὶ εὐσεβείας πολλῆς.

Θεοδόσιος ὁ Ζυγομαλᾶς, οὗτος ἤκμαζεν ἐπὶ τοῦ διαληφθέντος Ἱερεμίου πατριάρχου· ἐτετίμητο καὶ ὀφφικίῳ ἐκκλησιαστικῷ, ἐχρῆτο δὲ αὐτῷ ὁ πατριάρχης ἐν πάσαις ταῖς ἀναγκαίαις αὐτοῦ καὶ ἀξιολόγοις ὑποθέσεσι· καὶ ἵν' οὕτως εἴπω, ἦν αὐτῷ ὅσα καὶ δεξιὰ χείρ· δόκιμος ἀνὴρ καὶ σοφός.

Γαβριὴλ ὁ Σεβῆρος, μητροπολίτης Φιλαδελφείας, ὁ τὸ περὶ μυστηρίων συνταγμάτιον συγγραψάμενος, καὶ περὶ τῶν πέντε διαφορῶν τῆς ἀνατολικῆς καὶ δυτικῆς ἐκκλησίας, καὶ ἄλλα τινά· ἀλλ' εἰ τὰ παρὰ Μαργουνίου κατ' αὐτοῦ ἐκφωνηθέντα καὶ γραφέντα ἀληθείας ἔχεται, μηδὲ πάθους τινὸς ἐνδομυχοῦντός εἰσι κυήματα, ὀλίγων ἐπαίνων ἄξιος ἦν ὁ Σεβῆρος.

Μελέτιος ὁ Πηγᾶς, πάπας Ἀλεξανδρείας, ὁ συγγράψας διαλογικῶς ἑρμηνείαν τοῦ Συμβόλου, καὶ τοῦ, Πάτερ ἡμῶν, καὶ ἕτερα διάφορα πολεμικὰ καὶ ἐξηγητικά, καί τινα φιλοσοφικὰ ὑπομνήματα.

Μάξιμος ὁ Πελοποννήσιος ὁ συγγράψας τὸ ἐγχειρίδιον κατὰ τῆς ἀρχῆς τοῦ Πάπα ἁπλῇ μὲν τῇ φράσει, ἀλλ' ἰσχυρώτερον

καὶ πιθανώτερον πολλῶν ἄλλων πονημάτων, περὶ τῆς αὐτῆς ὑποθέσεως διαλαμβανόντων· πρὸς τούτοις φιλοπόνως συνελέξατο ἀπὸ τῆς παλαιᾶς Γραφῆς χρήσεις (1) πολλάς, μαρτυρούσας τὴν ἔνσαρκον οἰκονομίαν τοῦ σωτῆρος ἡμῶν Χριστοῦ.

Μάξιμος ὁ Μαργούνιος, ἀνὴρ σοφὸς καὶ κατὰ τὴν θύραθεν παιδείαν, καὶ τῶν ἱερῶν Γραφῶν, καὶ τῆς ἐκκλησιαστικῆς ἱστορίας ἔμπειρος, δόκιμος καὶ λογογράφος καὶ ποιητής, ὡς μαρτυρεῖται ἔκ τε τῶν καταλογάδην αὐτοῦ συγγραμμάτων, καὶ ἐκ τῶν Ἀνακρεοντίων ὕμνων. Τῶν συγγραμμάτων αὐτοῦ τὰ μὲν τύποις ἐκδέδοται, τὰ δὲ σώζεται ἐν χειρογράφοις σχεδίοις. Τούτου αἱ πρὸς τὸν Λούκαριν ἐπιστολαί, καὶ αἱ ἀποκρίσεις αὐτῶν σώζονται χειρόγραφοι ἐν τῇ πληρεστάτῃ βιβλιοθήκῃ τοῦ ὑψηλοτάτου καὶ σοφωτάτου ἡγεμόνος πάσης Οὐγγροβλαχίας κυρίου κυρίου Ἰωάννου Νικολάου Ἀλεξάνδρου Μαυροκορδάτου, ἐν Κωνσταντινουπόλει· ἐχρημάτισε δὲ καὶ διδάσκαλος τοῦ κυρίου Κυρίλλου Λουκάρεως.

Γεώργιος Χῖος ὁ Κορέσσιος, ἀνὴρ σοφὸς καὶ πολυμαθής, καὶ τῶν ἱερῶν Γραφῶν ἔμπειρος, συνέγραψε σχολαστικῶς πολλὰ καὶ διάφορα ὑπομνήματα θεολογικά, ἀλλὰ τὰ πλείω ἄνευ τάξεως καὶ ὀρθῆς διακρίσεως.

Κύριλλος Λούκαρις ἐκ νήσου Κρήτης, πατριάρχης Κωνσταντινουπόλεως· περὶ οὗ, ἐπειδὴ πολλοὶ τῶν μεταγενεστέρων μνείαν ἐποιήσαντο ἐν τοῖς ἑαυτῶν συγγράμμασιν, οἱ μὲν κατ' αὐτοῦ, οἱ δὲ ὑπὲρ αὐτοῦ λαλοῦντες, σιγῇ παραδραμεῖν δεῖν ᾠήθημεν τὰ κατ' αὐτόν.

Γεράσιμος Κρής, πατριάρχης Ἀλεξανδρείας, ἀνὴρ τῷ ὄντι σοφώτατος καὶ ἁγιώτατος, θεολόγος, φιλόσοφος, ἀνιχνευτὴς τοῦ βάθους τῶν θείων Γραφῶν, δαημονέστατος τῆς ἑλληνικῆς, ἑβραϊκῆς, καὶ λατινικῆς γλώττης, ἐχρημάτισεν (ἀπέστω δὲ τοῦ

(1) Γραπτέον —, ῥήσεις. Σ.

λόγου κολακεία, καὶ τὸ πρὸς χάριν) ἐν τοῖς καθ' ἡμᾶς χρόνοις λαμπρότατος ἀστὴρ τῆς ἀνατολικῆς ἐκκλησίας· προέστη δὲ θεαρέστως τῆς ἁγίας ἐκκλησίας τῆς ἐν Ἀλεξανδρείᾳ ὑπὲρ τὰ εἴκοσι ἔτη, ποιμαίνων θεοφιλῶς καὶ καταρτίζων πρὸς εὐσέβειαν, καὶ τρόπων χρηστότητα τῷ ἀποστολικῷ αὐτοῦ κηρύγματι, οὐ μόνον τὸ ἴδιον ποίμνιον, ἀλλὰ καὶ πάντα τὸν ἁπανταχοῦ τῆς ἀνατολικῆς ἐκκλησίας χριστεπώνυμον λαόν· ἀρυόμενος δὲ πολλὰ καὶ θαυμάσια ἀπὸ τῆς πλουσίας βιβλιοθήκης τῆς Ἀλεξανδρείας, προσεπιφέρων πολλὰ καὶ οἴκοθεν ἐκ τῶν ἀκηράτων πηγῶν τῆς ἐν αὐτῷ σοφίας, συνέγραψε διάφορα συγγράμματα, καὶ μάλιστα κρίσεις, καὶ ἀναπτύξεις εἰς τὴν ἱερὰν Γραφήν, πρὸς Ἰουδαίους, καὶ ἄλλα πάμπολλα· ἅτινα φυλάττονται, ὡς πολύτιμα κειμήλια, θεοῦ θέλοντος, καὶ τύπῳ παραδοθήσονται. Παρητήθη δὲ ὁ ἅγιος ἀνὴρ τοῦ θρόνου οἰκείᾳ θελήσει, καὶ ἀπῆλθεν εἰς τὸ ἅγιον ὄρος τοῦ Ἄθωνος, ἔνθα ζήσας χρόνον οὐ μακρόν, ἐν ἡσυχίᾳ καὶ γαλήνῃ ψυχῆς τὸν βίον κατέλυσε.

Διονύσιος Βυζάντιος, πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ εἰδήμων ἱκανῶς τῆς ἑλληνικῆς γλώσσης, τῶν ἱερῶν Γραφῶν, καὶ τῶν Πατέρων τῆς ἐκκλησίας ἔμπειρος, ὧν ἐν τῇ συνεχεῖ καὶ ἀδιακόπῳ μελέτῃ ἦν διάγων τὸν βιον, καὶ οἷς ἐκεῖθεν ἠρανίζετο ὀρθοῖς δόγμασι, καὶ πνευματικαῖς παραινέσεσι κατήρτιζε τὸ λογικὸν αὐτοῦ ποίμνιον πρὸς τὴν τῶν ὀρθῶν δογμάτων ἀκρίβειαν, καὶ χριστιανικὴν πολιτείαν.

Καλλίνικος ἐξ Ἀκαρνανίας, πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς φωνῆς, ἱκανὸς νοεῖν τάς τε τῶν λογογράφων, καὶ τὰς τῶν φιλοσόφων βίβλους, ἐνησχολεῖτο τῇ μελέτῃ καὶ ἀναγνώσει τῆς ἱερᾶς Γραφῆς, καὶ τῶν Πατέρων τῆς ἐκκλησίας· ἐκήρυττε τὸν λόγον τοῦ θεοῦ μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης πρὸς τὸ ἑαυτοῦ λογικὸν ποίμνιον.

Γαβριὴλ Σμυρναῖος, πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώττης, καὶ τῆς ἱερᾶς Γραφῆς ἔμπει-

ρος, θερμὸς ἐραστὴς τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τάξεως· ἐσπούδαζε τὰς θείας Γραφάς, καὶ τὰ τῶν ἁγίων Πατέρων τῆς ἐκκλησίας συγγράμματα, ἐξ ὧν ἀρυόμενος φιλοπόνως ψυχωφελεῖς διδασκαλίας, ἐδίδασκε μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης τὸν χριστώνυμον λαόν.

Ἀθανάσιος Κρής, πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς καὶ τῆς ἀραβικῆς γλώσσης, καὶ τῆς ἱερᾶς γραφῆς ἔμπειρος, ἱκανὸς κατανοεῖν τῶν τε λογογράφων καὶ φιλοσόφων τὰ συγγράμματα· ἐσχόλαζε περὶ τὴν ἀνάγνωσιν καὶ μελέτην τῆς ἱερᾶς Γραφῆς, καὶ ἐκήρυττε τὸν λόγον τοῦ θεοῦ μετὰ πολλοῦ ζήλου, καὶ χριστιανικῆς ἀγάπης.

Ἀλέξανδρος Μαυροκορδάτος Σκαρλάτος, τῶν ἐν Κωνσταντινουπόλει εὐγενῶν προέχων προγόνων λαμπρότητι, καὶ πολυτελεστάτῳ σοφίας κόσμῳ, τῇ τε παρὰ βασιλεῖ ἀξίᾳ τοῦ γενικοῦ ἑρμηνέως καὶ τοῦ ἐπὶ τῶν ἀπορρήτων, ἀνὴρ σοφώτατος, πολιτικώτατος, ἐς τὰ ἐνδόμυχα τῆς τε παλαιᾶς καὶ νέας φιλοσοφίας χωρήσας, καὶ ἐν παντὶ παιδείας εἴδει μέχρι θαύματος ἔξοχος καὶ περικλεής· καὶ πολλῶν ἀγαθῶν πρόξενος τῷ γένει τῶν Ἑλλήνων γενόμενος, συστησάμενος ἐν Κωνσταντινουπόλει καὶ φροντιστήριον, ἵνα μὴ τῇ προόδῳ τοῦ χρόνου ἡ ἑλληνικὴ παιδεία ἐξίτηλος γένηται, καὶ ἁδραῖς δαπάναις τοὺς φιλομαθεῖς τῶν νέων καταρτίσας ἐς τὴν περὶ τὰς ἐπιστήμας καὶ πᾶσαν ἰδέαν λόγου φιλοπονίαν. Συνεγράψατο πολλὰ καὶ παντοδαπά, ἐξ ὧν τὰ μὲν τύποις ἐκδεδομένα.

« Πνευματικὸν ὄργανον περὶ τῆς κυκλοφορίας τοῦ αἵματος, λατινιστί, πολύτιμον βιβλιδάριον καὶ πάνυ δυσεύρετον, καίτοι πολλάκις ἐν Ἰταλίᾳ, Βελγίῳ, καὶ ἐν Γερμανίᾳ τυπωθέν.

» Ἱερὰ ἱστορία, ἑλληνιστὶ ἐν Βουκουρεστίῳ τύποις ἐκδοθεῖσα κατὰ τὸ ͵αψις', ἧς ἐν ἀρχῇ καὶ ὁ ἐπιτάφιος λόγος ὁ συντεθεὶς παρὰ τοῦ λογιωτάτου κὺρ Ἰακώβου τετύπωται.

Τὰ δὲ τύποις οὔπω ἐκδοθέντα.

» Ἡ Ρωμαϊκὴ ἱστορία, τόμοι τρεῖς, τῳόντι πολυτελέστατον κειμήλιον.

» Φιλοσοφικὰ ὑπομνήματα.

» Ρητορικά.

» Ἐπιστολαί.

» Πολιτικαὶ ὑποθῆκαι.

» Ὁ πρὸς Γερμανοὺς ὑπὲρ εἰρήνης λόγος ».

Διὰ τεσσαράκοντα ἐτῶν ὑπουργήσας κατά τε καιρὸν εἰρήνης καὶ πολέμου τῷ Ὀθωμανικῷ κράτει, πλούτῳ περιρρεόμενος, καὶ ἀπλέτῳ κλέει φαιδρυνόμενος, ἐν λιπαρῷ γήρει ἔτει ἀπὸ Χριστοῦ ͵αψθʹ τὸν βίον κατέλυσε.

Θεόφιλος ὁ Κορυδαλλεύς, Ἀθηναῖος, ὁμιλητὴς τῶν ἐν Ἰταλίᾳ σοφῶν, εἰδήμων τῆς ἑλληνικῆς, καὶ λατινικῆς, καὶ ἰταλικῆς φωνῆς, Ἀριστοτελικῆς φιλοσοφίας ἐμπειρότατος· γέγονε μεγάλης ὠφελείας πρόξενος τῷ γένει τῶν ἑλλήνων, ἀναπτύξας εἰς ἑλληνικὴν διάλεκτον τὰ φιλοσοφικὰ ὑπομνήματα τοῦ Καίσαρος Κρεμονίνου, καὶ σχολάρχης τῆς ἐν Κωνσταντινουπόλει σχολῆς χρηματίσας. Συνέγραψε καὶ ῥητορικά, καὶ ἐπιστολικοὺς τύπους, οἳ τύποις ἐκδέδονται ἐν Λουγδούνῳ (1).

Γρηγόριος Χῖος, πρωτοσύγγελλος τῆς ἐν Κωνσταντινουπόλει μεγάλης ἐκκλησίας, ἔμπειρος τῆς ἑλληνικῆς γλώττης, καὶ τῆς ἱερᾶς γραφῆς· συνέγραψε συνταγμάτιον περὶ τῶν ἑπτὰ μυστηρίων.

Μελέτιος ὁ Συρίγου ἐκ νήσου Κρήτης, ἀνὴρ εὐσεβέστατος, ἅγιος καὶ ἀποστολικός, εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς γλώττης, καὶ τῆς ἔξω σοφίας, καὶ τῆς ἱερᾶς θεολογίας ἐς βάθος χωρήσας· συνέγραψε διάφορα ἐκκλησιαστικὰ συγγράμματα, ὧν ἔνια τύποις ἐκδέδοται· ἐν οἷς καίτοι γε δοκεῖ πνέειν ὅλως τὸν Βελαρμῖνον, οὐχ ἧττον μέντοι ζηλωτὴς ἦν διάπυρος

(1) γρ. Λονδίνῳ. Σ.

τῶν δογμάτων τῆς ἀνατολικῆς ἐκκλησίας, καὶ τῆς ὀρθοδόξου πίστεως τέκνον γνήσιον, ἀλλ' οὐκ ἀνδράποδον τῆς Ρωμαϊκῆς αὐλῆς.

Νεκτάριος Κρής, πατριάρχης Ἱεροσολύμων, ὁ συγγραψάμενος κατὰ τῆς ἀρχῆς τοῦ Πάπα, καὶ τὴν τῶν Αἰγυπτίων καὶ Σαρακηνῶν ἱστορίαν, βιβλίον περιεργώτατον, ἐν ᾧ ἐστιν ἰδεῖν τῷ βουλομένῳ ἀναγνῶναι λείψανα παλαιᾶς ἀρχαιολογίας, ἅπερ ἀνελέξατο ἐκ πολλῶν καὶ διαφόρων βίβλων, καὶ μάλιστα τῶν Ἀραβικῶν τῆς ἀξιολόγου βιβλιοθήκης τοῦ ἐν τῷ ὄρει τῷ Σινᾷ βασιλικοῦ μοναστηρίου, ἡνίκα διεῖπε τὸν ἐκεῖσε θρόνον.

Δοσίθεος Πελοποννήσιος πατριάρχης Ἱεροσολύμων· ἐκ τῶν διαφόρων βίβλων, αἵ δι' ἐπιμελείας αὐτοῦ ἐξεδόθησαν τύποις περὶ τῶν διαφορῶν τῆς ἀνατολικῆς καὶ δυτικῆς ἐκκλησίας, δῆλον γενήσεται ὁποῖος ἦν ὁ ἀνήρ· ἐν μὲν τῇ ἑλληνικῇ διαλέκτῳ λίαν ἦν ἐπιπόλαιος, καὶ ἄκρῳ δακτύλῳ ταύτης γεγευμένος, ὡς καὶ αὐτὸς παρρησίᾳ ὡμολόγει, τῆς δὲ λατινικῆς παντάπασιν ἄπειρος.

Ἀθανάσιος Πατελάριος, Κρής, πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ σοφός, εἰδήμων τῆς τε ἑλληνικῆς καὶ λατινικῆς γλώττης, κήρυξ καὶ διδάσκαλος τῶν θείων λογίων, φιλόσοφος, φιλολόγος, ποιητής· τῶν αὐτοῦ συγγραμμάτων οὐδὲν τύποις ἐκδέδοται.

Γερμανὸς Αἰτωλός, ἀκροατὴς Θεοφίλου τοῦ Κορυδαλλέως, ὁ καὶ μητροπολίτης Νύσσης χρηματίσας, ἀνὴρ σοφώτατος καὶ πολυμαθέστατος, ἐς βάθος πεπαιδευμένος τήν τε θύραθεν σοφίαν, καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεολογίαν, φιλόσοφος Ἀριστοτελικός, καὶ φιλολόγος· περιηγήσατο ἔρωτι παιδείας τὴν Βρεττανίαν, καὶ ἄλλα διάφορα μέρη τῆς Εὐρώπης, ἄκρος φίλος τοῦ περιφήμου Κομενίου. Εὐχῆς ἔργον ἂν εἴη τὸ πολλῶν τοιούτων ἀνδρῶν εὐμοιρῆσαι τὸ γένος τῶν Ἑλλήνων καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, οἵ γε ζήλῳ τῶν παλαιῶν ἀπόδημοι γένοιντο τῆς

ἐνεγκαμένης, καὶ πολλὰς τῶν ἀλλοδαπῶν περιηγήσαιντο, ζητοῦντες τὴν σοφίαν.

Μελέτιος ἱερομόναχος ὁ Μακρῆς, ἀνὴρ εἰδήμων τῶν ἱερῶν γραφῶν, καὶ κήρυξ τῆς εὐαγγελικῆς ἀληθείας.

Γεράσιμος ὁ Βλάχος, Κρής, μητροπολίτης Φιλαδελφείας, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς, καὶ λατινικῆς, καὶ ἰταλικῆς φωνῆς, οὗτινος σώζεται βιβλίον Ἁρμονία τῶν ὄντων, τύποις ἐκδεδομένον Ἐνετίῃσι, καὶ ἄλλα διάφορα συγγράμματα ἑλληνιστὶ καὶ λατινιστὶ συγγεγραμμένα.

Νικόλαος τοὐπίκλην Κεραμεύς, ἐξ Ἰωαννίνων, ἰατροφιλόσοφος, ἀκροατὴς τῶν ἐν Ἰταλίᾳ σοφῶν, ἀνὴρ εἰδήμων τῆς τε ἑλληνικῆς καὶ λατινικῆς φωνῆς, πεπαιδευμένος τήν τε θύραθεν σοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν· συνέγραψε πολλὰ καὶ διάφορα συγγράμματα, θεολογικὰ καὶ φιλοσοφικά, ἀλλ' ἄνευ τάξεως καὶ ἔμφρονος κρίσεως.

Ἰωάννης Κωττούνιος ἐκ τῆς κατὰ τὴν Μακεδονίαν Βερροίας, ἀκροατὴς τῶν ἐν Ἰταλίᾳ σοφῶν, ἀνὴρ σοφώτατος, πολυμαθέστατος ἰατρὸς καὶ θεολόγος, καὶ τῶν Ἀριστοτελικῶν φιλοσόφων οὐδενὸς δεύτερος, συνέγραψε λατινιστὶ φιλοσοφικὰ ὑπομνήματα εἰς τὰ πλείω τῶν Ἀριστοτέλους συγγραμμάτων, ἐπιγράμματα ἑλληνικὰ πρὸς διαφόρους, τύποις ἐκδεδομένα ἐν Παταβίῳ· ἐχρημάτισε καθηγητὴς τῆς φιλοσοφίας ἐν τῇ περιφήμῳ ἀκαδημίᾳ τοῦ Παταβίου, ἔνθα συνεστήσατο καὶ φροντιστήριον ἰδίαις δαπάναις πρὸς τὴν τῶν φιλομαθῶν Ἑλλήνων ἐπίδοσιν.

Διονύσιος Μητροπολίτης Ναυπλίου, ὁμιλητὴς Θεοφίλου τοῦ Κορυδαλλέως, ἱκανῶς πεπαιδευμένος τήν τε θύραθεν παιδείαν καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεολογίαν.

Ἰωάννης Καρυοφύλλης, Βυζάντιος, ὁ μέγας λογοθέτης τῆς ἐν Κωνσταντινουπόλει μεγάλης ἐκκλησίας, ἀνὴρ σοφὸς καὶ ἔμπειρος τῆν θείας γραφῆς, καὶ τῆς θύραθεν παιδεύσεως· διηρέθισε καθ' ἑαυτοῦ ἐν τῷ τέλει τῆς ζωῆς τὴν ἐν Κωνσταντι-

νουπόλει ἁγίαν ἐκκλησίον, ἐν ὑποψίᾳ γενόμενος εὐνοεῖν καὶ ὁμοφρονεῖν τοῖς καλβινισταῖς.

Θεοδώρητος μητροπολίτης Λακεδαιμονίας, ἁγιώτατος ἀνήρ, καὶ θεοσεβέστατος, πεπαιδευμένος τήν τε θύραθεν καὶ τὴν καθ' ἡμᾶς παιδείαν, ἱκανὸς ἐννοῆσαι τὰ βάθη τῆς θείας γραφῆς, καὶ τὰ θεόπνευστα τῶν πατέρων τῆς ἐκκλησίας συγγράμματα· ἐκήρυττε μετὰ ζήλου καὶ θερμῆς ἀγάπης τὸν λόγον τοῦ εὐαγγελίου.

Ἱλαρίων ὁ Τζιγάλας Κύπριος, ὁ χρηματίσας ἀρχιεπίσκοπος Κύπρου, ἀνὴρ θεολόγος, καὶ φιλόσοφος, καὶ ποιητής, ἀνιχνευτὴς τοῦ βάθους τῶν θείων γραφῶν, καὶ τῶν θύραθεν φιλοσόφων· συνέγραψεν ἑλληνιστὶ γραμματικὴν θεωρητικήν, καὶ ἄλλα διάφορα ἐκκλησιαστικὰ συγγράμματα, καὶ ποιητικὰ πάμπολλα ἐξαίρετα.

Κύριλλος πατριάρχης Ἀντιοχείας· ἀνὴρ ἁγιώτατος καὶ ἀποστολικός, τῆς ἑλληνικῆς καὶ ἀραβικῆς γλώσσης ἔμπειρος, ἀνιχνευτὴς τῆς ἱερᾶς γραφῆς, καὶ τῶν πατέρων τῆς ἐκκλησίας· ἐκήρυξε μετὰ ζήλου καὶ χριστιανικῆς ἀγάπης τὸν λόγον τοῦ εὐαγγελίου.

Βησσαρίων ἱερομόναχος ἐξ Ἰωαννίνων, ἀνὴρ εἰδήμων ἱκανῶς τῆς ἑλληνικῆς διαλέκτου, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν, ἀκροατὴς μὲν τῶν ἐν Κωνσταντινουπόλει καθηγητῶν, καθηγητὴς δὲ τῆς τῶν Ἰωαννίνων σχολῆς· συνέγραψε τὴν διεξοδικωτέραν ὀρθόδοξον ὁμολογίαν, καὶ γραμματικὴν κατ' ἐρώτησιν καὶ ἀπόκρισιν, λίαν ἐπωφελῆ τοῖς φιλολόγοις τῶν νέων· ἀμφότερα ταῦτα τύποις ἐκδέδονται, τὸ μὲν Ἑνετίῃσι, τὸ δὲ ἐν Βουκουρεστίῳ.

Παναγιώτης Βυζάντιος, ἑρμηνεὺς τῆς κραταιᾶς τῶν Ὀθωμανῶν βασιλείας ἀνὴρ ἐλλόγιμος, μαθηματικός, ἀστρονόμος, καὶ εἰδήμων τῆς τε ἑλληνικῆς καὶ λατινικῆς καὶ τῆς τῶν Ἀράβων φωνῆς, ὡς γίνεται δῆλον ἐκ τῆς πρὸς αὐτὸν ἐπιστο-

λῆς τοῦ περιφήμου Ἀθανασίου Κιρκέρου, καὶ τῆς ἀποκρίσεως περὶ τοῦ ἐν Κωνσταντινουπόλει ὀβελίσκου· γέγονε μεγάλης ὠφελείας πρόξενος τῷ γένει τῶν Ἑλλήνων κατὰ τὴν ἅλωσιν τῆς Κρήτης, διὰ τὴν πολλὴν αὐτοῦ παρρησίαν πρὸς τοὺς ἐν τέλει τῶν Ὀθωμανῶν.

Σεβαστὸς ὁ Κυμηνίτης Τραπεζούντιος, ἀνὴρ πεπαιδευμένος τὴν ἑλληνικὴν διάλεκτον, καὶ ἔμπειρος τῆς τε θύραθεν καὶ τῆς καθ' ἡμᾶς παιδείας, ἀλλὰ πτωχοῦ νοὸς, καὶ ἀγόνου· ἐσχολάρχησε πρῶτον ἐν Κωνσταντινουπόλει, εἶτα καὶ ἐν Βουκουρεστίῳ· συνέγραψε διάφορα συγγράμματα, ἀλλ' ἄνευ τάξεως καὶ ὀρθῆς διακρίσεως, ὧν ἔνια καὶ τύποις ἐκδέδονται.

Παΐσιος Λειγαρίδης, ὁ Χῖος, ἀνὴρ ἐλλόγιμος, σοφὸς καὶ πεπαιδευμένος κατὰ πᾶσαν ἰδέαν λόγου καὶ ἐπιστήμης, ἔμπειρος εἴπερ τις ἄλλος τῶν ἱερῶν γραφῶν· ἐχρημάτισε διδάσκαλος τῆς ἐν Γιασίοις τῆς Μολδαβίας σχολῆς· σώζονται διάφορα συγγράμματα αὐτοῦ, οὔπω τύποις ἐκδεδομένα.

Παλάσης Βυζάντιος ὁ μέγας σκευοφύλαξ τῆς ἐν Κωνσταντινουπόλει μεγάλης ἐκκλησίας, ἀνὴρ τά τε ἄλλα πεπαιδευμένος, καὶ τύπος τῆς ἐκκλησιαστικῆς παιδείας καὶ τάξεως ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως, ἁγνούστατος καὶ γλαφυρώτατος, φιλαλήθης, καὶ ἄλλαις πολλαῖς κεκοσμημένος ἀρεταῖς· συγγράμματα μὲν οὐ κατέλιπεν, ἐραστὴς ὢν τῆς σιωπῆς, ἀλλ' ἡ σιωπὴ αὐτοῦ προτιμητέα ἐστὶ πολλῶν συγγραμμάτων.

Στεφάκης Ἀθηναῖος ἱερομόναχος, ἀνὴρ πεπαιδευμένος ἱκανῶς τήν τε ἱερὰν θεολογίαν, καὶ τὴν θύραθεν φιλοσοφίαν· συνέγραψε διάφορα συγγραμμάτια, οἷς οὔπω ἐνετύχομεν.

Εὐγένιος ἱερομόναχος ἐξ Ἀκαρνανίας, ἀνὴρ εὐσεβείᾳ καὶ ἐναρέτῳ πολιτείᾳ ἐπίσημος, καὶ τῆς φιλοπατρίας ἔμψυχον ἄγαλμα, ὡς μαρτυρεῖ ἀφιλοπροσώπως ἐν τῷ βίῳ αὐτοῦ, ὃν συνέγραψεν ἄριστα ἑλληνιστὶ ὁ λογιώτατος Γόρδιος, καὶ μαθητὴς

αὐτοῦ· ἦν δὲ ὁ ἀνὴρ πεπαιδευμένος ἱκανῶς κατά τε τὴν θύραθεν φιλοσοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν.

Γεράσιμος ἱερομόναχος ἐξ Ἀκαρνανίας, ἀνὴρ ἱκανῶς εἰδήμων τῆς ἑλληνικῆς φωνῆς, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν· ἠκροάσατο πρῶτον Εὐγενίου ἐν τῇ ἰδίᾳ πατρίδι, εἶτα τῶν ἐν Κωνσταντινουπόλει καθηγητῶν, ἐν ᾗ καὶ καθηγητὴς τῆς σχολῆς ἐχρημάτισεν ὕστερον.

Χρύσανθος ἱερομόναχος Ἠπειρώτης, ἀκροατὴς ἔν τε τῇ θύραθεν, καὶ τῇ ἱερᾷ παιδεύσει τῶν καθηγητῶν τῆς τῶν Ἰωαννίνων σχολῆς· ἦν δὲ ἀνὴρ εἰδήμων καὶ πολυμαθής, κῆρυξ τοῦ εὐαγγελικοῦ λόγου, ἱκανὸς ἀπομάττεσθαι τὸν νοῦν τῶν θύραθεν φιλοσόφων, ῥητόρων, καὶ ποιητῶν, καὶ τῶν ἱερῶν γραφῶν τῆς ἐκκλησίας· ἐσχολάρχησε πρῶτον ἐν Μοσχοπόλει τῆς Μακεδονίας, εἶτα καὶ ἐν Ἄρτῃ.

Ἀντώνιος ὁ Κοραῆς, Χῖος, ἰατροφιλόσοφος, ἐδιδάχθη τὴν ἑλληνικὴν καὶ λατινικὴν φωνὴν ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ· περιηγήσατο τὴν Βρεττανίαν, τὴν Γαλλίαν, καὶ τὴν Ἰταλίαν. Συνέγραψεν ἑλληνιστὶ πινδαρικὰς ᾠδάς, καὶ τύποις ἐξέδωκεν, ἃς οὐκ ἄν τις ἀναγνώσειεν ἄνευ θαύματος, διά τε τὴν ἄλλην ἁρμονίαν καὶ ἐμμέλειαν τὴν ἐμφαινομένην αὐταῖς, οὐχ ἧττον δὲ καὶ διὰ τὸ κατηκριβωμένον τῆς πρὸς τὸν Πίνδαρον μιμήσεως.

Κλήμης Χῖος μητροπολίτης Ἰωαννίνων, εἰδήμων τῆς ἑλληνικῆς γλώττης, ἔμπειρος τῶν θείων γραφῶν, καὶ κῆρυξ τοῦ Εὐαγγελίου.

Μελέτιος μητροπολίτης Ἀθηνῶν ἐξ Ἰωαννίνων, ἀνὴρ σοφός, πολυμαθής, ῥήτωρ, ἀνιχνευτὴς τοῦ βάθους τῶν θείων γραφῶν, καὶ τῶν θύραθεν φιλοσόφων, ἱεροκῆρυξ περιβόητος, καὶ τῶν τῆς ἰατρικῆς θεωρημάτων ἱκανῶς ἔμπειρος, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς διαλέκτου· ἠκροάσατο πρῶτον τῶν καθηγητῶν τῆς τῶν Ἰωαννίνων σχολῆς, εἶτα συχνὸν ὡμίλησε χρόνον καὶ τοῖς ἐν Ἰταλίᾳ σοφοῖς· συνέγραψε βιβλίον

περὶ ἐκκλησιαστικῆς ἱστορίας, καὶ ἕτερον περὶ Γεωγραφίας, ἐν ᾧ ὑπερτερεῖ πολλῶν γεωγράφων ἐν τῇ περιγραφῇ τῆς Πελοποννήσου, καὶ τῆς ἄλλης Ἑλλάδος, ὡς περίεργος περιηγητής, καὶ αὐτόπτης πάσης γενόμενος.

Κωνσταντῖνος Καντακουζηνὸς Σόλνικος, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς καὶ ἰταλικῆς γλώσσης, ἱκανῶς ἐννοῆσαι τὰ συγγράμματα καὶ τῶν θύραθεν φιλοσόφων καὶ τῶν ἱερῶν πατέρων καὶ θεολόγων τῆς ἐκκλησίας· περιηγήσατο σχεδὸν πᾶσαν τὴν Εὐρώπην.

Κωνσταντῖνος Ἰουλιανὸς Βυζάντιος, ἐξ εὐγενῶν προγόνων καταγόμενος, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, ἱκανῶς νοῆσαι τὰ συγγράμματα καὶ τῶν θύραθεν φιλοσόφων καὶ τῶν πατέρων τῆς ἐκκλησίας.

Ἰωάννης Πορφυρίτης Βυζάντιος, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν καὶ καθ' ἡμᾶς παιδείαν, ἱκανὸς κατανοῆσαι τὰ ἱερὰ συγγράμματα τῶν πατέρων τῆς ἐκκλησίας, καὶ τῶν θύραθεν φιλοσόφων.

Ἱερόθεος Βυζάντιος ὁ Κομνηνός, μητροπολίτης Δρύστρας, ἀνὴρ θεοσεβής, κόσμιος τὰ ἤθη καὶ πολλαῖς ἀρεταῖς βίῳ πρεπούσαις χριστιανικῷ κεκοσμημένος, ἐλλόγιμος, πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς, ἰταλικῆς, καὶ ἑβραϊκῆς, καὶ ἀραβικῆς φωνῆς, καὶ κατὰ πᾶσαν ἰδέαν λόγου καὶ ἐπιστήμης τῆς τε θύραθεν καὶ τῆς καθ' ἡμᾶς πεπαιδευμένος· γέγονεν ἀκροατὴς τῶν καθηγητῶν τῆς ἐν Κωνσταντινουπόλει σχολῆς, συνδιέτριψε δὲ ἱκανὸν χρόνον καὶ τοῖς ἐν Ἰταλίᾳ σοφοῖς, καὶ σχεδὸν ἅπασαν τὴν Εὐρώπην περιηγήσατο· συνέγραψεν ἁπλῇ διαλέκτῳ ἱστορίαν τοῦ ἁγίου Ὄρους τοῦ ἐν τῷ Ἄθωνι, ἣ καὶ τύποις ἐκδέδοται· τὸν βίον μετήλλαξε ᾳψιθ'. ἐν Βουκουρεστίῳ.

Γεννάδιος μητροπολίτης Ἡρακλείας, ἀνὴρ θεοσεβής, σεμνὸς καὶ χριστιανικῇ πολιτείᾳ ἐμπρέψας, εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, καὶ τῶν θείων γραφῶν ἔμπειρος.

Ἀνδρόνικος Βυζάντιος, μέγας χαρτοφύλαξ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας, ἐκ προγόνων εὐγενῶν καταγόμενος, εἰδήμων τῆς ἑλληνικῆς γλώττης· ἐνησχολεῖτο πρὸ πάντων ἐν τῇ ἐκκλησιαστικῇ παιδείᾳ, καθ' ἣν καὶ πλεῖστον ἐπέδωκε.

Μάρκος Κύπριος, διδάσκαλος τῆς ἐν Βουκουρεστίῳ σχολῆς, ἀνὴρ ἱκανῶς εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, πεπαιδευμένος τήν τε θύραθεν καὶ τὴν καθ' ἡμᾶς παιδείαν.

Ἀντώνιος Βυζάντιος, διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει σχολῆς, ἀνὴρ ἐλλόγιμος, φιλόπονος, φιλομαθής, δαήμων τῆς ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεολογίαν· πολλῆς ἂν εἴη ὠφελείας πρόξενος τοῖς φιλολόγοις τῶν νέων τῇ προόδῳ τοῦ χρόνου, εἰ μή γε κομιδῇ νέος ἐξ ἀνθρώπων ἐγένετο.

Χουρμούζιος Βυζάντιος, αὐτάδελφος τοῦ Ἀντωνίου, καὶ κατ' οὐδὲν ἐκείνου ἀρετῇ καὶ παιδείᾳ ἀπολειπόμενος· ἀπέπλευσε δὲ οὗτος καὶ εἰς Ἰταλίαν, καὶ τῶν ἐν Παταβίῳ σοφῶν πρὸς καιρὸν ἠκροάσατο, ἐχρημάτισε καὶ διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει σχολῆς· καὶ εἴη ἂν οὐκ ἐλάττονος ὠφελείας πρόξενος τοῖς ἀκροαταῖς εἴγε μὴ ἀώρῳ θανάτῳ ἀπετμήθη τοῦ βίου.

Διονύσιος Μάντουκας μητροπολίτης Καστορίας, οὗ πατρὶς ἡ κατὰ τὴν Μακεδονίαν Μοσχόπολις, ἀνὴρ εἰδήμων τῆς τε ἑλληνικῆς καὶ τῆς λατινικῆς γλώσσης, καὶ πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν, καὶ κῆρυξ τοῦ εὐαγγελικοῦ λόγου· ἀκροατὴς ἐγένετο τῶν ἐν Ἰταλίᾳ διδασκάλων.

Ἱερεμίας Κακαβέλλας ὁ Κρής, ἀνὴρ εἰδήμων τῆς τε ἑλληνικῆς, καὶ λατινικῆς, καὶ ἑβραϊκῆς, καὶ ἰταλικῆς διαλέκτου, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ μάλιστα τὴν ἱερὰν θεολογίαν, κῆρυξ τοῦ εὐαγγελικοῦ λόγου δοκιμώτατος·

μετήνεγκε τὸν Πλάτινα ἐκ τῆς λατινικῆς εἰς τὴν ἁπλῆν τῶν ἑλλήνων διάλεκτον, ὃς περιγράφει τοὺς βίους τῶν ἀρχιερέων τῆς πρεσβυτέρας Ῥώμης.

Ἡλίας Μηνιάτης, ἐκ νήσου Κεφαλληνίας, ἀκροατὴς τῶν ἐν Ἰταλίᾳ διδασκάλων, ἀνὴρ σοφὸς καὶ πολυμαθὴς, δαήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς γλώσσης, πεπαιδευμένος οὐδενὸς τῶν κατ' αὐτὸν ἔλαττον τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν· πρὸ δὲ πάντων εὐδοκίμησεν ἐν τῇ ῥητορικῇ, εὐρροίᾳ τοῦ λόγου καὶ φυσικῇ εὐγλωττίᾳ κοσμούμενος· καὶ μαρτυροῦσι τῷ λόγῳ αἱ τύπῳ δοθεῖσαι Ἑνετίῃσιν ἐκκλησιαστικαὶ αὐτοῦ ὁμιλίαι, ἁπλῇ διαλέκτῳ συγγεγραμμέναι· ἐχρημάτισεν ἐπίσκοπος Κερνίκης τῆς κατὰ τὴν Πελοπόννησον.

Καισάριος ἱερομόναχος Πελοποννήσιος, πρωτοσύγκελλος τῆς μεγάλης ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει, ἀνὴρ πολυμαθὴς, θεολογος, φιλόσοφος, καὶ μαθηματικὸς, εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, καὶ ἐν ταῖς ἱεραῖς γραφαῖς, καὶ ταῖς ἐκκλησιαστικαῖς ἀκολουθίαις καὶ τάξεσι πολλὴν ἐσχηκὼς ἐμπειρίαν.

Ἀβράμιος ἱερεὺς Κρής, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς, καὶ ἰταλικῆς διαλέκτου, ἔμπειρος καὶ τῆς θύραθεν φιλοσοφίας, καὶ τῆς ἱερᾶς θεολογίας, κῆρυξ τοῦ εὐαγγελικοῦ λόγου· γέγονεν ἀκροατὴς τῶν ἐν Ἰταλίᾳ διδασκάλων.

Μελέτιος Τυπάλδος ἐκ νήσου Κεφαλληνίας, μητροπολίτης Φιλαδελφείας· ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς, καὶ λατινικῆς, καὶ ἰταλικῆς διαλέκτου· εὐδοκίμησεν ἐν τῇ ῥητορικῇ διὰ τὴν φυσικὴν εὐγλωττίαν καὶ ἡδυέπειαν.

Νικόλαος Καλλιάκης Κρής, ὁμιλητὴς τῶν ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ σοφῶν, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς, καὶ ἰταλικῆς διαλέκτου· ἐχρημάτισε δὲ καὶ καθηγητὴς τῶν ἐν ῥητορικῇ μαθημάτων ἐν τῇ περιφήμῳ ἀκαδημίᾳ τοῦ Παταβίου, ἐξαίσιος ἔν τε τῇ φιλοσοφίᾳ καὶ μάλιστα τῇ φιλολογίᾳ.

Ἰωάννης Πατούσας ἱερεὺς Ἀθηναῖος, ὁμιλητὴς τῶν ἐν Ἰ-

ταλίᾳ σοφῶν, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς, καὶ ἰταλικῆς φωνῆς, πεπαιδευμένος τήν τε θύραθεν, καὶ τὴν καθ' ἡμᾶς παιδείαν· ἐχρημάτισε διδάσκαλος τοῦ Φλαγγινιανοῦ φροντιστηρίου Ἑνετίῃσι.

Νικόλαος ἐκ Μολδαβίας πρωτοσπαθάριος τῆς ἐν Μολδαβίᾳ ἡγεμονίας· ἀνὴρ σοφός, πολυμαθής, ἐν φιλοσοφίᾳ καὶ μαθηματικῇ, καὶ ἀστρονομίᾳ ἐπίσημος, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰλλυρικῆς διαλέκτου· μετήνεγκε τὴν θείαν γραφὴν ἐκ τῆς ἑλληνικῆς εἰς τὴν ἐγχώριον φωνὴν τῶν Δακῶν καὶ τῶν Οὐγγροβλάχων, ἣν ἀναγινώσκεσθαι ἐν ταῖς ἁπανταχοῦ ἐκκλησίαις αὐτῶν ἔθος ἐπικεκράτηκε· ἠξίωται πολλῆς τιμῆς καὶ ἀποδοχῆς παρὰ τῶν Μόσχων, καὶ τῇ τε ἀξίᾳ τοῦ ἑρμηνέως τετίμηται, καὶ πρεσβείαν ἐστάλη παρ' αὐτῶν εἰς τὴν Σινικὴν βασιλείαν.

Γεώργιος Μαϊώτης Κρής, ἱερεύς, τρόφιμος τοῦ ἐν Ῥώμῃ φροντιστηρίου τῶν Ἑλλήνων, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς, καὶ ἰταλικῆς φωνῆς, πεπαιδευμένος τήν τε θύραθεν καὶ τὴν καθ' ἡμᾶς παιδείαν, καὶ κῆρυξ τοῦ εὐαγγελικοῦ λόγου.

Ἰωάννης Θαλασσινὸς Πελοποννήσιος, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, ἔμπειρος τῆς θείας γραφῆς.

Ἀπαρίθμησις τῶν νῦν ἀνθούντων ἐν τῇ Ἑλλάδι.

Ἱερεμίας πατριάρχης Κωνσταντινουπόλεως ἐκ νήσου Πάτμου, εὐσεβείᾳ καὶ τρόπων χρηστότητι σεμνυνόμενος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, καὶ τῆς ἐκκλησιαστικῆς παιδείας, ἀκολουθίας καὶ τάξεως ἔμπειρος, ἱκανὸς ἀνιχνεῦσαι τὸν νοῦν τῆς θείας γραφῆς, καὶ τῶν θεοπνεύστων συγγραμμάτων τῶν ἁγίων πατέρων τῆς ἐκκλησίας, ἅ γε οὐ διαλείπει μελετῶν ἀόκνως καὶ φιλοπόνως νύκτωρ καὶ καθ' ἡμέραν, αἷς ἐκεῖθεν ἐρανίζεται διδασκαλίαις καὶ πνευματικαῖς ὑποθήκαις καταρτίζων τὸ χρι-

στώνυμον πλήρωμα πρὸς εὐσέβειαν, καὶ βίον ἄμεμπτον καὶ θεάρεστον. Τούτου τὸν ἐν Κωνσταντινουπόλει ἀποστολικὸν καὶ οἰκουμενικὸν θρόνον διέποντος, ἀνεκαινίσθη ὁ περικαλλὴς πατριαρχικὸς ναὸς ἔτει σωτηρίῳ ͵αψκ΄. οὐ μόνον ταῖς ἔξωθεν ἐπιχορηγηθείσαις παρά τε τῶν ἀρχιερέων, καὶ τῶν λοιπῶν εὐσεβῶν, ἀλλὰ καὶ ταῖς ἰδίαις αὐτοῦ μεγαλοπρεπέσι δαπάναις, συναινέσαντος φιλανθρώπως τοῦ κραταιοτάτου αὐτοκράτορος τῶν Ὀθωμανῶν· ἔργον πολλοῖς μὲν τῶν πρὸ αὐτοῦ πατριαρχευσάντων ἐσπουδασμένον, παρ' οὐδενὸς δὲ εἰς ἔκβασιν ἀχθῆναι δυνάμενον.

Κύριλλος Λέσβιος πρῴην πατριάρχης Κωνσταντινουπολεως, ἀνὴρ εὐσεβείᾳ καὶ βίῳ θεαρέστῳ κεκοσμημένος· ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς παιδείας, τῆς τε ἱερᾶς γραφῆς καὶ τῶν πατέρων τῆς ἐκκλησίας ἔμπειρος, διῴκησε τὸν ἀποστολικὸν καὶ οἰκουμενικὸν θρόνον ὁσίως καὶ θεαρέστως.

Κοσμᾶς Χαλκηδόνιος, πρῴην πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ εὐσεβείᾳ καὶ θεαρέστῳ πολιτείᾳ κοσμούμενος· ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν παιδείαν, καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεολογίαν, ἱκανὸς ἀνιχνεῦσαι τὸν νοῦν τῶν φιλοσοφικῶν καὶ θεολογικῶν συγγραμμάτων· διῴκησε τὸν οἰκουμενικὸν καὶ ἀποστολικὸν θρόνον ὁσίως καὶ θεαρέστως· τόγε νῦν ἔχον τὸν βίον διάγει ἐν τῷ ἁγίῳ ὄρει τοῦ Σινᾶ ἐκτὸς τῶν τοῦ βίου θορύβων, τὴν μελέτην τῶν θείων γραφῶν τροφὴν ἡδίστην ἡγούμενος, ἐξ ὧν ἐρανίζεται ἐκ τῆς πλουσίας βιβλιοθήκης τοῦ ἐκεῖσε βασιλικοῦ μοναστηρίου, καὶ συγγράμματα ἐκκλησιαστικὰ ἐς φῶς προαγαγεῖν ἐλπίδας ἡμῖν ὑποφαίνει ὁ ἐλλόγιμος καὶ αἰδέσιμος οὗτος πρέσβυς.

Σαμουὴλ πατριάρχης Ἀλεξανδρείας Χῖος, ἀνὴρ εὐσεβείᾳ καὶ θεαρέστῳ πολιτείᾳ ἐξ ἁπαλῶν ὀνύχων ἀνατεθραμμένος, ἐλλόγιμος καὶ πολυμαθής, ἱεροκῆρυξ, πεπαιδευμένος τήν τε θύ-

ραθεν, καὶ ἱερὰν παιδείαν, ἱκανὸς ἀνιχνεῦσαι τὸ βάθος τῶν ἱερῶν γραφῶν, ἃς καὶ φιλοπόνως νύκτωρ καὶ μεθημέραν μελετῶν οὐ διαλείπει, αἷς ἐκεῖθεν ἐρανίζεται πνευματικαῖς εἰσηγήσεσι καταρτίζων τὸν χριστώνυμον λαὸν πρὸς εὐσέβειαν καὶ βίον ὅσιον καὶ θεάρεστον· ὑπερεῖχε μέντοιγε σοφίᾳ καὶ πολυμαθείᾳ ἀσυγκρίτως ὁ πρὸ αὐτοῦ πατριάρχης Ἀλεξανδρείας κύριος Γεράσιμος.

Ἀθανάσιος Ἀντιοχεὺς, πατριάρχης Ἀντιοχείας, ἀνὴρ εὐσεβείᾳ καὶ τρόπων χρηστότητι σεμνυνόμενος, εἰδήμων τῆς ἑλληνικῆς καὶ ἀραβικῆς γλώσσης, ἔμπειρος τῶν ἱερῶν γραφῶν, λόγῳ καὶ βίῳ πρὸς ἀρετὴν ἀνάγων διηνεκῶς τὸν ὑπ' αὐτῷ τελοῦντα χριστώνυμον λαόν.

Χρύσανθος Νοταρᾶς πατριάρχης Ἱεροσολύμων, Πελοποννήσιος, ἀνεψιὸς τοῦ πρὸ αὐτοῦ πατριάρχου κυρίου Δοσιθέου, ἀλλ' οὐκ ὀλίγον ἐκείνου παιδείᾳ τε καὶ πολυμαθείᾳ προέχων· ἔστι γὰρ εἰδήμων ὁπωσοῦν τῆς ἑλληνικῆς καὶ λατινικῆς γλώσσης, θεολογίας τε καὶ μαθηματικῆς, ἱεροκῆρυξ, ἔμπειρος τῆς θείας γραφῆς, καὶ τῶν πατέρων τῆς ἐκκλησίας, ὧν τὰς θεοπνεύστους συγγραφὰς οὐ διαλείπει ἀνελίττων φιλοπόνως, καὶ ἅπερ ἐκεῖθεν ἐρανίζεται, κηρύττων καὶ μετὰ ζήλου διδάσκων τοὺς χριστιανοὺς ἐπὶ πνευματικῇ ὠφελείᾳ· ἀκροατὴς γέγονε πρῶτον τῶν ἐν Κωνσταντινουπόλει, εἶτα καὶ τῶν ἐν Ἰταλίᾳ καθηγητῶν· περιηγήσατο γὰρ πᾶσαν σχεδὸν τὴν Εὐρώπην. Πρὸς τοῖς ἄλλοις καὶ κατὰ τοῦτο εὐτυχής, ὅτι πατριαρχεύοντος αὐτοῦ ἀνεκαινίσθη κατὰ τὸ παρελθὸν ἔτος ὁ ἐν Ἱερουσαλὴμ ἱερὸς ναός, καὶ τὸ τοῦ ἁγίου Τάφου κουβούκλιον, συναινέσει τοῦ κραταιοτάτου βασιλέως τῶν Ὀθωμανῶν. Συνεγράψατο βιβλίον εἰσαγωγικὸν εἰς τὴν Γεωγραφίαν, καὶ βιβλίον τὸ περὶ τῶν ἐκκλησιαστικῶν ὀφφικίων τῆς ἀνατολικῆς ἐκκλησίας ἐπιγραφόμενον, ἀμφότερα τῇ κοινῶς ἐπιχωριαζούσῃ Γραικῶν διαλέκτῳ, ἀλλ' οὐχὶ τῇ παλαιᾷ ἑλλήνων γλώσσῃ· καὶ τὸ μὲν γεωγραφικὸν τύ-

ποις ἐκδέδοται ἐν Παρισίοις, τὸ δὲ ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας.

Ἰωάννης Νικόλαος υἱὸς Ἀλεξάνδρου τοῦ Μαυροκορδάτου, ὑψηλότατος πρίντζεπς πάσης Οὐγγροβλαχίας, ἀνὴρ σοφός, μεγαλοφυής, τὸν νοῦν γονιμώτατος, καὶ ἐμβαθύνων εἰς τὰ ἐνδότερα τῆς φιλοσοφίας, μιμητὴς εἰς ἰδέαν λόγου τῶν παλαιῶν, καὶ μάλιστα Πλάτωνος ἐραστής, ἀλλ' ἀνιχνευτὴς καὶ τῶν νεωτέρων καὶ ἐπαινέτης, ἀδεκάστῳ νοΐ καὶ ἄνευ προλήψεως ὁμιλῶν ταῖς ἐξαιρέτοις αὐτῶν βίβλοις, καὶ ἐκ τῆς διηνεκοῦς ἀναγνώσεως, καὶ βαθυτέρας μελέτης, πολλ' ἄττα ἐπικρίνων, νοῆσαί τε γὰρ τὰ καίρια ἐπηβολώτατος, καὶ ἀπαγγεῖλαι τὰ νοούμενα γλαφυρώτατος, σοφίας δ' οὐ μόνον τῆς θύραθεν, ἀλλὰ καὶ τῆς ἱερᾶς δαημονέστατος· καὶ οὐ μόνον τὴν ἑλληνικὴν φωνήν, ἀλλὰ καὶ τῶν κατ' Εὐρώπην ἐπιχωριαζουσῶν τὰς ἐξαιρέτους, λατινικήν, γαλλικήν, ἰταλικὴν ἐπιτοσοῦτον ἐξέμαθεν, ὥστε εἴ τις ἀκούσειε τοῦ ἀνδρὸς λατινιστὶ διαλεγομένου, φαίη ἂν τῆς αὐτῆς λαχεῖν πατρίδος τῷ Κικέρωνι, καὶ τοῖς κατὰ χρυσοῦν αἰῶνα ἀνθήσασι· προσέτι τῆς τῶν Ἀράβων καὶ Περσῶν γλώσσης εἰδήμων μέχρι θαύματος, ὥστε μυρίων ἐπαίνων ἠξιῶσθαι τοῖς ἐλλογίμοις τῶν Ὀθωμανῶν· οὐ διαλείπει δὲ περιθάλπων πατρικῶς, καὶ μεγαλοπρεπῶς εὐεργετῶν τῶν νέων τοὺς παιδείας ἀντιποιουμένους, καὶ τὸ πρὸς ἐπίδοσιν φιλότιμον αὐτῶν παντοδαποῖς ἐναύσμασι ἀναφλέγων, θεῖον ἔργον ἡγούμενος τὸ πλείονας τῶν ὁμοφύλων ἀνάγειν πρὸς τὴν δυνατὴν μίμησιν τῶν θεσπεσίων ἀρετῶν, αἷς καταγλαΐζεται περιφανῶς ἡ αὐτοῦ ὑψηλότης. Δεῖγμα δὲ λαμπρὸν τῆς τε σοφίας, καὶ τῶν ἀκηράτων αὐτοῦ ἀρετῶν ἡ περὶ τῶν Καθηκόντων συγγραφεῖσα βίβλος, ἐξ ἧς ὁστισοῦν νοὸς καὶ κρίσεως ὀρθῆς εὖ ἥκων γνώσεται, ὡς ἐξ ὄνυχος τὸν λέοντα κατὰ τὴν παροιμίαν· συνεγράψατο δὲ καὶ ἄλλα πολλά, οὐμενοῦν πολύφυλλα, ἀλλ' ἐμβριθείᾳ καὶ βραχύτητι, διατρανοῦντα τὸ πολυμαθὲς καὶ κατηκριβωμένον τοῦ

ἀνδρὸς ἐν παντὶ παιδείας εἴδει, καὶ μάλιστα ἐν τῇ παραλλήλῳ ἀναθεωρήσει ἱερᾶς τε καὶ ἀορίστου ἀρχαιολογίας.

Κάρωλος ὁ πρωτότοκος υἱὸς τῆς αὐτοῦ ὑψηλότητος, ἀξιάγαστος μιμητὴς τῶν προγονικῶν ἀρετῶν, καὶ ἐν νεαρᾷ τῇ ἡλικίᾳ παντοδαπῇ μαθήσει κοσμούμενος, ὃς νύκτωρ τε καὶ μεθ' ἡμέραν προσκείμενος τοῖς ἐξαιρέτοις τῶν βιβλίων, πολύχουν ἀπομάττεται παιδείας θησαυρόν· «Ἁμέραι δ' ἐπίλοιποι μάρτυρες σοφώτατοι», φησὶν ὁ Πίνδαρος.

Καλλίνικος ἐκ νήσου Νάξου μιᾶς τῶν Κυκλάδων, μητροπολίτης Ἡρακλείας, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ τὴν ἱερὰν θεολογίαν, οὐ διαλείπει μελετῶν φιλοπόνως τὰς βίβλους τῶν ἁγίων πατέρων τῆς ἐκκλησίας, καὶ κηρύττων ἀποστολικῶς τὸν εὐαγγελικὸν λόγον· ἐσχολάρχησεν οὗτος ἐν Κωνσταντινουπόλει, πρὶν εἰς τὸ ἀρχιερατικὸν προβιβασθῆναι ἀξίωμα.

Ἀθανάσιος ἐξ Ἀδριανουπόλεως, μητροπολίτης Ἀδριανουπόλεως, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, καὶ τῆς ἐκκλησιαστικῆς παιδείας, ἀκολουθίας, καὶ τάξεως ἔμπειρος· σπουδάζει καὶ μελετᾷ μετὰ φιλοπονίας πολλῆς τὰς θείας καὶ ἱερὰς γραφάς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.

Διονύσιος Λέσβιος, μητροπολίτης Ἀμασείας, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, καὶ τῆς ἐκκλησιαστικῆς παιδείας, ἀκολουθίας, καὶ τάξεως ἔμπειρος· σπουδάζει καὶ μελετᾷ μετὰ φιλοπονίας πολλῆς τὰς θείας καὶ ἱερὰς γραφάς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.

Ἰγνάτιος Λέσβιος, ὁ μητροπολίτης Ρόδου, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, καὶ τῆς ἐκκλησιαστικῆς παιδείας, ἀκολουθίας, καὶ τάξεως ἔμπειρος· σπουδάζει καὶ μελετᾷ μετὰ πολ-

λῆς φιλοπονίας τὰς θείας καὶ ἱερὰς γραφὰς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.

Σεραφεὶμ ἐξ Ἀκαρνανίας, μητροπολίτης Δρύστρας, εἰδήμων τῆς ἑλληνικῆς γλώττης, ἔμπειρος τῆς τε θύραθεν παιδείας καὶ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τάξεως· σπουδάζει καὶ μελετᾷ μετὰ πολλῆς φιλοπονίας τὰς θείας ἱερὰς γραφὰς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.

Γρηγόριος ὁ Σωτήρης Ἀθηναῖος, μητροπολίτης Γάνου καὶ Χώρας, ἀνὴρ εἰδήμων τῆς τε ἑλληνικῆς, λατινικῆς, καὶ ἰταλικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν καὶ τὴν καθ' ἡμᾶς παιδείαν, σπουδάζει καὶ μελετᾷ φιλοπόνως τὰς θείας καὶ ἱερὰς γραφάς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ θερμῆς ἀγάπης.

Νεόφυτος ἱερομόναχος Νοταρᾶς Πελοποννήσιος, ἐπίτροπος τοῦ ἁγίου τάφου, καὶ ἀδελφὸς τοῦ μακαριωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Χρυσάνθου· ἀνὴρ εὐσεβείᾳ καὶ τρόπων χρηστότητι φαιδρυνόμενος, ἐλλόγιμος καὶ φιλομαθὴς, φιλόσοφος, θεολόγος καὶ μαθηματικός, ἔμπειρος τῆς θείας γραφῆς· μελετᾷ καὶ ἀναγινώσκει τὰς ἱερὰς βίβλους τῶν πατέρων τῆς ἐκκλησίας.

Δημήτριος Ἰουλιανὸς Βυζάντιος ἐξ εὐγενῶν προγόνων καταγόμενος, μέγας λογοθέτης τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς γλώσσης.

Σπαντωνῆς Βυζάντιος, μέγας χαρτοφύλαξ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεολογίαν, ἔμπειρος τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τάξεως· ἐχρημάτισε καὶ διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει σχολῆς.

Ἰάκωβος Μάνας Ἀργεῖος, ὕπατος τῶν φιλοσόφων τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας, ἀνὴρ σοφὸς καὶ πολυμαμαθὴς, πράξει καὶ θεωρίᾳ κοσμούμενος, δαημονέστατος τῆς ἑλληνικῆς διαλέκτου, καὶ μιμητὴς εἰς ἰδέαν λόγου τῶν ἐξαιρέτων παλαιῶν Ἑλλήνων· φιλόσοφος περιπατητικὸς καὶ τῶν τοῦ Ἀριστοτέλους δογμάτων καθηγητὴς ἄριστος, καὶ ὑπερασπιστὴς ἀνένδοτος· ἔτι δὲ καὶ τοῦ βάθους τῆς θείας γραφῆς, καὶ τῆς ἱερᾶς θεολογίας ἀνιχνευτὴς ἐμπειρότατος, μετὰ πολλῆς ἀκριβείας, εὐσεβοῦς τε καὶ ὀρθοδόξου κρίσεως καὶ φρονήσεως μελετῶν ἰδίᾳ, καὶ ἀναπτύσσων παρρησίᾳ τοῖς αὐτοῦ ὁμιληταῖς τὰ θεολογικὰ μαθήματα, ἀπώνατο λίαν κατὰ τὴν τῆς παιδείας ἐπίδοσιν, ἐκ τῆς χρονίου συνδιατριβῆς καὶ συνομιλίας τοῦ μακαρίτου αὐθέντου κυρίου Ἀλεξάνδρου τοῦ Μαυροκορδάτου, (ἅτε πελάτης ὢν τοῦ περιφήμου ἐκείνου οἴκου καὶ παιδαγωγὸς τῶν λαμπροτάτων παίδων αὐτοῦ) καὶ πολλὰ ἐκ τῆς πολυχεύμονος ἐκείνης πηγῆς ἠρύσατο σοφίας νάματα, ὡς πολλάκις αὐτοῦ ἀκηκοαμεν ζώσῃ φωνῇ μαρτυροῦντος, ὅσοι γεγόναμεν ἀκροαταὶ αὐτοῦ· καὶ ἐν τῷ ἐπιταφίῳ δὲ εἰς τὸν μακαρίτην λόγῳ, ταὐτὰ ταῦτα ὁμολογεῖ, ἔπαινον ἑαυτῷ καὶ κλέος ἐντεῦθεν οὐ τὸ τυχὸν ἡγούμενος περιποιεῖσθαι· ἐσχολάρχησε τῆς ἐν Κωνσταντινουπόλει σχολῆς, μετὰ προθυμίας ἀόκνου, καὶ φιλοπονίας ἀτρύτου ἀναπτύσσων τοῖς αὐτοῦ ὁμιληταῖς τὰ ἀκροαματικὰ τοῦ Ἀριστοτέλους, καὶ τὰ θεολογικά.

Νικόλαος Κομνηνὸς ὁ Παπαδόπουλος ἐκ νήσου Κρήτης, ἱερεὺς, ἀνὴρ σοφώτατος καὶ φιλομαθέστατος, φιλόσοφος, ῥήτωρ καὶ νομικὸς καὶ θεολόγος, τῆς τε ἑλληνικῆς καὶ λατινικῆς καὶ ἰταλικῆς διαλέκτου ἔμπειρος, οὐχ ἧττον δὲ καὶ τῆς ἐκκλησιαστικῆς ἱστορίας· ἐπέχει τὴν πρώτην καθέδραν τῶν καθηγητῶν τῆς περιφήμου ἐν Παταβίῳ ἀκαδημίας τῶν διδασκόντων τοὺς ἐκκλησιαστικοὺς νόμους· εἰ δὲ μὴ ἐκεῖ τὰς διατριβὰς ποιεῖσθαι ἐκεκλήρωτο ὁ ἀνήρ, πολλῆς ἂν εἴη ὠφελείας πρόξενος τῷ γέ-

νει τῶν Ἑλλήνων· τὰ τύποις αὐτοῦ ἐκδεδομένα συγγράμματα τοῖς πεπαιδευμένοις εἰσὶ γνωστά, καὶ οὐδενὸς λόγου δεόμενα.

Δημήτριος Νοταρᾶς Πελοποννήσιος, ἀρχιατρὸς τοῦ ὑψηλοτάτου ἡγεμόνος πάσης Οὐγγροβλαχίας, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς φωνῆς, πεπαιδευμένος τήν τε θύραθεν παιδείαν καὶ τὴν καθ' ἡμᾶς ἱεράν· ἀκροατὴς γέγονε πρῶτον τῶν ἐν Ῥώμῃ εἶτα καὶ τῶν ἐν Παταβίῳ σοφῶν.

Γεώργιος Σουγδουρῆς ἱερεὺς ἐξ Ἰωαννίνων, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς γλώσσης, τῆς Ἀριστοτελικῆς φιλοσοφίας ἔμπειρος, μᾶλλον δὲ καὶ τῆς ἱερᾶς θεολογίας· ἠκροάσατο τῶν ἐν Ἰταλίᾳ διδασκάλων· προέστη διὰ μακροῦ χρόνου τῆς τῶν Ἰωαννίνων σχολῆς, μετὰ πολλῆς ζέσεως ἀναπτύσσων τοῖς ἀκροαταῖς αὐτοῦ τὴν Ἀριστοτελικὴν φιλοσοφίαν καὶ τὴν θεολογίαν. Συνέγραψε λογικὴν σύντομον, καὶ συμφωνίαν τῆς παλαιᾶς καὶ νέας διαθήκης· ἅ γε οὔπω τύποις ἐκδέδοται.

Ἀναστάσιος ἱερεὺς ἐξ Ἰωαννίνων, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς διαλέκτου, φιλόσοφος Ἀριστοτελικός, θεολόγος καὶ μαθηματικός, ἱεροκήρυξ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας. Ἐσχολάρχησεν ἐν τῇ σχολῇ τῶν Ἰωαννίνων. Συνέγραψε ῥητορικῆς ἔκθεσιν, ἣ οὔπω τύποις ἐκδέδοται.

Θωμᾶς ὁ Κατάνης Κρής, ἀνὴρ σοφώτατος καὶ πολυμαθέστατος, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς φωνῆς, φιλόσοφος, ῥήτωρ, θεολόγος, μαθηματικός· ἐχρημάτισε καὶ καθηγητὴς ἐν τῇ φιλοσοφίᾳ τῆς ἐν Παταβίῳ περιφήμου ἀκαδημίας.

Ἰωάννης Χαλκεὺς Μοσχοπολίτης ἱερεύς, ἀνὴρ σοφὸς καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς γλώσσης, φιλόσοφος Ἀριστοτελικός, καὶ θεολόγος, ἱεροκήρυξ· ἐσχολάρχησεν ἐν τῷ Φλαγγινιανῷ φροντιστηρίῳ Ἑνετίῃσι.

Ἀντώνιος Κατήφορος ἱερεὺς Ζακύνθιος, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς διαλέκτου, πεπαιδευμένος τὴν φιλοσοφίαν οὐ μόνον τὴν Ἀριστοτελικὴν, ἀλλὰ καὶ τὴν τῶν νεωτέρων, οὐχ ἧττον δὲ καὶ τὴν ἱερὰν θεολογίαν, ἔμπειρος τῆς θείας γραφῆς, ἱεροκήρυξ· ἐχρημάτισε διδάσκαλος τοῦ Φλαγγινιανοῦ φροντιστηρίου Ἑνετίησι.

Γεώργιος Πατούσας ἱερεὺς Ἀθηναῖος, ἀνὴρ ἐλλόγιμος, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν, ἔμπειρος τῆς θείας γραφῆς, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς γλώσσης· σχολαρχεῖ τανῦν τοῦ Φλαγγινιανοῦ φροντιστηρίου Ἑνετίησι.

Ἀντώνιος Στρατηγὸς Κερκυραῖος, καθηγητὴς τοῦ ἐν Παταβίῳ Κουτουνιανοῦ φροντιστηρίου, ἀνὴρ ἐλλόγιμος, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς γλώσσης.

Μακάριος ἱεροδιάκονος ἐκ νήσου Πάτμου, ἀνὴρ εὐσεβείᾳ, καὶ ὁσιότητι βίου σεμνυνόμενος, σοφὸς καὶ πολυμαθής, εἰδήμων τῆς τε ἑλληνικῆς καὶ λατινικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν, ἱεροκήρυξ· μελετᾷ καὶ ἀναγινώσκει ἐν τῇ περιφήμῳ μονῇ τῆς νήσου Πάτμου τὴν ἱερὰν γραφήν, καὶ τοὺς πατέρας τῆς ἐκκλησίας, ἔξω τῶν βιωτικῶν θορύβων γινόμενος.

Μεθόδιος Ἀνθρακίτης ἱερομόναχος ἐξ Ἰωαννίνων, ἀνὴρ σοφὸς καὶ πολυμαθής, φιλόσοφος, θεολόγος, καὶ μαθηματικός, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς γλώσσης, ἔμπειρος τῆς θείας γραφῆς, καὶ ἱεροκήρυξ· ἠκροάσατο καὶ τῶν ἐν Ἰταλίᾳ σοφῶν, πολλοὺς ἐκεῖσε διατρίψας χρόνους· συνέγραψε κοινῇ διαλέκτῳ βιβλίον ἐπιγραφόμενον, Βοσκὸς λογικῶν προβάτων, ὃ καὶ τύποις ἐκδέδοται Ἑνετίησι.

Μητροφάνης Γρηγορᾶς Δοδωναῖος ἱερομόναχος, ἀνὴρ ἐλλό-

γιμος, εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, πεπαιδευμένος τήν τε θύραθεν, καὶ τὴν καθ' ἡμᾶς ἱερὰν παιδείαν, ποιητὴς καὶ ἱεροκήρυξ· ἀναγινώσκει καὶ μελετᾷ τὰς θείας γραφάς, καὶ τὰ τῶν πατέρων τῆς ἐκκλησίας ἱερὰ συγγράμματα.

Ἀναστάσιος Γόρδιος, ἱερομόναχος ἐξ Ἀκαρνανίας, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν παιδείαν, καὶ τὴν ἱερὰν θεολογίαν, ἱεροκήρυξ· ἠκροάσατο καὶ τῶν ἐν Ἰταλίᾳ σοφῶν· μελετᾷ καὶ ἀναγινώσκει τὰς θείας γραφάς, βίον ἥσυχον καὶ ἀθόρυβον μετερχόμενος.

Ἀναστάσιος ἐκ Ναούσης τῆς κατὰ τὴν Μακεδονίαν, ἀνὴρ σοφὸς καὶ πολυμαθής, φιλόσοφος, θεολόγος, καὶ ῥήτωρ εὐδόκιμος, εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς καὶ ἑβραϊκῆς διαλέκτου· περιηγήσατο πᾶσαν σχεδὸν τὴν Εὐρώπην.

Ἰωάννης Θεσσαλονικεύς, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, καὶ τῆς λατινικῆς δὲ οὐκ ἄπειρος, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν ἱερὰν θεολογίαν· σχολαρχεῖ τανῦν ἐν τῇ σχολῇ τῶν Θεσσαλονικέων.

Γεώργιος Τραπεζούντιος, διδάσκαλος τῆς ἐν Βουκουρεστίῳ ἡγεμονικῆς σχολῆς, ἀνὴρ ἐλλόγιμος, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν, καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεολογίαν, εἰδήμων τῆς ἑλληνικῆς γλώττης· ἀναπτύσσει μετὰ πολλῆς φιλοπονίας τοῖς αὐτοῦ μαθηταῖς τὰ ἀκροαματικὰ τοῦ Ἀριστοτέλους.

Ἀγάπιος Ἰθακήσιος ἱερομόναχος, ἀνὴρ εὐσεβείᾳ, καὶ βίου καθαρότητι ἐμπρέπων, τοῦ κόσμου καὶ τῶν ἐν κόσμῳ τερπνῶν ἀμέτοχος, καὶ λίαν ὀλίγωρος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν παιδείαν, καὶ τὴν ἱερὰν θεολογίαν, ἐμπειρότατος τῆς θείας γραφῆς, καὶ τῶν πατέρων τῆς ἐκκλησίας, κήρυξ τοῦ εὐαγγελικοῦ λόγου, καταρτίζων πρὸς εὐσέβειαν καὶ πολιτείαν θεάρεστον τοὺς ἀκροατὰς αὐτοῦ.

Φιλόθεος Παργινὸς ἱερομόναχος, φίλος τοῦ εἰρημένου Ἀγαπίου καὶ κατὰ πάντα ἐφάμιλλος.

Γρηγόριος ἱερομόναχος Θεσσαλονικεύς, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθε φιλοσοφίαν, καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεολογίαν· ἔστι δὲ καὶ ἱεροκήρυξ.

Ἔτει σωτηρίῳ ᾳψκα'. ἐν μηνὶ Ἰουνίῳ.

ΣΤ.

ΒΙΟΣ ΜΑΚΑΡΙΟΥ ΠΑΤΜΙΟΥ.

Πρὸς τὸν ὑψηλότατον καὶ εὐσεβέστατον αὐθέντην καὶ ἡγεμόνα πάσης Οὐγγροβλαχίας κύριον κύριον Ἰωάννην Κωνσταντῖνον Νικολάου βοεβόδαν διήγησις πάνυ συνοπτικὴ τοῦ σοφωτάτου καὶ ἀοιδίμου διδασκάλου κυρίου Μακαρίου τοῦ ἐκ Πάτμου νήσου, συντεθεῖσα παρὰ τοῦ σοφολογιωτάτου διδασκάλου τῆς ἐν Βουκουρεστίῳ φιλοσοφικῆς σχολῆς κυρίου κυρίου Ἀλεξάνδρου τοῦ ἐκ Τυρνάβου τῆς Θετταλίας.

Ἐπεί με ἡ φιλόμουσος αὐτῆς καὶ φιλάρετος διάθεσις, ὑψηλότατέ μου καὶ εὐεργετικώτατέ μοι αὐθέντα, καὶ ἡγεμόνων ἀγλάϊσμα, τὸν τοῦ σοφωτάτου μου καὶ ἀοιδίμου διδασκάλου κυρίου Μακαρίου βίον ὑποτυπώσασθαι ἐν συνόψει ἐκέλευσε, καὶ τοῦ ἔργου ἐπιλαβέσθαι κατοκνοῦντα, ἅτε δὴ ὄντος ὑπὲρ τὴν ἐμὴν δύναμιν, τὰ μέγιστα κατηνάγκασε, διὰ τὴν πρὸς τὸν ἄνδρα αὐτῆς ἄκραν εὐλάβειαν, διά τοι ταῦτα κἀγὼ ὁ ἐλάχιστος αὐτῆς δοῦλος, ἄκων μὲν ἄκων, ἀλλ' ἡψάμην τοῦ προστάγματος, ὡς λίαν μέντοι ἀκροθιγῶς, οὐθ' ὡς γὰρ δεῖ, οὐθ' ὡς ᾤετο αὐτῆς ὕψος, οὐθ' ὡς ἀπαιτεῖ ἡ ὑπόθεσις· ἦ γὰρ ἂν ἔδει με γλῶτταν ἔχειν καὶ νοῦν καὶ διάνοιαν τοῦ περὶ οὗ ὁ λόγος· πῶς καὶ γὰρ ἂν ἐξαρκέσειεν ἡ ἐμὴ ἀμάθεια ἐς τοσοῦτον ἀρε-

τῶν ὅμιλον, ὑπὲρ ἀριθμὸν ὄντα, καὶ οὐχ ὅπως ἐμοί, ἀλλὰ καὶ οἷς λόγος ὁ βίος δυσεπιχείρητον;

Διηγήσομαι τοίνυν οὐχ ἅπαντα τἀνδρὸς τὰ πλεονεκτήματα, τοῦτο γὰρ πάντη ἀνέφικτον, ἀλλὰ βραχέ' ἄττα, καὶ τούτων ὅσα περιφέρω τῇ μνήμῃ, ἵνα κἂν ἐξ ὄνυχος ὁ λέων γνωσθείη τὸ δὴ λεγόμενον.

Ὅτι μὲν οὖν ἐξ ἁπαλῶν ὀνύχων τὴν πατρίδα καταλιπὼν ἔρωτι παιδείας ἀπῆρεν εἰς βασιλεύουσαν, καὶ ὅτι κατὰ μικρὸν αὐτῷ συνηύξανε τῇ ἡλικίᾳ καὶ ἡ ἐπίδοσις, τῷ τοῦ σοφωτάτου διδασκάλου φροντιστηρίῳ κυρίου Ἰακώβου θαμίζοντι, καὶ ὅτι ἀτρύτους πόνους κατεβάλετο, συνδιημερεύων τε καὶ διανυκτερεύων τοῖς τῶν σοφωτάτων ἀνδρῶν πονήμασι, τούς τε ξυμφοιτητὰς αὐτοῦ ἐκ πολλοῦ τοῦ περιόντος παρευδοκίμησε, τοὺς μὲν νοὸς ὀξύτητι, τοὺς δὲ τῇ φιλοπονίᾳ, ἔστι δὲ οὓς ἑκατέρᾳ, καὶ πᾶσι πάντων ἐκράτει, καὶ ὅτι φύσις καὶ τέχνη τοσοῦτον αὐτῷ συνέδραμον, ὡς οὐδενὶ θάτερον, καὶ μὴ ὅτι γε τῇ ἑλληνίδι, ἀλλὰ καὶ τῇ λατινίδι διαλέκτῳ ἐς ἄκρον ἐξήσκητο, μουσικῆς τ' ἐντελοῦς ἐγκρατὴς ἐγένετο, καὶ ὅσον τάχος εἰς τὰ τῆς φιλοσοφίας ἀνακτόρια, καὶ τὸν Ἑλικῶνα τῶν μουσῶν, καὶ τὸ τῆς θεολογίας ὕψος ἀνελήλυθε, παντὸς εἴδους παιδείας τῆς τε θύραθεν καὶ τῆς καθ' ἡμᾶς γεγονὼς ἐνδιαίτημα, καὶ ὅτι ἀρχιδιάκονος τοῦ τότε ἁγίου Νικομηδείας ἐχρημάτισε, καὶ πολλάκις αὐτῷ παραχωρῆσαι τοῦ θρόνου βιάσας ὁ γέρων αὐτοῦ οὐκ ἔπεισεν, οὐ μὴν ἀλλὰ καὶ μυριάκις εἰς τὴν ἐνεγκοῦσαν ἐπανακάμψαι θελήσαντι οὐκ ἐπέτρεψε, τοιούτου σοφοῦ ἀνδρὸς τὴν ἀπουσίαν μὴ ἀνεχόμενος· ταῦτά φημι καὶ τὰ τούτοις ἐφάμιλλα παρήσω τόγε νῦν ἔχον ὡς οὐκ εὐάριθμα.

Ἀγῶνας δὲ οὓς ὑπέμεινε μετὰ τὸ ἐπανιέναι εἰς τὸ τῆς πατρίδος φίλον ἔδαφος, τούς τε θρομβοειδεῖς ἱδρῶτας καὶ ἀκαμάτους πόνους, ὑπὲρ τῆς τῶν μαθητῶν εὐδοκιμήσεως, καὶ τοῦ πολυπλασιάσαι τὸ τάλαντον, ὅσους τε τῶν φοιτητῶν τοῦ πο-

θουμένου εἰς πέρας ἤγαγεν, οὐ μόνον πρὸς παιδείαν, ἀλλὰ καὶ πρὸς πᾶν εἶδος ἀρετῆς ἐπαλείφων ἅπαντας διὰ τῆς ἀπαύστου αὐτοῦ διδασκαλίας καὶ εἰσηγήσεως, τύπον ἑαυτὸν καὶ ὑπογραμμὸν ἀρετῆς καὶ σοφίας πᾶσι παρεχόμενος, διδάσκων μὲν τὰ πρακτέα, ποιῶν δὲ τὰ διδασκόμενα, καὶ τοῦτο ἐν οἱᾳδήποτε διαθέσει, καὶ ἐν χρόνῳ παντί, κλινήρης, ὑγιής, ἐν γήρᾳ, ἐν νεότητι, ἐν νυκτί, ἐν ἡμέρᾳ, πάντα κάλων κινῶν τὸ τοῦ λόγου, ἵνα τοὺς πάντας κερδήσῃ· καὶ ταῦτα πάντα παρίημι, οὔτε γὰρ ληπτὰ ἀριθμῷ, καὶ λόγῳ καθυποβληθῆναι ἀμήχανον.

Ἀλλὰ καὶ τὸν τρόπον καθ' ὃν ἀπὸ τοῦ γέροντος αὐτοῦ ἀνεχώρησεν οὐκ ἄχαρι διηγήσασθαι· ἐν μιᾷ γὰρ τῶν ἡμερῶν προσελθὼν αὐτοῦ τῷ γέροντι ἔφη: τοσαῦτα ἔτη δουλεύσας σοι, πάντως γε δυοῖν θάτερον, ἢ ἀρεστός, ἢ μή σοι ἔδοξα· εἰ μὲν τὸ πρῶτον, πλήρωσον κᾀυτός μοι τουτὶ τὸ ζήτημα, καὶ ἐπάκουσόν μου τῆς δεήσεως διὰ τὴν τοσαύτην μου πιστὴν καὶ ἀρεστὴν ἐξυπούργησιν, καὶ πρὸς τὴν ἐμὴν πατρίδα ἐπανελθεῖν μοι ἐπίτρεψον· εἰδὲ τὸ δεύτερον, τί με κωλύεις τὸν ἀπαρέσκοντα; εἰς οὐδὲν γάρ σοι ὁ ἀπαρέσκων ὀνήσιμος, μάλιστα δὲ καὶ ἀποβλητέος. Τοιούτῳ διλήμματι ἀναχωρῆσαι ἀδείας ἔτυχε.

Τὸν δὲ βίον αὐτοῦ τὸν ὑπὲρ ἄνθρωπον καὶ ἰσάγγελον, τὸ περὶ τὴν ἐγκράτειαν ἀπαράμιλλον, τὸ ἐν ἀγρυπνίαις παννύχιον, τὸ πρὸς τοὺς πάντας φιλόστοργον, τὸ ἐν ταπεινότητι χριστομίμητον, τὸ ἐν προσευχαῖς σύντονον, τὸν εἰς τὰ θεῖα ζῆλον, τὴν τῆς σαρκὸς καθαρότητα, τὸ ἐν πᾶσι νηφάλιον, τὸ πρὸς τοὺς παραπικραίνοντας ἀμνησίκακον, τὴν τοῦ θυμοῦ μετάθεσιν εἰς ἄκραν πραότητα, τὸ ἐν λόγοις ὑψηλόν, τὸ ἐν ἔργοις θαυμάσιον, τὴν περὶ τὴν δίαιταν ἐσχάτην λιτότητα, τὸ περὶ τὴν ἀκτημοσύνην ἑκούσιον, τὴν ἐν ἐλέει δαψίλειαν, τὸ περὶ τὸν τρίβωνα εὐτελὲς καὶ φιλόσοφον, τὴν περὶ τὰ ἤθη χρηστότητα, τὸ ἐν πᾶσιν ἀπέριττον, ταῦτα δὴ πάντα καὶ τὰ τούτοις ἀδελφά, τίς ἂν τῷ λόγῳ διελθεῖν ἐξισχύσειεν; εἰς αὐ-

τὴν γὰρ ἀνέδραμε γιγαντιαίῳ τινὶ καὶ ἡρωϊκῷ τῷ φρονήματι τῶν ἀρετῶν τὴν ἀκρόπολιν, καὶ εἴπερ τις ἄλλος πράξει καὶ θεωρίᾳ ὑπερέλαμψε.

Ἅπαντα ταῦτα, ὡς ἔφθην εἰπών, σιωπῇ τιμήσας, ἵνα μὴ καθυβρίσω τῇ ἐμῇ ἀμαθείᾳ τὸν ἥρωα, ὅσα περ τοῖς μαθηταῖς αὐτοῦ παραινῶν ἐνίοτε ἔλεγε διηγήσομαι, καὶ τούτων τὰ πλεῖστα παραλιπὼν διὰ τὸ εὐσύνοπτον.

Συνεχῶς λέγειν ἐφίλει τοῖς μαθηταῖς, φεύγετε τὴν ἀργίαν, διδάσκαλος γὰρ αὕτη πάσης κακίας.

Τοὺς δεισιδαίμονας ἔλεγε μήτε μιμητέον, μήτε μεμπτέον· καθάπερ γὰρ τῆς σωφροσύνης ἀρετῆς οὔσης καὶ μεσότητος, τὰ δύο αὐτῆς ἄκρα, ἡ ὑπερβολή φημι καὶ ἡ ἔλλειψις, ἡ ἀκολασία δηλονότι καὶ ἡ ἠλιθιότης ὡς κακίαι διαβάλλονται, χεῖρον ὅμως ἡ ὑπερβολὴ τῆς ἐλλείψεως, καὶ παγκάκιστον, ἡ ἀκολασία δηλαδὴ τῆς ἠλιθιότητος, τί γὰρ ἂν καὶ πάθοι κακὸν ὁ περὶ τὴν σάρκα ἠλίθιος; κρεῖττον γὰρ ἀναισθησίαν νοσεῖν περὶ τὰ ἀφροδίσια ἢ ἀσέλγειαν, οὕτω καὶ τῆς προσηκούσης εὐλαβείας περὶ τὰ θεῖα ἀρετῆς οὔσης, δεισιδαιμονία καὶ ἀνευλάβεια τὰ ἄκρα ὄντα τυγχάνουσιν, ὧν τὸ μέν ἐστιν ὑπερβολὴ τὸ δ᾽ ἔλλειψις· κάλλιον γὰρ δεισιδαιμονίαν νοσεῖν τινα περὶ τὰ θεῖα ἢ ἀνευλάβειαν.

Τὰ τῶν ἁγίων πατέρων συγγράμματα τιμιώτερα εἶναι ἔλεγε τῶν ἱερῶν αὐτῶν λειψάνων· τὰ μὲν γὰρ τοῦ νοὸς κινήματα, τὰ δὲ τοῦ σώματος σύνδεσμοι, καὶ τὰ μὲν τῆς θεωρίας αὐτῶν γνωρίσματα, τὰ δὲ τῆς πράξεως· ὅσῳ τοίνυν ὁ νοῦς τοῦ σώματος τιμαλφέστερος, καὶ ἡ θεωρία τῆς πράξεως (ἡ μὲν γὰρ τελείων ἔργον, ἡ δὲ πρᾶξις πλειόνων κατὰ τὸν θεολόγον Γρηγόριον) τοσούτῳ καὶ τὰ τῶν ἁγίων συγγράμματα τῶν σφῶν αὐτῶν ἱερῶν λειψάνων εἰσὶ τιμιώτερα.

Μέγιστον κακὸν τὴν κατάκρισιν εἶναι ἔλεγεν, ὡς κατακρίσεως πρόξενον, κατὰ τὸ δεσποτικὸν λόγιον, μὴ κρίνετε ἵνα μὴ κριθῆτε.

Τὴν ἀρετὴν ὑπερεπαινῶν, καὶ τὴν κακίαν καταμεμφόμενος, τοὺς μὲν ἀρετῇ διαπρέποντας ἐγκωμίων στέμμασιν ἔστεφε· τοὺς δ' ὅσοι κηλῖσιν ἁμαρτίας κατάστικτοι, μομφῆς λοιδορίαις οὐκ ἔπλυνε, παρῄνει δὲ αὐτοῖς τὰ εἰκότα ὡς οἷόν τε, ἀμέσως τε καὶ ἐμμέσως, τοῖς μὲν διὰ λόγου, τοῖς δὲ καὶ διὰ γραμμάτων· ἠλέει τούτους καὶ ᾤκτειρε, καὶ τοῦ κυρίου ἰδίᾳ μετὰ δακρύων ἐδέετο ἵν' αὐτοῖς ἐπιστροφήν τινα δῷ ἀπὸ τῆς πονηρίας· πρὸς δὲ τοὺς καταγινώσκοντάς τινος μοχθηρίαν ἔλεγε, μὴ κρῖνε ἄνθρωπε, οἰκέτην ἀλλότριον· ἢ οὐκ ἐνδέχεται μεταμεληθέντα αὐτὸν σωτηρίας τεύξασθαι; καὶ τότε ἐκεῖνος μὲν ὑπὲρ τῆς αὐτοῦ μεριμνήσας ἁμαρτίας, τὴν ἀπὸ τῆς μετανοίας ὄνησιν ἐκαρπώσατο, σὺ δὲ τῆς τοῦ ἀθυρώτου σου στόματος τυχὸν ἐρεσχελίας, ἣν τοῦ ἀδελφοῦ σου κατέχεας ἐπιλαθόμενος, ἢ τῆς διὰ μετανοίας αὐτῆς διορθώσεως ἀμελήσας, ὡς δῆθεν σμικρᾶς καὶ εὐσυγγνώστου κακίας οὔσης, ἢ καὶ τοῦ μετανοῆσαι προεκμετρήσας τὸ ζῆν, τὴν ἀπὸ τῆς κατακρίσεως δίκην ἐκέρδανας· ἀλλ' εἴτε καὶ συνθείη ὁ διαβαλλόμενος, εἴτε μή, σὺ πάντως διωχθήσῃ κατακρίσεως· πρὸς τούτοις ἐνδέχεται μὴ εἶναι τὸν ἐγκαλούμενον οἷον αὐτὸς εἶναι φής, καὶ τότε οὐ μόνον ὡς φιλεγκλήμων, ἀλλὰ καὶ ὡς συκοφάντης κατακριθήσῃ· ἀλλὰ δοτέον σε ἀληθεύειν ἐπὶ τοῖς λεγομένοις κατὰ τοῦ ἀδελφοῦ σου, καὶ οὕτως ἄξιος εἶ κατακρίσεως· καὶ πειθέτω σε Χὰμ ὁ τοῦ Νῶε, ἀληθεύσας μὲν ἐπὶ τῇ τοῦ πατρὸς διαβολῇ διὰ τὴν γύμνωσιν, ὡς πατραλοίας δὲ ἀραῖς καθυποβληθεὶς πατρικαῖς.

Διὰ τιμῆς ἄγειν καὶ πείθεσθαι πάντας χρῆναι ἔλεγε τῶν ἀρχόντων οὐ μόνον τοῖς ἀγαθοῖς, ἀλλὰ καὶ τοῖς σκολιοῖς κατὰ τὸν Ἀπόστολον, καὶ οὐ μόνον τοῖς εὐσεβέσιν, ἀλλὰ καὶ τοῖς ἀσεβέσι. Οἷς γὰρ θεὸς οἶδε κρίμασιν, εἴτε δηλονότι κατὰ θείαν θέλησιν, εἴτε κατὰ συγχώρησιν, εἴτε κατὰ παραχώρησιν τοῖς τοιούτοις τὸ ἄρχειν ἐπιτέτραπται, οὐ γογγύζειν σε δεῖ, δυσφοροῦντά τε καὶ ἀνυποτακτοῦντα τῇ τούτων ἀρχῇ, ἀλλ' ὑπεί-

κειν αὐτοῦ τοῖς προστάγμασιν, ἐκτὸς μόνον τῶν κατὰ ψυχὴν βλάβην φερόντων, ἀρετῆς γὰρ καὶ πίστεως προκινδυνεύειν ἀνάγκη καιροῦ καλέσαντος.

Τὴν παρθενίαν ὑπερεπήνει, οὗ εἰς ἀπόδειξιν πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἔλεγεν· ὁ δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς τὸ τιμαλφέστατον αὐτοῦ καὶ ποθεινότατον κειμήλιον, τὴν ὑπέραγνον αὐτοῦ λέγω μητέρα καὶ παναγίαν παρθένον, οὐδὲν ἄλλῳ ἐπὶ σταυροῦ εἰς ἐπίσκεψιν ἐπιστεύσατο, εἰ μὴ τῷ παρθένῳ μαθητῇ Ἰωάννῃ διὰ τὴν τῆς παρθενίας καθαρότητα· καὶ τὸν μὲν παρθενεύοντα, ὑπὲρ φύσιν ζῶντα καὶ ἀγγέλοις ἐκάλει συνδιαιτώμενον· τὸν δὲ νομίμῳ γυναικὶ ὁμιλήσαντα, κατὰ φύσιν βιοῦντα· τὸν δὲ πορνεύοντα παρὰ φύσιν ζῆν ἔλεγε, καὶ τῶν ἀλόγων, ἅτε δὴ κατὰ φύσιν κἀκείνων ζώντων, ἀλογώτερον προσηγόρευε, συνῳδὰ τοῖς τῷ μεγάλῳ Ἀθανασίῳ εἰρημένοις φθεγγόμενος τελευταῖον περὶ τῆς παρθενίας ἔλεγεν, ὁ δυνάμενος χωρεῖν χωρείτω.

Παρεκβάσεις ἀεὶ ἐποίει ἐπὶ τῆς τῶν μαθημάτων παραδόσεως, πρὸς ἀρετὴν ἐπαίρων τοὺς μαθητιῶντας διὰ τῆς παρεκβάσεως, πᾶν νόημα εἰς Χριστὸν αἰχμαλωτίζων κατὰ τὸν Ἀπόστολον.

Πολλάκις τῶν μαθητῶν ὅσοι ἐν τῇ Ἀποκαλύψει κατῴκουν, ἔνθα καὶ ὁ διδάσκαλος, ἐπὶ τῇ ἀναγνώσει διανυκτερεύοντες, ἤκουσαν αὐτοῦ λέγοντος ἐν τῷ κατιέναι εἰς ναὸν ἀπὸ τοῦ οἰκιδίου πρὸς τὸν ὄρθρον, τό, δόξα σοι ὁ θεός! ἀτενίζων γάρ, ὡς ἐγῷμαι, εἰς τὸν οὐρανόν, καὶ τὴν διάφορον ποικιλίαν τῶν ἀστέρων θεώμενος καὶ λαμπρότητα, ἐδόξαζε τὸν δημιουργόν· καὶ ἄλλοτε γὰρ τουτὶ λέγειν εἰώθει, φέρων συνεχῶς διὰ γλώττης τὴν δόξαν τοῦ θεοῦ.

Τοῖς τοῦ θεοῦ λειτουργοῖς καὶ ἱερεῦσι μεθ' ὅσης αἰδοῦς καὶ εὐλαβείας ἐφέρετο, ὑπὲρ τὸ ἀγγελικὸν ἀξίωμα τὴν ἱερωσύνην εἶναι ἀποφαινόμενος· ὅπου γὰρ ἐκεῖνοι παρακῦψαι φρίτ-

τουσιν, ἐκεῖσε οἱ ἱερεῖς μελίζουσιν, ἐσθίουσί τε καὶ πίνουσι, τὸ πανάγιον λέγω σῶμα καὶ πανάχραντον αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὅθεν καὶ εἰ ἐξῆν, ἔλεγεν, ἀντηλλάξαντο ἂν οἱ ἄγγελοι τῆς ἱερωσύνης τὸ σφῶν ἀξίωμα· ἀείποτε τούτοις ἐδίδασκεν, ὅσης δεῖ καθαρότητος αὐτοῖς ἐμφαίνων καὶ ἁγιότητος, τοιαύτης ἀξιωθεῖσι χάριτος.

Προσευχὴν καὶ νηστείαν τῶν ἀναγκαιοτάτων εἶναι πρὸς σωτηρίαν ἔλεγε παντὶ εὐσεβοῦντι· ὥσπερ γὰρ οἱ τοῦ ἐπιγείου βασιλέως στρατιῶται δύο τῶν μάλιστα ἀναγκαίων δέονται ἐν τῷ μάχεσθαι, τροφῆς, καὶ ὅπλων, ἵν' ἀντιπαρατάττεσθαι τοῖς πολεμίοις ἔχωσιν, οὕτω καὶ τοῖς τοῦ Χριστοῦ στρατιώταις τουτωνὶ δεῖν τῶν δύο ἔφασκε· ἡ μὲν γὰρ προσευχὴ (ἣν καὶ πρὸς θεὸν ὁμιλίαν ἐκάλει κατὰ τὸν χρυσορρήμονα) ὅπλου δίκην αὐτοῖς ἐπαμύνουσα, ἡ δὲ νηστεία ὅσα καὶ τροφὴ σώματα αὐτοὺς ἐνισχύουσα, τὴν σωτηρίαν μνηστεύονται· δι' αὐτῶν γὰρ ἀποσοβοῦνται οἱ τῶν πιστῶν ἄπιστοι ἄσπονδοι πολέμιοι, τὰ πονηρὰ λέγω πνεύματα, κατὰ τὸ κυριακὸν λόγιον, τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Τῆς ἀγάπης οὐδὲν προὐτίθη· διὸ δὴ καὶ πρὸς τὸν Ζοροβάβελ νικᾶν τὰ πάντα τὴν ἀλήθειαν φάμενον, κομψῶς ἔλεγεν, ἡ ἀγάπη νικᾷ τὰ πάντα, ὦ Ζοροβάβελ! δι' αὐτὴν γὰρ ὁ υἱὸς τοῦ θεοῦ ἐνηνθρώπησε μετὰ τοσαύτης ἀφάτου συγκαταβάσεως, καὶ ὃν ἠγάπησεν ἔσωσεν ἄνθρωπον· εἰ δέ γε καὶ ἀλήθειά ἐστιν ὁ θεὸς κατὰ τό, ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή, ἀλλὰ καὶ ἀγάπη ἐστιν ὁ αὐτὸς κατὰ τὸν ἠγαπημένον τῶν ἀποστόλων εἰπόντα, ὁ θεὸς ἀγάπη ἐστίν· οὐ μὴν ἀλλὰ καὶ πολλάκις ὃν ἡ ἀγάπη ἐπταικότα καὶ προσφυγόντα τινὶ κατέκρυψε, καὶ κινδύνου οὐ τυχόντος, καὶ θανάτου τυχὸν ἀπήλλαξε, τοῦτον ἡ ἀλήθεια εἰς τοὐμφανὲς ἀγαγοῦσα προὔδωκεν· οὐ γὰρ ἔχει φάναι ἡ ἀλήθεια μὴ ἑωρακέναι τὸν ὁραθέντα, μηδὲ κρύψαι τὸν ζητούμενον· πρὸς τούτοις ἡ μὲν ἀλή-

θεια συστοιχεῖ τῇ δικαιοσύνῃ, ἡ δ' ἀγάπη τῇ εὐσπλαγχνίᾳ· ὅσον ἄρα ὑπερακοντίζει τὴν δικαιοσύνην ἡ εὐσπλαγχνία, παρευδοκιμεῖ τὴν δικαιοσύνην οὐκ ἄδηλον· ἐπὶ γὰρ τῶν Σοδόμων ὁ τῷ Ἀβραὰμ συνδιαλεγόμενος ὑπὲρ τῆς τῶν δέκα ἀρετῆς, τοσαύτας μυριάδας ἀνθρώπων ἁμαρτωλῶν μὴ ἀποτεφρῶσαι ἐπηγγείλατο εἰρηκώς, ἐὰν ὦσιν ἐκεῖ δέκα οὐ μὴ ἀπολέσω ἕνεκα τῶν δέκα· ὃ δεῖγμα ἐχέγγυον τοῦ ὑπερπαίειν τοῦ δικαίου τὸ εὔσπλαγχνον· τοῦ γὰρ δικαίου ἦν τοὺς μὲν εὐσεβεῖς περισωθῆναι, τοὺς δ' ἀσεβεῖς πάντας παραδοθῆναι ἡφαίστῳ· ἡ δ' εὐσπλαγχνία οὐχ οὕτως, ἀλλὰ δέκα χάριν εὐσεβῶν μυριάσι τῶν ἀσεβῶν τὴν ζωὴν ἐχαρίζετο, καὶ ταῦτα πρὸ τῆς ἐνσάρκου οἰκονομίας, ὅτε ἀδιάλλακτον ἔτι ἦν τοῖς ἀνθρώποις τὸ θεῖον· ἀλλὰ καὶ οἱ δύο μαχόμενοι ἄγγελοι ὑπὲρ τῆς τῶν Ἰσραηλιτῶν ἐκ Βαβυλῶνος ἐλευθερίας, καθάπου ο ἐν προφήταις Δανιὴλ καθιστόρησεν, ὧν ο μὲν ἐπιστάτης τοῦ Ἰουδαϊκοῦ ἔθνους ἐτύγχανεν ὤν, ὁ δὲ τοῦ Βαβυλωνίου τὴν τοῦ θεοῦ εὐσπλαγχνίαν καὶ δικαιοσύνην εἰκονίζων, κατὰ τὸν Πηλουσιώτην Ἰσίδωρον. καὶ γὰρ ὁ μὲν τῶν Ἰουδαίων ἐπιστατῶν, ἅτε δὴ τῆς τοῦ θεοῦ εὐσπλαγχνίας τὸν τύπον φέρων, ἀπαλλαγῆναι τὸν Ἰσραὴλ ἠξίου τῆς δουλείας· ὁ δὲ τῶν Βαβυλωνίων, ὡς τῆς θείας δικαιοσύνης ἀπεικόνισμα, τὴν σωτηρίαν ἐκώλυε, δουλεύειν καταναγκάζων τοῖς Βαβυλωνίοις τὸν Ἰσραὴλ διὰ τὸ τῶν ἁμαρτημάτων αὐτοῦ πέλαγος· τέλος νενίκηκεν ὁ ἐπιστάτης τοῦ Ἰσραὴλ, καὶ τῆς δουλείας αὐτὸν ἀπηλλάξατο, δηλῶν τὴν εὐσπλαγχνίαν ἔχειν τὰ νικητήρια· κρεῖττον ἄρα ἡ ἀγάπη πασῶν τῶν ἀρετῶν, καὶ αὐτῶν δὴ τῶν θεολογικῶν, πίστεως φημὶ καὶ ἐλπίδος, κατὰ τὸν Ἀπόστολον.

Τὸν πολιτικὸν προσανέχειν τὸν νοῦν ἔλεγε χρῆναι τοῖς πολιτικοῖς πράγμασι, τὸ τῶν ἄλλων μᾶλλον ἢ τὸ ἑαυτοῦ σκοπεύοντα πρόσφορον, ἵνα μὴ ἐπὶ φιλαυτίας ἁλῷ ἁμαρτήματι· ἀλλὰ καὶ τῶν κανόνων, ὅ φασι, μὴ εὐθύτερον εἶναι ἐδίδασκεν,

ἵν' ὥσπερ ἀκριβὴς τρυτάνη ταῖς ἐπ' ἀμφότερα πλάστιγξιν ἰσορρόπως ταλαντεύηται, καὶ μὴ ἐπὶ θάτερα τῶν ἄκρων ἐπιρρέπῃ ἀπολειπόμενος τῆς μεσότητος· οὕτω καὶ τὸν οἰκονομικόν τε καὶ ἠθικόν.

Τοῖς πνευματικοῖς πατράσι πολλῆς δεῖν ἔλεγεν ἐμπειρίας τε καὶ μαθήσεως· εἰ γὰρ οἱ τῶν σωμάτων ἀκέστορες δίχα τῆς θύραθεν φιλοσοφίας καὶ τῆς περὶ τὰς διαφόρους κράσεις καὶ πάθη πολυπειρίας οὐκ εὐδόκιμοι, οὐδὲ τοῦ σκοποῦ εὐεπήβολοι, πολλῷ μᾶλλον τοὺς τῶν ψυχῶν τὰς νόσους ἰωμένους οὐκ ἀπείρους εἶναι χρεὼν τῆς θείας καὶ ἱερᾶς γραφῆς, τούς τε διαφόρους τρόπους καὶ αἴτια τῶν ἁμαρτημάτων κρίνειν ἔχειν ἐπάναγκες, καὶ τῶν ἐξομολογουμένων προσώπων τὸ διάφορον ἀσφαλῶς εἰδέναι, καὶ διερευνᾶν ὡς οἷόν τε, ἵνα μὴ ἀκαταλλήλως τὰ φάρμακα ἐπιθέμενοι μικροῖς τὰ μεγάλα, καὶ φορτικοῖς τὰ μικρὰ τῶν τραυμάτων ἐξιᾶσθαι πειρῶνται.

Τῆς τῶν πεπαιδευμένων ἀνδρῶν πτώσεως εἰς διαφόρους αἱρέσεις ᾐτιᾶτο τὴν ἔπαρσιν· αὕτη γὰρ αἰτία τοῦ τε πρώτου καὶ δευτέρου πτώματος· ἑκάτερος γὰρ τῶν πεπτωκότων ἰσοθεΐας ἐλπίδι εἰς τὰ τοῦ ᾅδου κατηνέχθη βάραθρα· ἀλλ' ὁ μὲν ἀνεπλάσθη ὡς συντριβὲν σκεῦος πήλινον, καὶ ὡς ἀπάτῃ δελεασθεὶς ἐν ἀγνοίᾳ τοῦ ἰώδους δράκοντος, ὁ δὲ ὡς ἐπιμείνας τῇ τῆς ἐπάρσεως στεγανότητι, καὶ ὡς ἐν γνώσει ἁμαρτών, ὑπ' οὐδενὸς φενακισθείς, ἀλλ' ὑπὸ τῆς ἰδίας αὐτοῦ ἐθελοκάκου γνώμης, ἀδιόρθωτος ἔμεινεν· ὁ γὰρ γνοὺς καὶ ποιήσας πολλὰ δαρήσεται, ὁ δὲ μὴ γνοὺς ὀλίγα.

Καλὸν εἶναι ἔλεγε μήτε θυμοῦσθαι ὅλως μήτε ὀργίζεσθαι, εἰμὴ μόνον κατὰ τοῦ πονηροῦ καὶ τῆς ἁμαρτίας καθ' ὧν οὐχ ἁμαρτάνει ὁ ὀργιζόμενος, ᾗ που ἱερολογεῖ ὁ προφητάναξ, ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. Ἐν παραθέσει γεμὴν τοῦ ὀξυθύμου πρὸς τὸν μόνιμον ὀργὴν φυλάττοντα, ὃν ὁ Σταγειρίτης χαλεπὸν προσηγόρευσε, χείρων τοῦ ὀξυθύμου ὁ χαλεπὸς καὶ ὀργί-

λος· ὁ μὲν, εἰ καὶ ὀξέως, καὶ ἐφ' οἷς οὐ δεῖ πολλάκις θυμοῦται, ἀλλὰ ταχέως καὶ παύεται, μέχρι λόγου τοῦ θυμοῦ τελευτήσαντος, ὁ δὲ χαλεπὸς οὐ παύεται πρὸ τοῦ ἀνταποδοῦναι καὶ ἀντιλυπῆσαι τὸν λυπήσαντα.

Οὐ καλὸν ἔλεγε τοὺς εὐσεβεῖς τῶν βασιλέων τῶν ἀσεβῶν κατεξανίστασθαι ἀνάγκης μὴ κατεπειγούσης· δυοῖν γὰρ ἕνεκα ἐκτὸς ἀνάγκης κατ' αὐτῶν ἐκστρατεύονται, πλεονεξίαν λέγω καὶ ἔπαρσιν, ἵν' ἐπιδείξωνται τὴν σφῶν αὐτῶν δύναμιν καὶ γενναιότητα, καὶ ὡς νικηταὶ παρὰ πάντων καὶ τροπαιοῦχει ἀνακηρύττωνται, καὶ ἵνα πλείους τόπους καὶ πόλεις κερδίσωσιν, ὧν ἑκάτερον ἐπίψογον· εἰ δέ γε φαῖεν ὅτι χάριν τοῦ ἀπαλλάξαι τοῦ τῆς δουλείας ζυγοῦ τὸν χριστώνυμον λαὸν κατ' αὐτῶν ὁπλίζονται ὡς δῆθεν θείῳ ζήλῳ κινούμενοι, πρῶτον μέν ἐστιν οὐκ ἀναμφίβολον εἰ ἄρα φίλον θεῷ τὸ ἐλεύθερον· δεύτερον δὲ καὶ ἀβέβαιον εἰ συμφέρει τὸ ἀδούλωτον· τρίτον ἐνδέχεται ἡττηθέντας ὑπὸ τῶν ἐχθρῶν πρὸς τῷ μὴ ἀπαλλάξαι τοὺς ὑπὸ τὸν δουλικὸν ζυγὸν καὶ τοὺς ἐλευθέρους αἰχμαλώτους ποιήσασθαι· τελευταῖον ἔλεγεν, ὡς ἡ τοιαύτη ἀπαλλαγὴ, ἢ δοθήσεταί ποτε, ἢ οὐ δοθήσεται· καὶ εἰ δοθήσεται, πότε, καὶ τίνι τρόπῳ, καὶ τοῦ χάριν, μόνος οἶδεν ὃν οὐδὲν λέληθε.

Μὴ δεῖ ζητεῖν ἔλεγεν ἕκαστον τὰ ὑπὲρ τὴν ἰδίαν δύναμιν, μηδὲ ἐρευνᾷν τὰ ἀνεξερεύνητα, μήτε σπεύδειν καταλαβεῖν τὰ ἀκατάληπτα, μηδὲ ἀνιχνεύειν τὰ ἀνεξιχνίαστα, καὶ μὴ πηδᾷν ὑπὲρ τὰ ἐσκαμμένα κατὰ τὸν παροιμιώδη λόγον, ἀλλ' ἐπαναπαύεσθαι καὶ ἀρκεῖσθαι τοῖς ὑπὸ τοσούτων εἰρημένοις θεοφόρων πατέρων, τῇ τε θείᾳ Γραφῇ, καὶ ταῖς θεοσυλλέκτοις ἱεραῖς συνόδοις οὐκ ἀπᾴδουσιν, ὡς ὑπαγορεύοντος τοῦ παναγίου πνεύματος.

Παγχάλεπον εἶναι ἔλεγε τὸν ἐμφύλιον πόλεμον· ἀδελφὸς ἀδελφοῦ, καὶ ὁμόδοξος ὁμοδόξου κατεξανίσταται, οὗ τί χαλεπώτερον; τολμῶσι γὰρ ὅπερ οὐδὲ οἱ δαίμονες· ουδέποτε καὶ γὰρ δαιμόνων κατεκστρατεύονται δαίμονες.

Τοῦ τῆς δουλείας ζυγοῦ ᾐτιᾶτο τὴν ἁμαρτίαν· αὕτη γὰρ πάσης δουλείας παραίτιος· αὕτη καὶ τὸν πρῶτον ἄνθρωπον δοῦλον τῶν παθῶν καὶ τοῦ ἄρχοντος τοῦ σκότους ἐποίησε· εἰ δοῦλος γὰρ ὁ ἁμαρτάνων τῆς ἁμαρτίας κατὰ τὸν Ἀπόστολον, καὶ τοῦ τῆς ἁμαρτίας ἀνθρώπου πάντως ἔσται δοῦλος.

Πολλοῦ γὰρ δεῖ φάναι, ὡς ὁ τῶν ὅλων θεὸς εἰς ἔλεγχον τῆς ἡμῶν καρτερίας τῷ τῆς δουλείας ζυγῷ ὑποπεσεῖν ἡμᾶς ξυνεχώρησε· τοιοῦτος γὰρ ἂν φαίη ὁ πολύτλας Ἰώβ, καὶ ὅσοι κατ' ἐκεῖνον· ἀλλ' εἰ καὶ καθ' ὑπόθεσιν οὕτως ἔχει, ἡμᾶς ἔμπης γε κρεῖττον ὡς κολαζομένους διὰ τὰς ἡμῶν ἁμαρτίας κάμπτεσθαι, καὶ ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ ταπεινοῦσθαι, ἢ ὡς δοκιμαζομένους μεταχειρίζεσθαι.

Ταπεινώσεως δίχα σωτηρίας τυχεῖν ἀδύνατον εἶναι ἔλεγε· καὶ δῆλον ἐκ τοῦ ἐναντίου· τοῖς γὰρ ὑπερηφάνοις φησὶν ὁ θεὸς ἀποτάσσεται· οὗ τί φοβερώτερον τοῖς γε νοῦν ἔχουσιν;

Καὶ ταῦτα μὲν ἐκ πολλῶν ὀλίγα περὶ τοῦ σοφωτάτου ἐκείνου καὶ ἁγίου ἀνδρός· ἐγὼ δὲ ὁ τῶν δούλων αὐτῆς ἐλάχιστος τῶν πανεκλάμπρων αὐτῆς ποδῶν προσκλινόμενος ἱκέτης αὐτοῖς προσκάθημαι, ἵνα μὴ διὰ τὸ ἀκαλλὲς τοῦ παρόντος καὶ ἄμουσον τῆς πανεκλάμπρου εὐνοίας τοῦ ὕψους αὐτῆς ἐκπέσοιμι.

Ζ.

ΚΑΤΑΛΟΓΟΣ ΕΠΙΣΤΟΛΩΝ ΑΝΕΚΔΟΤΩΝ.

1.

Πρὸς Νεόφυτον Ἀδριανουπόλεως.

Ἀλέξιος Μιχαηλοβίτζης ἐλέῳ θεοῦ βασιλεὺς καὶ μέγας κνέζης Μοσχοβίας καὶ πάσης μεγάλης, μικρᾶς τε καὶ λευκῆς Ρωσσίας αὐτοκράτωρ, πολλῶν τε καὶ ἄλλων ἐπαρχιῶν καὶ ἡγεμονιῶν, ἀνατολικῶν καὶ δυτικῶν, καὶ παντὸς βορείου μέρους ἐξουσιαστής, νικητὴς καὶ τροπαιοῦχος, τῷ πανιερωτάτῳ καὶ λογιωτάτῳ μητροπολίτῃ Ἀδριανουπόλεως κυρίῳ Νεοφύτῳ ἀπὸ μέσης καρδίας ἀσπάζεται προσφωνῶν καὶ τὸ χαῖρε· ἐκ τοῦ ἡμετέρου παλατίου 1665.

Νεκταρίου πατριάρχου Ἱεροσολύμων ἐπιστολαὶ πρὸς τὸν πανιερώτατον καὶ λογιώτατον μητροπολίτην Ἀδριανουπόλεως κύριον Νεόφυτον· κατὰ τὸ 1660 μουνυχιῶνος κα΄ (1). Νεκτάριος Ἱεροσολύμων τῷ πανιερωτάτῳ μητροπολίτῃ Ἀδριανουπόλεως· ἐξ Ἱερουσαλὴμ 1661. Ὁ αὐτὸς Ἱεροσολύμων τῷ Ἀδριανουπόλεως· Βυζαντιόθεν 1662. Ὁ αὐτὸς τῷ αὐτῷ· Βυζαντίηθεν 1663. Τῷ αὐτῷ ὁ αὐτὸς πατριάρχης· ἐκ Κωνσταντινουπόλεως 1663. Τῷ αὐτῷ ὁ αὐτός· Γιασίηθεν 1663. Ὁ αὐτὸς

(1) Ταύτης προτάσσεται ἡ ἑξῆς σημείωσις· « ἡ παροῦσα ἐπέμφθη ἐξ Αἰγύπτου ἔτι ὢν (sic) ἱερομόναχος Σιναΐτης ».

τῷ αὐτῷ· Γιασίηθεν 1663. Ὁ αὐτὸς τῷ αὐτῷ· ἀπὸ Τουρνάβου 1664. Τῷ αὐτῷ· ἐκ χώρας Ραδάσγατα 1664. Ἀπάντησις πρὸς τὴν παροῦσαν· τῷ μακαριωτάτῳ πατριάρχῃ Ἱεροσολύμων κυρίῳ Νεκταρίῳ Νεόφυτος Ἀδριανουπόλεως· ἀχρονολόγητος. Νεκτάριος Ἱεροσολύμων τῷ Ἀδριανουπόλεως 1664. Ὁ αὐτὸς τῷ αὐτῷ· ἀχρονολόγητος φέρουσα ἀντὶ ὑπογραφῆς τό: οἶδας οὗ ἡ χείρ. Ὁ αὐτὸς τῷ αὐτῷ· 1665. Τῷ αὐτῷ· ἐκ Ραιδεστοῦ 1665. Ὁ αὐτὸς τῷ αὐτῷ· 1665. Ὁ αὐτὸς τῷ αὐτῷ· ἀπὸ Κωνσταντίνου 1665. Ὁ αὐτὸς τῷ αὐτῷ· ἐξ Ἱερουσαλήμ, 1667. Ὁ αὐτὸς τῷ αὐτῷ· ἀπὸ Ἀδριανουπόλεως 1669. Ὁ αὐτὸς τῷ αὐτῷ· Σιωνίηθεν 1671. Ὁ αὐτὸς τῷ αὐτῷ· ἀχρονολόγητος. Ο᾽ αὐτὸς τῷ αὐτῷ· ἐξ Ἱεροσολύμων 1671. Τῷ μακαριωτάτῳ καὶ σοφωτάτῳ πατριάρχῃ πρώην Ἱεροσολύμων κυρίῳ Νεκταρίῳ ὁ Ἀδριανουπόλεως Νεόφυτος· ἀχρονολόγητος. Νεκτάριος πρώην Ἱεροσολύμων τῷ Ἀδριανουπόλεως Νεοφύτῳ· 1672. Ὁ Ἀδριανουπόλεως Νεόφυτος Νεκταρίῳ πρώην πατριάρχῃ Ἱεροσολύμων· 1673. Ὁ αὐτὸς Ἀδριανουπόλεως Νεόφυτος τῷ αὐτῷ πατριάρχῃ Ἱεροσολύμων Νεκταρίῳ· ἀχρονολόγητος.

Γερμανοῦ διδασκάλου ἐπιστολαὶ πεμφθεῖσαι τῷ πανιερωτάτῳ καὶ λογιωτάτῳ μητροπολίτῃ Ἀδριανουπόλεως κυρίῳ Νεοφύτῳ (τὸν ἀριθμὸν 24 ἀχρονολόγητοι. Ἡ μετ᾽ αὐτὰς 25 μόνη φέρει τὸ ἔτος 1685). Ἀπάντησις πρὸς τὴν παροῦσαν· ὁ Ἀδριανουπόλεως Νεόφυτος τῷ Νύσσης Γερμανῷ· ἀχρονολόγητος. Τῷ αὐτῷ μητροπολίτῃ Ἀδριανουπόλεως κυρίῳ Νεοφύτῳ ὁ αὐτὸς Νύσσης Γερμανός· 1686.

